





SCHOLIA GRAECA

IN

EURIPIDIS TRAGOEDIAS

EX CODICIBUS AUCTA ET EMENDATA

EDIDIT

GULIELMUS DINDORFIUS.

TOMUS III.



OXONII:
E TYPOGRAPHEO ACADEMICO.
MDCCCLXIII.

ΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ.

I.

ἘΤΕΟΚΛΗΣ παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην· φυγὰς δ' εἰς Ἄργος ἐκεῖνος παραγενόμενος ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου κατελθεῖν εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν συνήθροισεν ἀξιόχρεων στρατὸν ἐπὶ Θήβας κατὰ τοῦ ἀδελφοῦ. ἡ δὲ

1. I.] Hanc ὑπόθεσιν recensui ad codices antiquiores, M. (Venetum 471.) A. (Vaticannm 909.) B. (Parisinum 2713.) Ex codicibus Byzantinorum unum elegi Gu. (Guelferbytanum), cujns scripturam integram memorarem; ex aliis, qui numero sunt plurimi, pauca tantnm apposui quae notatu digna viderentur. In B. haec ὑπόθεσις et τὰ τοῦ δράματος πρόσωπα fol. 56 a. et partim fol. 56 b. textus instar scripta est, cujus in margine exteriore, quem locum scholia occupare solent, reliqua quae infra posui excerpta leguntur hoc ordine, 1) Περιπαθεῖς—διακενοῦ. 2) Χρησμὸς δοθεὶς Λαΐῳ. Λάϊε—τάδε πάντα. 3) Τὸ τῆς Σφιγγὸς αἴνιγμα—τέλει αὐτοῦ. 4) Λύσις τοῦ αἰνίγματος. κλῦθι—καμπτόμενος.

3. τῶν Θηβῶν] τῶν om. M.

ib. βασιλείαν — Πολυνείκην] βασιλείαν τὸν ἀδελφὸν πολυνείκην ἀποστερεῖ τοῦ μέρους Gu. In Ven. 468. est βασιλείαν ἀποστερεῖ τὸν ἀδελφὸν πολυνείκην τοῦ μέρους.

4. δ' (vel δὲ) εἰς ἄργος ἐκεῖνος A. M. δὲ ἐκεῖνος εἰς ἄργος B. Gu.

5. παραγενόμενος ἔγημε] παρεγένετο καὶ ἔγημε Gu.

ib. τὴν om. A. Gu.

6. κατελθεῖν A.B.M. κατελθεῖν δὲ Ald. κατελθὼν οὖν Ven. 468. In Gu. haec sic sunt conformata, κατῆλθε δὲ εἰς τὴν π. φ. τὸν πενθερὸν πείσας στρατείαν ἀξιόχρεων συναθροῖσαι ἐπὶ τὰς Θήβας. ἡ δὲ μήτηρ αὐτῶν ἔπεισεν αὐτὸν ὑπόσπονδον παραγενέσθαι. δεινοπροσωπήσαντος δὲ τῆς τυραννίδος ἐτεοκλέους ἡ μὲν ἰοκάστη τὰ τέκνα συναγαγεῖν εἰς φιλίαν οὐκ ἠδύνατο, πολυνείκης δὲ ὑποταξάμενος ἐχωρίσθη. τειρεσίας δὲ ἔχρησε νικήσειν τοὺς ἐκ τῆς πόλεως, ἐὰν ὁ κρέοντος υἱὸς μενοικεὺς σφάγιον ἄρει γένηται. ὁ μὲν οὖν νεανίσκος ἐβούλετο καὶ τοῦ πατρὸς φυγὴν μετὰ χρημάτων διδόντος ἑαυτὸν ἔσφαξε. θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν ἀργείων ἔσφαξαν, ἐτεοκλῆς δὲ καὶ πολυνείκης μονομαχήσαντες ἀλλήλους ἀνεῖλον etc.

7. ἀξιόχρεων στρατὸν A.M. ἀξιόλογον στράτευμα B. ἀξιόλογον στρατὸν Monac. (C.) Ald. ἀξιόλογον στρατιὰν Ven. 468.

ib. ἐπὶ θήβας κατὰ τοῦ ἀδελφοῦ A. M. κατὰ τοῦ ἀδελφοῦ καὶ εἰς θήβας ἐλήλυθεν B. Ald. et (qui αὐτοῦ post ἀδελφοῦ addit) Ven. 468.

μήτηρ Ἰοκάστη ἐποίησεν αὐτὸν ὑπόσπονδον εἰσελθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον πρὸς τὸν ἀδελφὸν περὶ τῆς ἀρχῆς· δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους ἡ μὲν Ἰοκάστη συναγαγεῖν τὰ τέκνα εἰς φιλίαν οὐκ ἠδύνατο, Πολυνείκης δὲ ὡς πρὸς πολέμιον λοιπὸν παραταξόμενος ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην ἔσεσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα, ὁ δὲ νεανίσκος ἐβούλετο καὶ τοῦ πατρὸς αὐτῷ φυγὴν μετὰ χρημάτων διδόντος ἑαυτὸν ἀπέσφαξεν. καὶ δὴ καὶ ἔπραξεν. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλέους δὲ καὶ Πολυνείκους μονομαχήσαντος ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς ἔσφαξεν ἑαυτήν, ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν βασιλείαν, οἱ δὲ Ἀργεῖοι νικηθέντες τῇ μάχῃ ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων τοὺς

1. μήτηρ A.B.M. μήτηρ αὐτοῦ Ald.
ib. εἰσελθεῖν A.M. ἐλθεῖν B. Ald. εἰσελθεῖν post τὴν πόλιν Ven. 468.
2. πρὸς τὸν ἀδελφὸν A.B.M. τῷ ἀδελφῷ Ald.
4. συναγαγεῖν τὰ τέκνα εἰς φιλίαν οὐκ ἠδύνατο A.B.M. nisi quod in A. ἴσχυσε pro ἠδύνατο est. συναγαγεῖν τὰ τέκνα οὐκ ἠδύνατο πρὸς φιλίαν Ald.
5. πολέμιον A.B.M. πόλεμον Ald.
ib. πολέμιον] πολέμιον ἐχθρὸν A.
ib. λοιπόν om. A.
ib. παραταξόμενος Kirchhoffius pro παραταξάμενος.
6. ὁ T.] καὶ τ. Ven. 468.
ib. ἔσεσθαι Barnesius pro θέσθαι.
7. Ἄρει] τῷ ἄρει Monac. (C.)
ib. ἠρνήσατο—τῇ πόλει τὸν παῖδα] ἀπηρνήσατο—τὸν παῖδα τῇ πόλει Ven. 468.
8. ἐβούλετο] ἐβουλεύετο Ven. 468. Cui scripturae aptum est quod sequitur καὶ δὴ καὶ ἔπραξεν. Recte igitur Kirchhoffius corrigere videtur ἐβουλεύετο, καίπερ τοῦ πατρὸς αὐτῷ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀποσφάξαι, nisi quod καίτοι potius scribere debebat quam καίπερ. Verba καὶ δὴ καὶ ἔπραξεν om. Gu. aliique recentiores.
9. αὐτῷ A.B.M. αὐτοῦ Ald.
ib. φυγὴν] φυγεῖν Ven. 468.
10. ἔσφαξαν] ἴσφιξαν (sic) Monac. ἔτριψαν Hermannus.
ib. Ἐτεοκλέους δὲ καὶ Πολυνείκους μονομαχήσαντος A.B.M. Frequens hic usus genitivi absoluti de eadem persona de qua in apodosi agitur apud Novi Testamenti scriptores aliosque recentiores: quo non intellecto nominativi Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες substituti sunt in Monac. Gu. ceterisque ejusdem generis codicibus et Ald. Recta scriptura est etiam in Ven. 468. nisi quod hic μονομαχησάντων habet pro μονομαχήσαντος.
12. εὑροῦσα νεκροὺς] νεκροὺς εὑροῦσα Gu.
ib. ἔσφαξεν ἑαυτήν A.B.M. αὐτῆς ἑαυτὴν ἀπέσφαξεν Ven. 468. ἑαυτὴν κατέσφαξεν Gu. ἀνεῖλεν ἑαυτὴν Ald.
13. βασιλείαν] δυναστείαν Gu. Ald.
ib. οἱ δὲ A.M. οἵ τε B. Ven. 468. Ald.
14. νικηθέντες] ἡττηθέντες Gu. Ald.
ib. τῇ μάχῃ M. et codex Cantabr. idemque, sed ante ἡττηθέντες, est in Gu. aliisque. τῆς μάχης A.B.

μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφὴν, Πολυνείκην δὲ ἀκήδευτον ἔρριψεν, Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ' ὧν μὲν οὐ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ' ὧν δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ παρὰ τὴν δυστυχίαν ἐλεήσας.

II.

Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις.

Ἡ μὲν ὑπόθεσις τοῦ δράματος ἐπιστρατεία τοῦ Πολυνείκους μετὰ τῶν Ἀργείων ἐπὶ Θήβας καὶ ἀπώλεια τῶν ἀδελφῶν Πολυνείκους καὶ Ἐτοκλέους καὶ θάνατος Ἰοκάστης. ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Ἑπτὰ ἐπὶ Θήβας πλὴν τῆς Ἰοκάστης. ἐδιδάχθη ἐπὶ Ναυσικρά-

1. ὑπὸ τῇ Καδμείᾳ (καδμίᾳ A.) τῶν πολεμίων] ὑπὸ τῶν καδμείαν πολεμίους Ven. 468.

ib. εἰς ταφὴν (τάφον in codicibus Florentinis pluribus) ante οὐκ ἔδωκε Gu. aliique multi.

2. Πολυνείκην] πολυνείκη A.M.

ib. ἀκήδευτον] ἀκήδεστον Gu.

ib. Οἰδίπουν] οἰδίποδα Gu.

ib. πατρίδος Ald. πατρῴας A.B.M. πόλεως Gu.

3. ἀπέπεμψεν] ἐξέπεμψε Ven.468. ἀπεπέμψατο Gu.

ib. οὐ add. Gu. aliique, om. A.B.M. Ald. Inter ἐφ' ὧν, ubi finitur folium 85 b. et μὲν φυλάξας, a quibus verbis incipit fol. 87 a., insertum in A. est folium aliud, nunc numero 86. notatum, in cujus pagina priore duo leguntur versus (Orestis 1582. 1583.) Λυπράν γε τὴν ἄρνηην (corrupte pro ἄρνησιν) εἰ γὰρ ὤφελον | τί χρῆμα πρᾶξαι παρακαλεῖς γὰρ εἰς φόβον. in pagina aversa genealogia a manu secunda perscripta, quam vide inter scholia ad v. 5.; tum ab mann anonymi, ὦ χριστὲ βοήθει τῷ σῷ δούλῳ θωμᾶ τῷ δοκιογιω, et in ima pagina, ab manu tertia, genealogia altera, quam ipsam quoque vide inter scholia ad v. 5.

ib. τὸν ἀνθρώπινον νόμον] ἀνθρώπων νόμους Gu.

ib. ἐφ' ὧν δὲ] ἐφ' ᾧ δὲ Kirchhoffius.

4. παρὰ A.B.M. Gu. aliique. περὶ Ven. 468. Ald.

ib. Post ἐλεήσας in Ven. 468. et Havn. 3549. (ap. Blochium in Seebodii Miscell. crit. vol. 1. p. 631.) leguntur illa ἀγήνορος θυγάτηρ εὐρώπη—ἀνεφύησαν οἱ γίγαντες, quae vide inter scholia ad v. 5.

6. Ἀριστοφάνους—] Hanc ὑπόθεσιν ex cod. Ven. 468. edidit Kirchhoffius, adhibitis etiam Vaticanis 1135. et 1345. in quibus partim eadem leguntur.

7. Ἡ μὲν ὑπόθεσις τοῦ δράματος addidit Kirchh.

ib. ἐπιστρατεία Vat. 1135. ἐπὶ τῇ στρατείᾳ Ven. 468. Vat. 1345.

9. ἡ μυθοποιία—Ἰοκάστης om. Ven. 468.

ib. ἡ μυθοποιία] ἡ μὲν ἠθοποιία Vat. 1345.

10. ἐπὶ om. Vat. 1135.

ib. πλὴν τῆς Kirchh. πλει (στ) ἰοκά-

τους ἄρχοντος. δεύτερος Εὐριπίδης καθῆκε διδασκαλίαν περὶ τούτου· καὶ γὰρ ταὐτὰ ὁ Οἰνόμαος καὶ Χρύσιππος, καὶ σώζεται. ὁ χορὸς συνέστηκεν ἐκ Φοινισσῶν γυναικῶν. προλογίζει δὲ Ἰοκάστη.

III.

Περιπαθεῖς ἄγαν αἱ Φοίνισσαι τῇ τραγῳδίᾳ. ἀπώλετο γὰρ ὁ Κρέοντος υἱὸς ἀπὸ τοῦ τείχους ὑπὲρ τῆς πόλεως ἀποθανών. ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ' ἀλλήλων καὶ Ἰοκάστη, ἡ μήτηρ, ἑαυτὴν ἀνεῖλεν ἐπὶ τοῖς παισί. καὶ οἱ ἐπὶ Θήβας στρατευσάμενοι Ἀργεῖοι ἀπώλοντο· καὶ ἄταφος Πολυνείκης πρόκειται. καὶ ὁ Οἰδίπους τῆς πατρίδος ἐκβάλλεται, καὶ σὺν αὐτῷ ἡ θυγάτηρ Ἀντιγόνη. ἔστι δὲ

στης Vat. 1345. πλείστης ἰοκάστης Vat. 1135. in quo reliqua quae sequuntur omissa sunt.

p. 3. l. 10. ἐδιδάχθη addidit Kirchh.

ib. Ναυσικράτους] Phoenissas brevi post Aves Aristophanis (i.e. post olymp. 91, 1.) tempore editas esse constat, de quo dixi in principio Annotationum vol. 3. p. 127.: circa quae tempora nullum in Fastis est vestigium Nausicratis archontis. Ex quo colligi potest Nausicratem archontem suffectum fuisse.

1. ἄρχοντος—σώζεται] Haec defecta esse patet, in hunc fere modum redintegranda, quem Kirchh. proposuit, ἄρχοντος [ὀλυμπιάδος ...... πρῶτος ......] δεύτερος Εὐριπίδης, [τρίτος ......] καθῆκε διδασκαλίαν [......] περὶ τούτου· καὶ γὰρ ταὐτὰ [......] ὁ Οἰνόμαος καὶ Χρύσιππος καὶ [Φοίνισσαι καὶ ...... σάτυροι. οὐ] σώζεται. Quocum similia didascaliarum fragmenta de Medea, Hippolyto et Alcestide comparari possunt. Verba οὐ σώζεται haud dubie ad satyricum tantum drama hujus tetralogiae spectant, ut in Argumento Medeae, Θερισταὶ σάτυροι. οὐ σώζεται. Nam satyrica tragicorum dramata pleraque multo prius quam tragoediae perierunt.

ib. διδασκαλίαν] διδασκαλίας Vat. 1345.

2. ταὐτὰ Kirchh. pro ταῦτα.

ib. Χρύσιππος] χρήσιππος Ven. 468.

3. γυναικῶν om. Ven. 468.

5—5, 2. Hoc excerptum exstat non solum in libris antiquioribus A.B.M., sed etiam in recentioribus multis, velut Monac. (C.), Flor. 33., Taurinensi, Havniensi 3549., apud Aldum et in scholiorum editione Arsenii fol. 140 b.

7. Ἰοκάστη] ἡ ἰοκάστη Ven. 468.

ib. μήτηρ] μήτηρ αὐτῶν Ven. 468. Monac. (C.) Flor. Ald. Arsen.

8. ἀνεῖλεν ἑαυτήν] ἑαυτὴν ἀνεῖλεν Monac. (C.) Ald.

ib. Θήβας] θήβαις M.

ib. στρατευσάμενοι A.B.M. et Arsen., alii et Ald. στρατευόμενοι.

9. ὁ add. A.B.M. Arsen., om. alii et Ald.

10. δὲ om. A.

τὸ δρᾶμα καὶ πολυπρόσωπον καὶ γνωμῶν μεστὸν πολλῶν τε καὶ καλῶν.

IV.

Τὸ δρᾶμά ἐστι μὲν ταῖς σκηνικαῖς ὄψεσι καλὸν, ἐπεὶ καὶ παραπληρωματικόν· ἥ τε ἀπὸ τῶν τειχέων Ἀντιγόνη θεωροῦσα μέρος οὐκ ἔστι δράματος, καὶ ὑπόσπονδος Πολυνείκης οὐδενὸς ἕνεκα παραγίνεται, ὅ τε ἐπὶ πᾶσι μετ' ᾠδῆς ἀδολέσχου φυγαδευόμενος Οἰδίπους προσέρραπται διὰ κενῆς.

V.

Ἁρπασθείσης Εὐρώπης ὑπὸ Διὸς γενομένου ταύρου καὶ μετακομισθείσης ἀπὸ Φοινίκης διὰ θαλάττης εἰς Κρήτην, ὁ μὲν πατὴρ αὐτῆς Ἀγήνωρ ἔπεμψε τὸν υἱὸν Κάδμον εἰς ζήτησιν τῆς κόρης, εἰπὼν, εἰ μὴ ταύτην εὐρὼν ἄξοι, μηδ' ἂν αὐτὸν ἐπανελθεῖν οἴκαδε. Κάδμος δὲ οὐκ ἔχων ὅ τι καὶ δράσειε μόνην ἔγνω τῆς ἀπορίας λύσιν καταφυγεῖν εἰς Ἀπόλλω κἀκ τούτου γνῶναι τί δεῖ ποιεῖν. ἐλθὼν οὖν εἰς Δελφοὺς

1. *μεστὸν πολλῶν* scripsi pro *πολλῶν μεστόν.*

2. *καλῶν*] *καλόν* M. His addunt libri recentiores, excepto tamen Havniensi, *ὁ χορὸς ἐκ τῶν φοινισσῶν παρθένων, ὅθεν καὶ τὸ δρᾶμα ἐπεκλήθη, τῶν ἐκ τῆς παλαιτύρου.*

4. Huic excerpto Καὶ ἄλλως praefixum est in Ald.

ib. Τὸ (δὲ addit Ven. 468.) *δρᾶμα* hoc loco A.B.M., Ven. 468. Arsen., post *καλὸν* (vel *κάλλιστον*) Flor. 10. Taur. Havn. Ald.

ib. *μὲν* om. Ven. 468.

ib. *σκηνικαῖς* om. M., *σκηναῖς* Ven. 468.

ib. *κάλλιστον* M. *καλὸν* A. Ven. 468. aliique.

ib. *ἐπεὶ καὶ*] *ἐπεὶ δὲ καὶ* A. et Vat. 1135. *ἔτι δὲ* vel *ἔστι δὲ* Kirchh.

5. *ἥ τε*] *γὰρ* addit Valcken.

7. *ὅ τε*] *καὶ* add. Ven. 468. *ὅτι* A.B.

ib. *πᾶσι*] *παισὶ* Flor. 10.

ib. Οἰδίπους Brunckius. *ὁ οἰδίπους* libri.

8. *προσέρραπται* Tyrwhitt. ad Aristot. Poet. p. 150. *προσέρριπται* libri.

ib. *διὰ κενῆς* Havn. *δυσμενὴς* Ven. 468. *διακενοῦ* vel *διὰ κενοῦ* A.B.M. Ald.

10. Hanc *ὑπόθεσιν* ex Gu. primus edidit Matthiae, pluribus non recte lectis, quae plerumque tacite correxi. Eadem reperitur in codice Oxoniensi Barocciano (Ox.) 248 fol. 131. 132. quem ipse contuli.

12. *τὸν υἱὸν*] *αὐτοῦ* addit Ox.

14. *μόνην* Matth. pro *μόνον*.

ἤρετο τούτου περὶ τῆς ἀδελφῆς. καὶ ὃς χρᾷ μὲν οὐδὲν αὐτῷ περὶ τῆς Εὐρώπης, λέγει δὲ ὡς ἐξελθόντα ἐκεῖθεν, ἀκολουθήσαντα βοΐ, οἷ ἂν αὕτη γε πέσῃ, κἀκεῖ κτίζειν πόλιν. ὁ δὲ πεισθεὶς τῷ χρησμῷ τὴν μὲν πρὸς τὴν πατρίδα ἐπάνοδον εἴασε, βοῦν δὲ κατὰ τύχην εὑρὼν ἡγεμόνα τῆς ὁδοῦ ἐποιήσατο. ἐλθούσης δὲ αὐτῆς ἐν ᾧ νῦν ἑστήκασι τόπῳ αἱ Θῆβαι, κἀκεῖ παραχρῆμα πεσούσης, ἔγνω τε οὗτος τὸν χρησμὸν τελεσφόρον καὶ πόλιν ἑπτάπυλον κτίζει τὰς Θήβας ὁμωνύμους τῶν ἑκατονταπύλων Αἰγυπτίων Θηβῶν, χρησάμενος ἐπιστήμονι τῆς οἰκοδομῆς καὶ ἐργάτῃ Ἀμφίονι τῷ μουσικῷ· τοῦτον γάρ φασιν ἀνακρουόμενον μέλος θέλγειν τε τῷ μέλει τοὺς λίθους καὶ ἀλλεπαλλήλως αὐτῶν τιθεμένων ἀποδεῖξαι τὰ τείχη· πύλας δὲ ἔχειν τὴν πόλιν ἑπτὰ, ἐπειδὴ καὶ οἱ τῆς λύρας τόνοι ἑπτά εἰσι. καὶ τὸ μὲν μυθῶδες τοιοῦτον· πέπλασται δὲ διὰ τὸ ἄκρως ἡρμόσθαι τὰ τείχη πρὸς ἄλληλα. ἡ γὰρ ἁρμονία μουσικῆς ἴδιον.

Κάδμος οὖν γήμας τὴν Ἀφροδίτης καὶ Ἄρεως παῖδα Ἁρμονίαν ἐγέννησε Πολύδωρον, ὁ δὲ Λάβδακον, ὁ δὲ Λάϊον. οὗτος ἀφικόμενός ποτε εἰς Ἦλιν καὶ τὸν τοῦ Πέλοπος υἱὸν Χρύσιππον ἰδὼν, ὃς ἦν ἐξ ἄλλης αὐτῷ γυναικὸς καὶ οὐκ ἐκ τῆς θυγατρὸς Οἰνομάου Ἱπποδαμείας, καὶ ἁλοὺς τούτου κατάκρας τῷ ἔρωτι, ἁρπάσας εἰς Θήβας ἤνεγκε. καὶ συνῆν αὐτῷ τὰ ἐρωτικὰ, πρῶτος ἐν ἀνθρώποις τὴν ἀρρενοφθορίαν εὑρὼν, καθὼς δὴ καὶ ὁ Ζεὺς ἐν θεοῖς τὸν Γανυμήδην ἁρπάσας. ὁ δὲ Πέλοψ μαθὼν τοῦτο κατηράσατο τῷ Λαΐῳ μηδέποτε μὲν παῖδα τεκεῖν, εἰ δ' ἄρα καὶ συμβαίη, ὑπ' αὐτοῦ τούτου ἀναιρεθήσεσθαι. διὰ ταῦτα πολὺν ἤδη χρόνον ὁ Λάϊος ἄπαις ὢν παραγίνεται εἰς Πυθίαν καὶ παίδων αἰτεῖ γονήν. καὶ ἀκούει τοιόνδε χρησμὸν,

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
τέξεις μὲν φίλον υἱὸν, ἀτὰρ τόδε σοι μόρος ἔσται,
παιδὸς ἑοῦ χείρεσσι λιπεῖν βίον· ὣς γὰρ ἔνευσε

1. χρᾷ] χρῆ Ox.
3. γε om. Ox.
6. αἱ Θῆβαι om. Ox.
8. Αἰγυπτίων om. Ox.
14. πρὸς ἄλληλα] προσάλληλα Gu.
15. τὴν ἀφροδίτης Ox. τῆς ἀφροδίτης Gu.
ib. Ἄρεως] ἄρεος Ox.
16. ὁ δὲ Λάϊον om. Ox.
19. τῷ ἔρωτι om. Ox.
21. Γανυμήδην] γαννυμήδην Gu.
22. τῷ Λαΐῳ] τῷ om. Gu.
28. βίον] Sic Gu. Ox., non φάος, ut Matth.

Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατό σοι τάδε πάντα.

ὧντινῶν θεσπισμάτων τῇ τῆς γυναικὸς Ἰοκάστης ἐπιθυμίᾳ καὶ ἡδονῇ ὥσπερ ἐκλαθόμενος Λάϊος, ἢ, ὥς τινές φασι, μιᾷ τῶν ἡμερῶν βαρυνθεὶς τῷ οἴνῳ καὶ συνελθὼν τῇ αὐτοῦ γυναικὶ Οἰδίποδα σπείρει. καὶ μετὰ τὸ τεχθῆναι αὐτὸν, ἀναπεμπάσας τοὺς χρησμοὺς καὶ φόβον λαβὼν, διατορήσας τοὺς πόδας αὐτοῦ καὶ χρυσέους κρίκους διαπερονησάμενος ῥίπτει διὰ τῶν οἰκείων βουκόλων εἰς τὸ ὄρος τὸν Κιθαιρῶνα, ὡς ὑπὸ θηρίων ἐνταῦθα ἀναιρεθησόμενον. ἔτυχε δὲ κατ' ἐκεῖνο καιροῦ καὶ τοὺς Πολύβου νομέας, βασιλέως Κορίνθου, βόσκειν ἐκεῖ· οἳ καὶ τὸ βρέφος εὑρόντες καὶ ἀνελόμενοι φέρουσι πρὸς τὴν Πολύβου γυναῖκα Μερόπην. ἦν γὰρ ἀπαιδίαν δυστυχοῦσα· καί πως πείθει τὸν ἄνδρα Πόλυβον αὐτὴ τοῦτο τεκεῖν. ἀνδρωθεὶς δὲ ὁ παῖς καί τινι τῶν ἐκεῖ συνελθὼν εἰς ἔριν, οἷα δὴ γίνεται, ὡς οὐκ εἴη Πολύβου παῖς, ὄνειδος ἔσχε παρ' αὐτοῦ. ὅθεν ἀναστὰς ἀφικνεῖται πρὸς τὸν Ἀπόλλω πευσόμενος περὶ τούτου, καὶ ὡς ἔσται φονεὺς τοῦ πατρὸς μανθάνει, καὶ ὡς τῇ τεκούσῃ συνέσοιτο, ταυτὶ μόνα· τίνες δὲ εἶεν αὐτῷ οἱ γονεῖς σαφῶς οὐ μανθάνει. ἐπανιὼν δὲ ἐκεῖθεν ὑπήντησε τῷ Λαΐῳ, ἀφικνουμένῳ καὶ αὐτῷ πρὸς Ἀπόλλω, ἐφ' ᾧ περὶ τοῦ ἐκτεθέντος παιδὸς γνῶναι εἰ τέθνηκε. καὶ ὁ τοῦ Λαΐου θεράπων αὐτῷ κελεύει μικρὸν ὑποχωρῆσαι τῷ βασιλεῖ. Οἰδίπους δὲ ὑπεροψίᾳ κρατούμενος καὶ τοῦτο μηδὲν ἐνεγκὼν κτείνει τε τὸν θεράποντα καὶ σὺν αὐτῷ τὸν δεσπότην, οὐκ εἰδὼς ὡς πατροκτόνος γέγονεν, ἑνὸς μόνον τῶν συνεπομένων Λαΐῳ διαφυγόντος, ὃς δὴ καὶ τὸν φόνον ὕστερον διεσάφησεν, ὥς φησι Σοφοκλῆς ἐν Οἰδίποδι τυράννῳ. τότε οὖν Οἰδίπους τοὺς τοῦ Λαΐου ἵππους λαβὼν καὶ πάντα τὰ αὐτοῦ καταλαμβάνει τὴν Κόρινθον, καὶ διδοὺς ταῦτα πάντα Πολύβῳ τροφὰς ἐκεῖθεν ἀναχωρεῖ, τὸν

1. ἀραῖσι] ἀραῖς Ox.
2. ὁ] ὃ Gu.
3. ὧντινῶν] ὧντινων Gu.
5. τῷ οἴνῳ] τῷ om. Ox.
7. χρυσέους] χρυσοῦς Matth.
12. ἀπαιδίαν Gu. Ox. ἀπαιδίῃ Matth. Recte habet ἀπαιδίαν, ut ἀπαιδίαν νοσεῖν dixit scholiasta Byzantinus in codice Guelf. aliisque ad v. 28. ex more recentiorum, de quo dixit L. Dindorfius in Thesauro vol. 5. p. 1567. qui dativum recte restituit Eur. Ion. 620. ἀπαιδίᾳ νοσεῖ, ubi in libris est ἀπαιδίαν.
18. τῷ Λαΐῳ Ox. τῷ om. Gu.
21. κρατούμενος] νικώμενος Ox.
23. μόνον] μόνου Ox.
26. τὴν Κόρινθον] τὴν om. Ox.
27. διδοὺς] δοὺς Ox.

περὶ τῆς πατροκτονίας καὶ τῆς τῇ μητρὶ συνελεύσεως χρησμὸν δεδιώς· ᾤετο γὰρ πατέρας αὐτοῦ τῷ ὄντι Πόλυβον καὶ τὴν ἐκείνου γυναῖκα εἶναι. καὶ ἀφικνεῖται πρὸς Θήβας, αἳ δὴ καὶ ὑπὸ τῆς Σφιγγὸς ἐχειμάζοντο τότε, χρησμούς τε ῥαψῳδούσης καὶ ὅντινα βούλοιτο τῶν πολιτῶν ἁρπαζούσης καὶ διαφθειρούσης, διὰ τὸ μὴ συνιέναι σφᾶς τῶν ὑπ' αὐτῆς λεγομένων χρησμῶν. ἐπήγαγε δὲ ταύτην ὁ Ἄρης Θηβαίοις, ἀμυνόμενος αὐτοὺς διὰ τὸν τοῦ παιδὸς δράκοντος φόνον, ὃν ὁ Κάδμος ἀνεῖλε καὶ τοὺς ὀδόντας αὐτοῦ ἔσπειρεν, ἐξ ὧν ἀνεφύησαν οἱ Γίγαντες. ἦν δὲ τέρας ἡ Σφὶγξ, πρόσωπον μὲν ἔχουσα παρθένου, στῆθος δὲ καὶ χεῖρας καὶ πόδας καὶ ὄνυχας λέοντος, οὐραῖον δὲ δράκοντος, πτερὰ δὲ ὄρνιθος, δι' ὧν ἵπτατο. ἔτυχε δὲ εἰποῦσα τοιοῦτό τι τοῖς Θηβαίοις τότε αἴνιγμα, ὡς Ἀσκληπιάδης ἀναγράφει,

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία μορφὴ,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα μένος γυίοισιν ἀφαυρότερον πέλει αὐτοῦ·

οὗπερ ἀγνοουμένου ἐκήρυξε Κρέων ὁ ἀδελφὸς Ἰοκάστης τῆς βασιλίσσης ὡς ὅστις εὕροι τὸ αἴνιγμα, τούτῳ συνάψειν τὴν ἀδελφήν. Οἰδίπους δὲ, ὡς ἔφημεν, διάγων ἐκεῖ τότε, ἀκούσας τὰ κηρύγματα λύει τε τὸ αἴνιγμα τῆς Σφιγγὸς καὶ τὴν μητέρα οὐκ εἰδὼς εἰς γυναῖκα λαμβάνει. ἔλυσε δὲ οὕτως, ὥς φασι

Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης, σὸν τέλος ἀμπλακίης.
ἄνθρωπον κατέλεξας, ὃς, ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων·

2. πατέρας] *Parentes.* Qui frequens est numeri pluralis πατέρες usus apud recentiores: de quo v. Thesaurum vol. 6. p. 603.

9. ἀνεφύησαν Gu. Ox. ἀνεφάνησαν Matth.

11. οὐραῖον] οὐραίαν Matth.

12. δὲ εἰποῦσα τοιοῦτό τι θηβαίοις Ox. δὲ τοῦτο εἰποῦσα τοιοῦτό (καὶ τοιοῦτό Matth.) τι τοῖς θηβαίοις Gu.

14. De aenigmate Sphingis ejusque solutione vide quae infra dicentur.

ib. τετράπον Matth. pro τετράπουν.

ib. μορφὴ Gu. Ox. non φωνή, quod posuit Matthiae.

15. τρίπον Matth. pro τρίπουν.

16. κινεῖται Matth. ut Ald. infra γίνεται Gu. Ox.

17. βαίνῃ Matth. βαίνει Ox. βαίνοι Gu.

19. ἐκήρυξε] ἀνεκήρυξε Ox.

22. λύει τε] τε om. Ox.

γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

ἀκούσασα δὲ τὴν λύσιν ἡ Σφὶγξ ἑαυτὴν ἀναιρεῖ παραχρῆμα ῥίψασα τοῦ ἀέρος. Οἰδίπους δὲ συνὼν τῇ μητρὶ καὶ παῖδας ἐξ αὐτῆς φύσας τέσσαρας, ἄρρενας μὲν Ἐτεοκλέα καὶ Πολυνείκην, θηλείας δὲ Ἀντιγόνην καὶ Ἰσμήνην, ὡς ἔγνω τὸ μίασμα ὕστερον, ἐτύφλωσεν ἑαυτόν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης, θέλοντές πως ἀφανίσαι τὸ ὄνειδος, κατακλείουσιν αὐτὸν ἐν οἰκίσκῳ, ἵν' ὑπὸ μηδενὸς θεωρούμενος εἰς λήθην ἥξοι τὸ κατ' ἐκείνου. καὶ ὃς τοῦτο ὑπεραλγήσας ἀρᾶται τούτοις τὴν βασιλείαν σιδήρῳ μερίσαι· οἱ δὲ τὰς τοῦ πατρὸς ἀρὰς δεδιότες μηχανῶνται τοιόνδε· ἔχεσθαι τῆς ἀρχῆς ἕνα παρ' ἕνα καὶ ταύτης παραχωρεῖν θατέρῳ θάτερον. ὁ τοίνυν Ἐτεοκλῆς, ἅτε πρῶτος ὢν τοῦ ἀδελφοῦ, καὶ πρῶτος τῆς ἀρχῆς ἥψατο, Πολυνείκης δὲ ὑπεχώρησε, καὶ τελεσθέντος ἐνιαυτοῦ ἀφίκετο πρὸς τὸν ἀδελφὸν, αἰτῶν καὶ αὐτὸς ἄρξειν ἐνιαυτόν. Ἐτεοκλῆς δὲ οὔτε ἐξέστη τῆς ἀρχῆς καὶ ἄτιμον τὸν ἀδελφὸν ἀπέπεμψεν· ὃς καὶ πλανώμενος ἦλθεν εἰς Ἄργος, καὶ τὴν τοῦ βασιλέως Ἀδράστου λαβὼν θυγατέρα πείθει τὸν κηδεστὴν συνάρασθαι τούτῳ πρὸς τὴν τῆς βασιλείας ἀνάληψιν, καὶ πλείστην ὅσην παραλαβὼν στρατιὰν ἐπιστρατεύει τῷ ἀδελφῷ. ὅπως δὲ ἡ μήτηρ ἐθέλουσα πρὸ τῆς συμπλοκῆς διαλλάξαι τοὺς παῖδας οὐδὲν ἴσχυσε, καὶ ὡς ἔχρησε Τειρεσίας, εἰ ὁ τοῦ Κρέοντος υἱὸς Μενοικεὺς ἀνέλοι ἑαυτὸν ἐπὶ τὸν τοῦ δράκοντος φωλεὸν, κρατήσειν Ἀργείων Θηβαίους, καὶ ὡς γέγονε ταῦτα, καὶ οἱ τῶν Ἀργείων ἡγεμόνες πεπτώκασι πάντες πλὴν Ἀδράστου, καὶ ὡς μονομαχήσαντες πρὸς ἀλλήλους Ἐτεοκλῆς καὶ Πολυνείκης ὑπ' ἀλλήλων ἑκάτεροι ἀνῃρέθησαν, καὶ ὡς ἐλθοῦσα πρὸς αὐτοὺς Ἰοκάστη καὶ τεθνηκότας εὑροῦσα συναπέσφαξεν ἑαυτὴν καὶ ὡς Κρέων ἀψάμενος τῆς ἀρχῆς Ἐτεοκλῆν μὲν θάπτει, Πολυνείκην δὲ ἄταφον εἴασε, καὶ Οἰδίπουν τῆς πόλεως ἐξήλασε, πάντα ταῦτα Εὐριπίδης ἔνδον κατὰ λεπτὸν διηγεῖται.

Ἔστι δὲ τὸ παρὸν δρᾶμα τῶν ἄγαν ἐξαιρέτων, διανοίαις καὶ γνώμαις πολλαῖς καὶ καλαῖς καὶ ποικίλαις ἀνθοῦν καὶ μεταχειρίσει ἀρίστῃ, καὶ διὰ πάντων ἀκμάζον, εἰ καὶ ἀπίθανον ἔχει τὴν εἰς Θήβας

7. πως om. Ox.
9. ἐκείνου] ἐκείνους Ox.
29. πάντα ταῦτα] ταῦτα πάντα Ox.
31. δρᾶμα] γράμμα Ox.

Πολυνείκους εἴσοδον. ἐπιγέγραπται δὲ ἀπὸ τοῦ χοροῦ Εὐριπίδου Φοίνισσαι πρὸς ἀντιδιαστολὴν τῶν ἑπτὰ ἐπὶ Θήβας Αἰσχύλου. ταύτῃ γὰρ τῇ ὑποθέσει κἀκεῖνος χρῆται ἐν τῷ δευτέρῳ. αὐτὰς δὲ τὰς παρθένους ἐκ Φοινίκης Ἀγηνορίδαι θυσίαν τῷ Ἀπόλλωνι ἔπεμψαν, αἵτινες καὶ πρὸς Δελφοὺς ἐρχόμεναι παρέβαλον ταῖς Θήβαις διὰ τὸ καὶ τὸν Κάδμον, ὡς ἔφημεν, ἐκ Φοινίκης εἶναι. καὶ καταλαβόντος τοῦ πολέμου ἠναγκάσθησαν μένειν αὐτόθι, μέχρις ἂν ἡ μάχη λωφήσῃ.

VI.

Χρησμὸς δοθεὶς Λαΐῳ.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
δώσω τοι φίλον υἱόν· ἀτὰρ τόδε σοι μόρος ἔσται,
παιδὸς ἑοῦ χείρεσσι λιπεῖν φάος. ὧς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατό σοι τάδε πάντα.

Τὸ τῆς Σφιγγὸς αἴνιγμα.

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,

2. πρὸς Gu. Ox., non παρ' nt Matth.

ib. Θήβας] θήβαις Ox.

3. ἐν τῷ δευτέρῳ] Aeschyli Septem ad Thebas δρᾶμα δεύτερον vocat nt solent grammatici Byzantini, qui tres tantnm fabnlas primas legere solebant.

ib. αὐτὰς δὲ] ταύτας γὰρ Ox.

4. ἐκ Φοινίκης om. Ox.

6. τὸ καὶ τὸν] καὶ om. Ox.

ib. ἔφημεν] ἔφαμεν Ox.

10 Χρησμός] Oraculnm Laio datum et aenigma Sphingis Sophoclis Oedipo Regi praefixnm est in cod. Laurentiano xxxii. 9., de qno dixi ad schol. Sophoclis vol. 2. p. 13. Oracnlum scholiis in Aristoph. Ran. 1216. intulit Musurus. Ad libros Euripideos quod attinet χρησμός simpliciter inscriptum in margine M. χρησμὸς δοθεὶς Λαΐῳ in B. In Ven. 468. ὁ παρὰ τοῦ διὸς χρησμὸς ὁ δοθεὶς λαΐῳ. In aliis vel χρησμὸς δοθεὶς τῷ λαΐῳ, ut Arsen., vel χρησμὸς ὁ δοθεὶς λαΐῳ τῷ θηβαίῳ nt Ald., quocum consentit Sophoclis codex Laurent.

11. Λάϊ—αἰτεῖς] Hunc versum om. A.

12. τόδε σοι μόρος ἔσται A.B.M. aliique. πεπρωμένον ἐστὶ Ald. Arsen. et Sophoclis cod. Laur.

13. παιδὸς ἑοῦ—βίον A.B.M. Arsen. σοῦ παιδὸς—φάος alii et Sophoclis cod. Laur.

14. στυγεραῖς] στυγεραῖσιν A.

16. In Arsen. praescriptum τὸ τῆς σφιγγὸς αἴνιγμα ἀσκληπιάδης οὕτως ἀναγράφει, ut in Ven. 468., nisi

καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

Λάϊος ἀπὸ Θηβῶν παραγενόμενος κατὰ τὴν ὁδὸν ἐθεάσατο Χρύσιππον τὸν υἱὸν τοῦ Πέλοπος. τούτου ἐρασθεὶς ἠξίου αὐτὸν παραγενέσθαι εἰς Θήβας σὺν αὐτῷ. τοῦ δὲ μὴ τοῦτο ποιῆσαι βουληθέντος ἥρπασεν αὐτὸν ὁ Λάϊος λάθρα τοῦ ἑαυτοῦ πατρός. ἐπὶ πολὺ δὲ αὐτοῦ θρηνοῦντος διὰ τὴν τοῦ παιδὸς ἀπώλειαν ὕστερον ἔμαθε καὶ μαθὼν κατηράσατο τῷ αὐτὸν ἀνελόντι μὴ παιδοποιῆσαι· εἰ δὲ τοῦτο γένηται, ὑπὸ τοῦ τικτομένου ἀναιρεθῆναι.

qnod hic οὕτω γράφει. Quae sumta sunt ex schol. ad v. 50. ubi vide qnae annotavimus.

P. 10. l. 17. γῆς] γῆν A.M.

ib. τετράπον et lin. 1. τρίπον] τετράπουν et τρίπουν libri Euripidis aliorumqne scriptorum in annot. ad schol. v. 50. indicatorum. Recte scriptum in cod. Laur. Sophoclis.

1. φυὴν Ald. et codices plerique Euripidis et Sophoclis. φωνὴν Arsen. Alias corruptelas φύσιν et βοὴν memoravimns ad schol. v. 50.

ib. μόνον] μόνην A. aliique nonnulli.

2. κινεῖται Ald. γίνονται M. γείνονται A.B. γίνηται Soph. cod. Laur. inter quas scripturas etiam apud alios variatur: v. annot. ad schol. v. 50.

3. πλεόνεσσιν A.B.M. Arsen. πλείστοισιν Ald. Inter utramque scriptnram fluctuant codices recentiores. Altera est in Soph. cod. Laur.

4. μένος Arsen. et pars codicum, inter quos A.B.M. Alii τάχος, ut Ald. et Soph. cod. Laur.

ib. ἀφαυρότερον] ἀφαυρότατον codices recentiores et Ald. nt ap. Soph. cod. Laur. Solutionem aenigmatis, quae in recentibns quibusdam codicibus sequitnr, vid. inter scholia ad v. 50.

5.—11. Hoc excerptum legitur in A. et cum levi scripturae diversitate in Flor. 33. et Havn. 3549.

ib. κατὰ et ὁδὸν om. A., spatio vacuo post τὴν relicto.

8. αὐτὸν om. A.

9. καὶ μαθὼν] καὶ μαθὼν ὕστερον μαθὼν A.

ΔΗΜΗΤΡΙΟΥ ΤΡΙΚΛΙΝΙΟΥ

ΠΕΡΙ ΜΕΤΡΩΝ ΤΩΝ ΦΟΙΝΙΣΣΩΝ.

1.—87. Ἡ ΕΙΣΘΕΣΙΣ τοῦ δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πζ΄, ὧν τελευταῖος "τὸν αὐτὸν ἀεὶ δυστυχῆ καθεστάναι." ἐπὶ τῷ τέλει δὲ κορωνίς.

88.—102. Σύστημα προκαταστατικὸν τῶν ἑξῆς ἀλλοιοστρόφων συστημάτων, στίχων ἰαμβικῶν τριμέτρων ιε΄. ἐπὶ τῷ τέλει παράγραφος.

103. 104. Τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀνομοιόστροφα κυρίως, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν. καὶ εἰσὶ τῆς παρούσης στροφῆς τὰ κῶλα γ΄. τὸ α΄ παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παιώνων τετάρτων δύο καὶ σπονδείου. τὸ β΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, Γλυκώνειον ἐξ ἀντισπάστου καὶ διιάμβου. τὸ γ΄ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος.

105.—107. Κατὰ περικοπὴν ἴαμβοι γ΄, εἶτα παράγραφος.

108.—110. Ἡ δευτέρα αὕτη στροφὴ κώλων ἐστὶ γ΄. τὸ α΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον Γλυκώνειον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου α΄. τὸ β΄ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ΄ τροχαϊκὸν πενθημιμερὲς, τοῦ α΄ ποδὸς χορείου· εἰ δὲ βούλει, παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ΄ καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος.

111. 112. Κατὰ περικοπὴν ἴαμβοι β΄, εἶτα παράγραφος. Bar.

4. πζ΄ Kingius. ριβ I.

12. ἐκ παιώνων τετάρτων δύο] Legit ὄρεγε νῦν, ὄρεγε γηραιάν.

14. Γλυκώνειον legebatur post τὸ γ΄ ἀναπαιστικὸν δίμετρον. Transposuit Kingius.

16. ἴαμβοι γ΄ scripsi pro ἴαμβος.

17. αὕτη στροφὴ Kingius pro ἀντιστροφή.

18. Γλυκώνειον] γλυκώνιον I.

113.—116. Ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' δακτυλικὸν πενθημιμερές· εἰ δὲ βούλει, χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ σπονδείου. τὸ β' παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος α' καὶ δακτύλου. τὸ γ' προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου, ἰωνικοῦ ἀπὸ μείζονος καὶ κρητικοῦ. τὸ δ' δακτυλικὸν πενθημιμερές· εἰ δὲ βούλει, χοριαμβικὸν καθαρὸν ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος.

117. Κατὰ περικοπὴν ἴαμβοι β', εἶτα παράγραφος. Bar.

123. Κατὰ περικοπὴν ἴαμβοι δ', εἶτα παράγραφος. Bar.

127.—130. Ἡ πέμπτη αὕτη στροφὴ κώλων ἐστὶ ε'. τὸ α' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος, παίωνος β' καὶ συλλαβῆς. τὸ β' τροχαϊκὸν ἰθυφαλλικόν. τὸ γ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ε' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· εἰ δὲ βούλει, προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος.

131.—134. Κατὰ περικοπὴν ἴαμβοι δ', εἶτα παράγραφος. B.

135. Ἡ ἕκτη αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' δακτυλικὸν τετράμετρον, ἤτοι δίμοιρον ἔπους· τὰ γὰρ δ' δίμοιρα τῶν ἕξ. τὸ β' ὅμοιον ἐφθημιμερές. τὸ γ' παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ' καὶ ἰάμβου. τὸ δ' ἴαμβος τρίμετρος. ἐπὶ τῷ τέλει παράγραφος.

145.—149. Ἡ ἑβδόμη αὕτη στροφὴ κώλων ἐστὶ ε'. τὸ α' ἴαμβος τρίμετρος. τὸ β' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον εἰς δισύλλαβον. τὸ γ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ' ὅμοιον τῷ πρώτῳ. τὸ ε' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάσσονος ἡμιόλιον ἐξ ἰωνικοῦ καὶ ἰάμβου. ἐπὶ τῷ τέλει παράγραφος.

11. ἀπ' ἐλάττονος, παίωνος addidit Kingius.

15. προσοδιακὸν] προσοδικὸν I.

18. 22. αὕτη στροφὴ King. pro ἀντιστροφή.

19. δ' addidit King.

23. δίμετρον βραχυκατάληκτον] Immo μονόμετρον ὑπερκατάληκτον, ut monet Kingius.

25. τῷ πρώτῳ addidit King.

ib. εἰ δὲ βούλει—καὶ ἰάμβου delevit Kingius. Si legeretur, ut alibi saepenumero, ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ, καὶ ἰάμβου· causae nihil esset cur rejicerentur: Πανοπλος αμφ | *paeona quartum* potius constituunt quam duo *iambos*. Praeterea metricus ad v. 291—300. Τὸ δ', ait, ἰωνικὸν ἡμιόλιον—· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. VALCK.

151.—153. Ἡ ὀγδόη αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' δακτυλικὸν τετράμετρον, ἤτοι δίμοιρον ἔπους. τὸ β' ὅμοιον πενθημιμερές· εἰ δὲ βούλει τὸ ι' βραχύ, ἔστω παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος α' καὶ ἀναπαίστου. τὸ γ' ὅμοιον τῷ α', καταληκτικὸν εἰς δισύλλαβον. τὸ δ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐκ χοριάμβου, παίωνος δ' ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος. Bar.

154. 155. Κατὰ περικοπὴν ἴαμβοι β', εἶτα παράγραφος. Bar.

156.—158. Ἡ ἐνάτη αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου· εἰ δὲ βούλει, τροχαϊκὸν πενθημιμερές, δακτύλου ἀρχομένου. τὸ β' παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος δ' καὶ δακτύλου, ἢ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ γ' ὅμοιον ἡμιόλιον. τὸ δ' ἴαμβος τρίμετρος. ἐπὶ τῷ τέλει παράγραφος.

159.—162. Κατὰ περικοπὴν ἴαμβοι δ', εἶτα παράγραφος. Bar.

163.—169. Ἡ δεκάτη αὕτη στροφὴ ἑτέρως μέν ἐστιν ἐσχηματισμένη, ὡς ἄνω τεθέντος τοῦ προσώπου, κώλων δέ ἐστιν η'. τὸ α' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β' ὅμοιον καταληκτικὸν εἰς δισύλλαβον. τὸ γ' ὅμοιον πενθημιμερὲς ἐκ δύο προκελευσματικῶν, ἤτοι γ' τριβραχέων. τὸ δ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β' καὶ ἰάμβου. τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐξ ἰάμβου καὶ ἀναπαίστου καὶ δύο χορείων· εἰ δὲ βούλει, ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ παιώνων δευτέρου καὶ πρώτου, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χορείου. τὸ ς' τροχαϊκὸν τρίμετρον ὑπερκατάληκτον Στησιχόρειον. τὸ ζ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ δύο ἀντισπάστων καὶ ἰάμβου. τὸ η' ὅμοιον ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος.

170.—174. Κατὰ περικοπὴν ἴαμβοι ε', εἶτα παράγραφος. Bar.

1. Ἡ ὀγδόη] Hujus strophae metra, quae exciderunt in I., ex Bar. supplevit King.

5. προσοδιακὸν] προσῳδιακὸν apud Kingium sive ex codice sive ipsius arbitrio, quemadmodum alibi προσῳδιακὸν scripsit ubi in I. recte est προσοδιακόν.

10. χοριάμβου King. pro χοριαμβικοῦ.

11. ἀρχομένου King. pro ἀρχομένου, εἰ δὲ βούλει τροχαϊκόν.

12. δ' Kingius pro δευτέρου.

15. δ' scripsi pro β'.

18. καταληκτικὸν King. pro ἀκατάληκτον.

19. ἤτοι γ' Valck. Aberat γ'.

175.—179. Ἡ ἑνδεκάτη αὕτη στροφὴ ἑτέρως μέν ἐστιν ἐσχηματισμένη κατὰ τὸ τέλος, κώλων δέ ἐστιν ἕξ. τὸ α΄ δακτυλικὸν ἑφθημιμερές. τὸ β΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ ἐπιτρίτου α΄. τὸ γ΄ ὅμοιον καταληκτικόν· εἰ δὲ βούλει, δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ δ΄ ὅμοιον ἐκ χοριάμβου καὶ ἀμφιβραχέος· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερές. τὸ ε΄ ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· εἰ δὲ βούλει, ἰαμβικὸν πενθημιμερὲς, τοῦ β΄ ποδὸς ἀναπαίστου. τὸ ϛ΄ παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος δ΄ καὶ βακχείου. ἐπὶ τῷ τέλει παράγραφος.

180.—182. Σύστημα κατὰ περικοπὴν ἴαμβοι γ΄, εἶτα παράγραφος. τὸ παρὸν σύστημα ἄλλως ἐστὶν ἐσχηματισμένον, ὡς ἄνω τιθέντος τοῦ προσώπου. οὕτω δὲ χρὴ τὸν δεύτερον στίχον γράφειν, ὡς διωρθώθη παρ' ἡμῶν, ἵν' ᾖ τέλειος ἴαμβος, καὶ μὴ τὸ Καπανεὺς μόνον κείμενον εἴη, ὡς πολλαχοῦ εὕρηται. Bar.

183.—192. Ἡ δωδεκάτη αὕτη στροφὴ κώλων ἐστὶ ιδ΄. τὸ α΄ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος β΄ καὶ ἰωνικοῦ. τὸ β΄ ἰωνικὸν ἡμιόλιον ἐκ παίωνος δ΄ καὶ σπονδείου· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας, ἤτοι διιάμβου, ἀντισπάστου καὶ πυρριχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ δ΄ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος β΄ ἀντὶ ἰωνικοῦ καὶ χοριάμβου. τὸ ε΄ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ϛ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ΄ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐκ χοριάμβου, ἐπιτρίτου γ΄ καὶ τροχαίου. τὸ η΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ὃ καλεῖται Σαπφικὸν, ἢ Ἱππωνάκτειον, ἐξ ἐπιτρίτου τετάρτου καὶ τρίτου καὶ συλλαβῆς. τὸ θ΄ χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου πρώτου, χοριάμβου καὶ ἀμφιβραχέος. τὸ

5. ἀκατάληκτον King. pro ἀκατάληκτον εἰς δισυλλαβίαν.

8. δίμετρον King. pro τρίμετρον.

9. βακχίου (debebat βακχείου) King. pro βραχέος.

15. αὕτη στροφὴ King. pro ἀντιστροφή.

16. καὶ King. pro ἀντί.

17. ἰωνικὸν] παιωνικὸν King.

19. ἀντισπάστου addidit King., ex cod. Bar. ut videtur. VALCK.

20. προσοδιακὸν] προσοδικὸν I.

22. βραχυκατάληκτον] ἐκ χοριάμβου addit I. Delevit King. Post χοριάμβου pergit I. τὸ ϛ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ χοριάμβου ἐπιτρίτου καὶ τροχαϊκοῦ. τὸ ζ΄ ὅμοιον τῷ ϛ΄. τὸ η΄ etc. Recte ap. Kingium.

27. χοριάμβου] In *Amymones* nomine quum secunda producatur, qui tandem pes hujus soli secundus, ως Αμυμω | *choriambus* erit? Si pri-

ι′ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον. τὸ ια′ χοριαμβικὸν ἐκ χοριάμβου καὶ ἀναπαίστου· εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές. τὸ ιβ′ χοριαμβικὸν ἐκ δύο χοριάμβων, καὶ πυρριχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ιγ′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον. τὸ ιδ′ ὅμοιον ἡμιόλιον· εἰ δὲ βούλει, δακτυλικὸν ὅμοιον τῷ ιβ′. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσαι ὡς τέλος ἔσχε τὰ ἀνομοιόστροφα.

193.—201. *Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἐν ἐκθέσει στίχων ἰαμβικῶν τριμέτρων θ′. ἐπὶ τῷ τέλει κορωνὶς διὰ τὸ εἰσέρχεσθαι τὸν χορὸν καὶ ὑποχωρεῖν τοὺς ὑποκριτάς.*

202.—238. *Τὰ παρόντα εἴδη ἑτέρως εἰσὶν ἐσχηματισμένα· τὰ μὲν γάρ εἰσι μονοστροφικὰ [καὶ μερικὰ] κατὰ σχέσιν ἄτακτα, καὶ συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους. εἰσὶ δὲ τὰ κατὰ σχέσιν μιᾶς στροφῆς. εἰσὶ γοῦν τῆς μονοστρόφου στροφῆς τὰ κῶλα λϛ′. τὸ α′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου πεντασυλλάβου, διαλελυμένης τῆς πρώτης μακρᾶς εἰς δύο βραχείας, καὶ διιάμβου· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος τετάρτου καὶ τρίτου, ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ συλλαβῆς. τὸ β′ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· εἰ δὲ βούλει, περίοδος ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας. τὸ γ′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, Φερεκράτειον, ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου. τὸ δ′ ὅμοιον ἐκ δισπονδείου καὶ βακχείου. τὸ ε′*

mum praeterea nomen modo scribatur legitimo | Ποσειδωνι | pes primus *antispastus* erit. Colon hoc nonum mea quidem opinione non est *choriambicum trimetrum catalecticum*; rectius forte dicetur: Τὸ θ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ἤτοι Φαλαίκειον, ἐξ ἀντισπάστου, ἐπιτρίτου β′, ἰάμβου, καὶ συλλαβῆς. verba sunt:

Ποσειδωνι | οις Αμυμω | νιοι | σιν.—VALCK.

1. ἐκ χοριάμβου—πενθημιμερὲς haec transposuit King. In I. leguntur ante τὸ ια′.

3. ἐκ δύο χοριάμβων King. pro ὅμοιον τῷ ζ′ ἐκ δύο χοριάμβων ἢ ἐπιτρίτου καὶ χοριάμβου.

13. καὶ μερικὰ delevit King.

20. ἀναπαιστικὸν — εἰ δὲ βούλει] Has voces Kingius omiserat, sine detrimento: nam recte versus,

Ακροθινι | α Λοξια.

dicitur περίοδος etc. sive *Periodicus*. Quum media corripiatur in Λοξια, versus dici non potest *anapaesticus dim. brachycat.* a metrico videntur tamen ista profecta. VALCK.

22. δίμετρον King. τρίμετρον I.

ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τετάρτου καὶ τρίτου καὶ ἰάμβου· εἰ δὲ βούλει, ἀναπαιστικὸν ἐφθημιμερὲς ἐκ χορείου καὶ δακτύλων. τὸ ϛ' ἰωνικὸν δίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ βακχείου. τὸ ζ' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ τρίτου, ἢ ἰωνικοῦ, διὰ τὴν ἀδιάφορον. τὸ η' προσοδιακὸν τρίμετρον ὀκατάληκτον ἐξ ἰωνικοῦ ἀπ' ἐλάσσονος, χοριάμβου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον. τὸ θ' ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ τετάρτου ποδὸς χορείου. τὸ ι' ὅμοιον δίμετρον ἀκατάληκτον, τοῦ δευτέρου ποδὸς ἰάμβου. τὸ ια' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, ἐπιτρίτου τετάρτου καὶ ἀμφιβάρχεος. τὸ ιβ' ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ, ἐπιτρίτου τετάρτου καὶ συλλαβῆς. τὸ ιγ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου καὶ διιάμβου. τὸ ιδ'

2. καὶ τρίτου King. pro τρίτου. "In I. erat δειρᾶσι. Battierius, dum notabat: *pro* δειρᾶτι *scribendum* δειράσι, *ut* ἐπίτριτος γ' *ibi esse possit.* pro *epitrito tertio* scribere debuerat *paeona tertium*. Qui quidem *epitritum quartum* hic sibi visus est detexisse legisse videtur:

"Ιν' ὑπὸ | δει | ρᾶσιν νιφο | βόλοις.

—Post ista: ἀναπαιστικὸν ἐφθημιμερές· ante Kingium legebatur: ἐκ χορείου δακτύλου. Corrigi potius ista debuerant in ἐκ χορείου καὶ δακτύλων. quam sede sua deturbari. *choreum* enim, duo *dactylos*, syllabamque residuam dabit versus sic secatus:

"Ιν' ὑπο | δειρασι | νιφοβο | λοις."—VALCK.

3. ἰωνικὸν δίμετρον καταληκτικόν] Mihi quidem ista non placent: videturque, Τὸ ϛ' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, Φερεκράτειον, ἐξ ἐπιτρίτου δ', ἰάμβου, καὶ συλλαβῆς.

Παρνασου κατ' | ενα | σθην.

simillimos versus habet Hephaestion p. 33. et schol. in Aristoph. Nub. 563.

Ανδρες προσχε | τε τον | νουν
Εξευρημα | τι και | νῷ.

atque adeo Τὸ ϛ' ὅμοιον τῷ γ', τῷ δ', ιζ', κγ', καὶ τῷ κϛ'. Eo hic etiam a metrico dissentio, quia pes versus hujus primus Παρνασου κατ dici non poterat διτρόχαιος. Kingins quidem in notis adsentitur grammatico, statuens nominis Παρνασοῦ mediam posse corripi. Hoc ut lectori persuaderet, exempla debuerat advocasse, quibus illud demonstrari posset. VALCK.

5. ἐκ παίωνος τετάρτου] Primus pes 'Ιόνιον κ. choriambus potius dicendus quam paeon quartus. VALCK.

6. τὸ η'—διὰ τὴν ἀδιάφορον] Haec ex Bar. supplevit Kingius. In I. nihil praeter τὸ η' ὅμοιον.

ib. ἀπ' ἐλάσσονος King. pro ἀπὸ μείζονος.

ὅμοιον τῷ γ'. τὸ ιε' ὅμοιον ἐξ ἐπιτρίτου τρίτου καὶ ἀναπαίστου· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ τρίτου ποδὸς ἀναπαίστου. τὸ ις' ὅμοιον τῷ α'. τὸ ιζ' ὅμοιον τῷ γ'. τὸ ιη' δακτυλικὸν τετράμετρον, ἤτοι δίμοιρον ἔπους. ἔστι δὲ ἀκέφαλον, διὰ τὸ ἐκ βραχείας ἄρχεσθαι. τὸ ιθ' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ κ' ὅμοιον τῷ α'. τὸ κα' ὅμοιον κατὰ πάντα. τὸ κβ' ὅμοιον τῷ ιγ'. τὸ κγ' ὅμοιον τῷ γ'. τὸ κδ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου πρώτου καὶ διιάμβου καὶ συλλαβῆς. τὸ κε' ὅμοιον τῷ α'. τὸ κς' ὅμοιον τῷ γ'. τὸ κζ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου, χοριάμβου καὶ σπονδείου. τὸ κη' χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον· εἰ δὲ βούλει, ἀναπαιστικὴ βάσις. τὸ κθ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου καὶ διτροχαίου. τὸ λ' ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ διτροχαίου. τὸ λα' ὅμοιον ἐκ δισπονδείου καὶ ἰωνικοῦ ἀπ' ἐλάττονος κατὰ συνίζησιν. τὸ λβ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ δευτέρου ποδὸς πεντασυλλάβου διὰ τὴν ἀδιάφορον. τὸ λγ' ὅμοιον τῷ λα', ἐξ ἐπιτρίτου πρώτου καὶ ἰωνικοῦ κατὰ συνίζησιν. τὸ λδ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ διιάμβου καὶ χοριάμβου διὰ τὴν ἀδιάφορον. τὸ λε' ὅμοιον τῷ ιη'. τὸ δὲ λς' ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον ἐξ ἰωνικοῦ καὶ τροχαίου· εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές. ταῦτά ἐστι τῆς μονοστρόφου στροφῆς τὰ κῶλα.

239.—260. Τῆς δὲ κατὰ σχέσιν στροφῆς εἰσιν ια', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. εἰσὶ δὲ τὸ μὲν θ' καὶ τὸ ια' τροχαϊκὰ δίμετρα καταληκτικά, ἤτοι ἐφθημιμερῆ, ἃ καλεῖται κυρίως Εὐριπίδεια, ἢ ληκύθια, τὸ δὲ ι' ὅμοιον τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. τὸ μέντοι τῆς ἀντιστροφῆς ἔνατον κῶλον οὐ καλῶς ἔχον

1. τῷ γ' King. τῷ ιγ' I.

4. διὰ τὸ ἐκ βρ. ἄρχ.—βραχυκατάληκτον addidit King. (ex Bar.?)

8. τῷ α'—τῷ γ' King. pro τῷ γ'—τῷ β'.

11. εἰ δὲ—βάσις] Horum loco, quae cod. ms. praebuit, quae legebantur in I. ἐξ ἐπιτρίτου α' καὶ διιάμβου καὶ συλλαβῆς, librarius aberrans e nota repetierat ad colon 24. VALCK. Paulo post ἰων. δίμετρον et ἐκ διτροχαίου est a Kingio pro ἰων. τρίμετρον—καὶ τροχαίου. tum λα ὁμ. ἐκ δισπ. pro ἐκ σπονδείου.

28. ἔνατον King. pro ἐναντίον, uti mox etiam τὸν δ' καὶ τὸν β' πόδα pro τὸν δ' καὶ τὸν γ' π'.

διωρθώθη παρ' ἡμῶν, καὶ ἔχει τὸν δ' καὶ τὸν β' πόδα χορείους. ἐχρήσατο δὲ τῷ τροχαϊκῷ ἐνταῦθα μέτρῳ διὰ τὸ τοὺς πολεμίους καὶ σφοδρῶς ἐπελθεῖν ὁρμαῖς καὶ συνεχέσι δρόμοις τὰ ἐκτὸς λῄζεσθαι· διὸ καὶ τὸ "θούριος μολὼν Ἄρης" ἔφη. ἐπὶ ταῖς ἀποθέσεσι τῆς μονοστρόφου στροφῆς τῶν συστημάτων καὶ ἐπὶ τῷ ϛ' τῆς κατὰ σχέσιν στροφῆς παράγραφος, ἐπὶ δὲ τῷ τῆς ἀντιστροφῆς κορωνίς.

Ἰστέον δὲ ὅτι τῷ τοιούτῳ χρῶνται οἱ ποιηταὶ σχηματισμῷ ἐν τοῖς χοροῖς, τὰ μὲν μονοστρόφως καὶ κατὰ συστήματα ἐκφέροντες, τὰ δὲ κατὰ σχέσιν, ὅτε διηγηματικὸν ποιοῦσι τὸν λόγον. τούτου τοῦ σχήματός ἐστι παρὰ μὲν Σοφοκλεῖ τὸ "Τελαμώνιε παῖ τῆς ἀμφιρύτου Σαλαμῖνος" ἐν Αἴαντι, παρὰ δὲ Αἰσχύλῳ ἐν ἑπτὰ ἐπὶ Θήβαις τὸ "θρέομαι φοβερὰ μεγάλ' ἄχη." ἐν δ' Ἀγαμέμνονι ὀνομαζομένῳ δράματι αὐτοῦ τὸ "δέκατον μὲν ἔτος τόδ', ἐπεὶ Πριάμου μέγας ἀντίδικος Μενέλαος ἄναξ." Bar.

291.—300. Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων καὶ κώλων ι'. ὁ α' καὶ ὁ β' ἴαμβοι τρίμετροι. τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ πρώτου ποδὸς χορείου. τὸ δ' ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ε' ἐκ διιάμβου, ἐπιτρίτου δευτέρου καὶ βακχείου. τὸ ϛ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐκ δύο ἀντισπάστων, τοῦ πρώτου καθαροῦ, τοῦ δευτέρου ἐξαβράχεος. τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ πρώτου ποδὸς χορείου. τὸ η' ἀντισπαστικὸν δίμετρον, ὅμοιον τῷ ϛ', ἐξ ἀντισπάστου καὶ διτροχαίου. τὸ θ'...ἐκ παίωνος τρίτου καὶ ἰωνικοῦ, διὰ τὴν ἀδιάφορον. τὸ ι' ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς πενθημιμεροῦς. ἐπὶ τῷ τέλει παράγραφος.

301.—354. Τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, μονόστροφα καὶ μετρικὰ ἄτακτα καὶ συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους. ἔστιν οὖν ἡ παροῦσα στροφὴ κώλων νη'. τὸ α' ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β' ἰαμβικὸν ἐφθημιμερές. τὸ γ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου καὶ χοριάμβου·

11. Αἴαντι] 134.
ib. ἐπὶ Θήβαις] 78.
12. Ἀγαμέμνονι] 40.
16. δίμετρον King. pro τρίμετρον.
18. τὸ ε' et καὶ βακχείου addidit King.
19. τὸ ϛ' King. τὸ ε' καὶ ἕκτον I.
20. ἐξαβράχεος] ἐξαβραχέος I. ut alibi passim ἀμφιβραχέος.
22. τὸ θ'...] Defectum indicavit King.
28. νη' King. pro νε'.

εἰ δὲ βούλει ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ δ' ἰωνικὸν ἡμιόλιον, ἐξ ἐπιτρίτου τρίτου καὶ ἰωνικοῦ ἡμίσεος· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ε' ἰαμβικὴ βάσις. τὸ ϛ' ἴαμβος τρίμετρος, ὅμοιος τῷ α'. τὸ ζ' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ διιάμβου, παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ συλλαβῆς· εἰ δὲ βούλει, περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας. ἔχει δὲ ἡ τροχαϊκὴ συζυγία τὸν πρῶτον πόδα χορεῖον. τὸ η' τροχαϊκὸν ἐφθημιμερὲς Εὐριπίδειον, ἢ ληκύθιον. τὸ θ' ἰαμβικὸν ἐφθημιμερές. τὸ ι' χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ διτροχαίου, χοριάμβου καὶ βακχείου· εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος. τὸ γὰρ κῦ καὶ βραχὺ παρ' Ὁμήρῳ εὕρηται "κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης." τὸ ια' ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ, ἐπιτρίτου τρίτου καὶ ἰάμβου. τὸ ιβ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ιγ' ἰαμβικὸν τρίμετρον ὅμοιον τῷ α'. τὸ ιδ' καὶ ιε', ὅμοια τῷ β' ἰαμβικά. τὸ ιϛ' τροχαϊκὸν, ὅμοιον τῷ η', τοῦ πρώτου ποδὸς χορείου· εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ καὶ διιάμβου. τὸ ιζ' ἰαμβικὸν, ὅμοιον τῷ β'. τὸ ιη' ἰωνικὸν, ὅμοιον τῷ ιϛ', ἐκ παίωνος τετάρτου καὶ διτροχαίου. τὸ ιθ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου. τὸ κ' ἰαμβικὴ βάσις, ὅμοιον τῷ ε'. τὸ κα' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου πεντασυλλάβου καὶ ἰάμβου, διὰ τὸ ἀδιάφορον· εἰ δὲ βούλει, καταληκτικὸν ἐξ ἀντισπάστου, παίωνος πρώτου καὶ δακτύλου. τὸ κβ' ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, διιάμβου καὶ μολοσσοῦ. τὸ κγ' καὶ κδ' τροχαϊκὰ ἰθυφαλλικά. τὸ κε' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου, ἀντισπάστου καὶ διιάμβου. τὸ κϛ' ὅμοιον, ἐξ ἀντισπάστου πεντασυλλά-

2. ἰωνικοῦ] ἰωνικὸν I.

3. ἰαμβικὸν King. pro ἰωνικόν, sicut infra τὸ θ' ἰαμβικὸν pro ἰωνικόν.

11. κῦμα—] Versum Homericum (Od. 12, 60.) addidit King. uncis inclusum, fort. e Bar.

15. τῷ α' King. pro τῷ ια'.

17. ἀκατάληκτον—] ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου γ', ἢ καὶ ἐκ παίωνος δ' etc. illa ἐξ ἀντ.—ἢ καὶ delevit King., utpote e nota ad colon ιθ' repetita. MATTH.

27. ἀντισπάστου καὶ διιάμβου King. correxit pro ἀντισπαστικοῦ καὶ ἰάμβου. Idem mox post ἀντισπάστου interseruit πεντασυλλάβου. et ad τὸ κζ' post ἀκατάληκτον delevit εἰς δισύλλαβον.

βου καὶ διιάμβου καὶ ἐπιτρίτου τρίτου. τὸ κζ΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· εἰ δὲ βούλει, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου πρώτου καὶ τροχαίου. τὸ κη΄ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ, καὶ χοριάμβου. τὸ κθ΄ ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ καὶ διιάμβου. τὸ λ΄ ἴαμβος τρίμετρος. τὸ λα΄ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ λβ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον, ἴαμβον ἔχον τὸν τέταρτον πόδα. ἔοικε δὲ εἶναι καὶ τοῦτο Στησιχόρειον σὺν τῷ Πινδαρικῷ ἔθει. τὸ λγ΄ ἰωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος καὶ δακτύλου. τὸ λδ΄ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ, διτροχαίου καὶ κρητικοῦ. τὸ λε΄ ἰαμβικὸν ὅμοιον τῷ ιβ΄. τὸ λϛ΄ ὅμοιον. τὸ λζ΄ ὅμοιον τῷ λα΄. τὸ λη΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου πεντασυλλάβου καὶ ἑτέρου καθαροῦ διὰ τὴν κοινὴν, ἢ ἐπιτρίτου τρίτου. τὸ λθ΄ ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἐπιτρίτου τρίτου. τὸ μ΄ ἴαμβος τρίμετρος, ὅμοιος τῷ α΄. τὸ μα΄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον· λείπεται γὰρ ὅλου ποδὸς εἰς τὸ εἶναι τρίμετρον. τὸ μβ΄, τὸ μγ΄ καὶ τὸ μδ΄ καὶ τὸ με΄ ἰαμβικὰ, ὅμοια τῷ ιβ΄. τὸ μϛ΄ ὅμοιον ἐφθημιμερές. τὸ μζ΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου πεντασυλλάβου καὶ ἰάμβου. τὸ μη΄ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος τετάρτου καὶ ἰάμβου· εἰ δὲ βούλει, τροχαϊκὸν πενθημιμερὲς, τοῦ πρώτου ποδὸς χορείου. τὸ μθ΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δευτέρου καὶ χοριάμβου πεντασυλλάβου. τὸ ν΄ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου, ἀντισπάστου καὶ ἐπιτρίτου πρώτου· εἰ δὲ βούλει, ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ διτροχαίου πεντασυλλάβου, ἰωνικοῦ ἀπὸ μείζονος καὶ μολοσσοῦ. τὸ να΄ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου. τὸ νβ΄ τροχαϊκὸν ἐφθημιμερὲς,

7. καὶ om. I.

10. ἐκ παίωνος τρίτου—καταληκτικὸν e Bar. interseruit King. et delevit quod sequebatur (post κρητικοῦ) τὸ λδ΄ ὅμοιον.

20. ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον] Hunc versum in duo separarunt olim: ista certe Ἐγὼ δ᾽ οὔτε σοι prostant in exemplum versus *dochmiaci*, seu *antispastici monometri hypercatalecti*, apud auctorem Etym. M. p. 285, 26. VALCK.

24. ἀκατάληκτον King. pro καταληκτικόν.

τοῦ πρώτου ποδὸς χορείου, ἤτοι τριβράχεος. τὸ νγ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου πρώτου καὶ τρίτου καὶ σπονδείου. τὸ νδ' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἀναπαιστικὸν ἐφθημιμερὲς, ἰάμβου ἀρχομένου. τὸ νε' δακτυλικὸν τετράμετρον ἤτοι δίμοιρον ἔπους. τὸ νϛ' δακτυλικὸν πενθημιμερές· εἰ δὲ βούλει, χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ νζ' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ νη' ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου, δευτέρου, καὶ διιάμβου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῆς στροφῆς κορωνίς.

355.—587. Αἱ περίοδοι αὗται στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων σγλ', ὧν ὁ τελευταῖος "καὶ ξύμβασίν τιν' Οἰδίπου τέκνοις δότε." ἐπὶ δὲ τῷ τέλει ὁμοίως παράγραφος· οὐ γὰρ ἐξῆλθον οἱ ὑποκριταί. Bar.

588.—637. Τροχαϊκοὶ στίχοι τετράμετροι ν', ὧν τελευταῖος "ἔθετό σοι θείᾳ προνοίᾳ νεικέων ἐπώνυμον." ἐπὶ τῷ τέλει κορωνίς. ἐχρήσατο δὲ ἐνταῦθα τῷ τροχαϊκῷ μέτρῳ διὰ τὸ μετὰ ὀργῆς καὶ ὁρμῆς τινος καὶ σπουδῆς εἰσιέναι τὸν Ἐτεοκλέα. Bar.

638.—675. Τὰ τοιαῦτα εἴδη τοῦ χοροῦ καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. εἰσὶ δὲ τὰ παρόντα τριὰς ἐπῳδική. τὰ κῶλα δὲ τῆς μὲν στροφῆς κ', καὶ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α' ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος α' ἀντὶ ἰωνικοῦ καὶ διιάμβου· εἰ δὲ βούλει, τροχαϊκὸν ἐφθημιμερὲς, τοῦ δευτέρου ποδὸς χορείου. ἐχρήσατο τῷ τοιούτῳ μέτρῳ ἐνταῦθα διὰ τὴν τοῦ Κάδμου κίνησιν. τὸ β' ὅμοιον ἰωνικὸν ἀπ' ἐλάττονος ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ, καὶ διιάμβου· εἰ δὲ βούλει, τροχαϊκὸν ἐφθημιμερὲς, τοῦ πρώτου ποδὸς χορείου. τὸ γ' ὅμοιον τῷ α' δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος πρώτου, ἀντὶ ἰωνικοῦ, ἐπιτρίτου τρίτου καὶ συλλαβῆς· εἰ δὲ βούλει, τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ δευτέρου ποδὸς ἀναπαί-

2 καὶ τρίτου καὶ King. pro α' ἐκ τρίτου ϛ'.

5. τὸ νε' δακτ. δίμετρον καταληκτικόν. τὸ ιϛ' δακτυλικὸν ὅμοιον I. Correxit King. e Bar. 74. qui tamen δίμετρον ἔπους pro δίμοιρον. Idem statim post corr. vulg. τὸ νζ' ἀντισπαστικὸν ἀκατάληκτον.

19. τὰ κῶλα—ἀντιστροφῆς τοσαῦτα] τὰ κῶλα δὲ τῆς μονοστροφῆς τοσαῦτα I. Emendavit King.

28. τροχαϊκὸν δίμετρον ἀκατάληκτον] τροχ. ἐφθημιμερὲς δίμ. ἀκ. I. Vocem e versu praecedente repetitam delevit King.

στου. τὸ δ' ὅμοιον τῷ β', δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ, διιάμβου καὶ συλλαβῆς. τὸ ε' τροχαϊκὸν ἐφθημιμερὲς Εὐριπίδειον. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον χορεῖον ἔχει τὸν πρῶτον πόδα. τὸ ϛ' ὅμοιον τῷ β'. τὸ ζ' ἰωνικὸν ἀπὸ μείζονος, ὅμοιον τῷ α', ἐξ ἰωνικοῦ πεντασυλλάβου καὶ διτροχαίου. τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς τὸν μὲν πρῶτον ἔχει πόδα διτροχαῖον, τὸν δὲ δεύτερον ἐπίτριτον τρίτον. τὸ η' τροχαϊκὸν δίμετρον ἀκατάληκτον ἐκ τροχαίου καὶ χορείων. τὸ θ' τροχαϊκὸν ἐφθημιμερὲς Εὐριπίδειον. τὸ ι' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια' τροχαϊκὸν καθαρὸν πενθημιμερές. τὸ ιβ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ πρώτου ποδὸς χορείου. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον καθαρόν ἐστι. τὸ ιγ' καὶ ιδ' τροχαϊκὸν Εὐριπίδειον. τὸ ιε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ τρίτου ποδὸς χορείου. τὸ ιϛ' ὅμοιον καθαρὸν ἰαμβικόν. τὸ ιζ' ἴαμβος καθαρὸς τρίμετρος. τὸ ιη' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικόν. τὸ ιθ' ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐκ διτροχαίου καὶ ἐπιτρίτου τετάρτου. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον ἐπίτριτον τρίτον ἔχει τὸν δεύτερον πόδα. τὸ κ' τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ τῆς ἀντιστροφῆς παράγραφος.

676.—689. *Τῆς ἐπῳδῆς ταύτης τὰ κῶλα ιϛ'. τὸ α' τροχαϊκὸν ἐφθημιμερὲς Εὐριπίδειον. τὸ β' ἰαμβικὸν δίμετρον βραχυκατάλη-*

7. *τὸν δὲ δεύτερον ἐπίτριτον τρίτον*] *τὸν β' ἐπίτριτον* I. E Bar. supplevit King.

12. *τὸ ιγ'—τροχαϊκὸν*] Ut versus fiat trochaicus, in Dorico *μάτηρ* prima corripienda est. *Doricum a in choricis cantilenis usu et auctoritate corripi* posse, Kingius fidenter statuit non hic tantum, sed et notis in Or. 813. 1517. Phoen. 217. Res, haud sane verosimilis, aliunde petitis debuerat exemplis dubio vacuis adfirmari. In talibus equidem a recentioris metrici dictatis dissentire malim, aut a libris fidelioribus auxilium exspectare, quam veterum grammaticorum usn firmatam auctoritatem repudiare, constanter tradentinm Ionicum quidem *α* pro *η* positum corripi, sed *α* Doricum produci: ex Alexandrino Heraclide Eustath. ad Od. M. p. 478, 12. *Δωριεῖς*, inquit, *τὸ ἦτα εἰς ἄλφα μακρὸν τρέπουσιν, οἷον δῆμος, δᾶμος· μὴν, μάν· Ἴωνες δὲ εἰς βραχὺ καταστρέφουσιν,—μεσημβρία, μεσαμβρία. πήρη, πάρη.* Scholiastes ad Hom. Il I, 378. in Leidensi cod. ms. *Ἡρακλείδης φησὶν ὅτι τὰ ἐκ τοῦ η' εἰς βραχὺ α' μεταγόμενα Ἰωνικά ἐστιν, ἀλλ' οὐ Δωριέων συστολαί*, conf. Etymologus p. 12, 40. et Ez. Spanhemius in Callim. h. in Del. 215. VALCK.

17. *τὸ μέντοι—παράγραφος*] Haec etiam K. supplevit e Bar. In I. nihil erat nisi *τὸ μέντοι τῆς ἀντιστροφῆς παράγραφος.*

κτον. τὸ γ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ πρώτου ποδὸς χορείου· εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ, διιάμβου καὶ συλλαβῆς. τὸ δ΄ τροχαϊκὸν πενθημιμερὲς ἐκ χορείων δύο καὶ συλλαβῆς. τὸ ε΄ ὅμοιον τροχαϊκὸν πενθημιμερὲς καθαρόν. τὸ ϛ΄ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν Φερεκράτειον, ἐξ ἀντισπάστου καὶ κρητικοῦ· εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερὲς, ἰάμβου ἀρχομένου. τὸ ζ΄, τὸ η΄, τὸ θ΄, τὸ ι΄, ὅμοια τῷ α΄, τροχαϊκὰ Εὐριπίδεια. τὸ ια΄ ὅμοιον τῷ ε΄. τὸ ιβ΄ ἰαμβικὸν πενθημιμερές. τὸ ιγ΄ ἰαμβικὸν ὅμοιον τῷ β΄. τὸ ιδ΄ τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ ιε΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ ιϛ΄ τροχαϊκὸν Εὐριπίδειον, ὅμοιον τῷ α΄. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

690.—783. Αἱ συστηματικαὶ αὗται περίοδοι καὶ οἱ ἑξῆς ἀμοιβαῖοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι κδ΄, ὧν τελευταῖος "προσευξόμεσθα τήνδε διασῶσαι πόλιν." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

784.—817. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται τριὰς ἐπῳδική, ὡς εἴρηται. οὕτω δὲ χρὴ γράφειν τά τε κῶλα καὶ τοὺς στίχους ὡς διωρθώθη παρ' ἐμοῦ· ἀτάκτως γὰρ ἦσαν καὶ ἀναρμόστως ἐν τοῖς ἀντιγράφοις κείμενα, καὶ πολύν μοι παρέσχον πόνον εἰς τάξιν ταῦτα καὶ ἁρμονίαν μετενεγκεῖν. τὰ μὲν γὰρ ἦσαν δακτυλικά, τὰ δὲ ἀναπαιστικὰ κῶλα, οὐ μὴν δὲ καὶ κατὰ λόγον κείμενα. ἀλλ' εἴ τις ὀρθῶς λογίζοιτο, καλῶς ἂν εὕρῃ ταῦτα διορθωθέντα. ἔστι τοίνυν τῆς στροφῆς τὰ κῶλα καὶ οἱ στίχοι ιζ΄, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τὰ πάντα μέντοι δακτυλικά. τὸ α΄ τετράμετρον ἀκατάληκτον· κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. ὁ β΄ καὶ ὁ γ΄ καὶ ὁ δ΄ ἑξάμετροι. τὸ ε΄ ὅμοιον τῷ α΄. ὁ ϛ΄, ὁ ζ΄, ὁ η΄ καὶ ὁ θ΄ πάλιν ἑξάμετροι. τὸ ι΄ ὅμοιον τῷ α΄. τὸ ια΄ ἑξάμετρον, τὸ ιβ΄ δίμετρον, τὸ ιγ΄, τὸ ιδ΄, τὸ ιε΄ καὶ τὸ ιϛ΄ ὅμοια τῷ α΄. τὸ ιζ΄ ἑφθημιμερές. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ τῆς ἀντιστροφῆς παράγραφος.

834.—1018. Αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν

28. τὸ ι΄—ἑφθημιμερές] τὸ ι΄ καὶ τὰ λοιπὰ ὅμοια τῷ α΄. τὸ ιζ΄ ἑφθημιμερές I. Supplevit King. e Bar.

τριμέτρων ἀκαταλήκτων ρπ', ὧν τελευταῖος "πειρώμεναι τὸ λοιπὸν εὐτυχοῖεν ἄν."

1019.—1066. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται, ὡς εἴρηται, κατὰ σχέσιν· ἔστι δὲ τὸ ᾆσμα στροφῆς μιᾶς, εἰσὶ δὲ τὰ κῶλα τῆς στροφῆς κδ', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α' σύνθετον, ἤτοι ἀσυνάρτητον, ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου. ἥνωσε δὲ ταῦτα ἐνταῦθα, ὡς ἐμοὶ δοκεῖ, δυοῖν ἕνεκα, κινήσεώς φημι καὶ στάσεως· ὡς μὲν γὰρ ἐξ ὄρους φοιτώσης τῆς Σφιγγὸς, τῷ τροχαϊκῷ ἐχρήσατο μέτρῳ, ὡς δ' ἐν τοῖς τείχεσι καθημένης καὶ φθεγγομένης, ὅπερ στάσεώς ἐστι, τῷ ἰαμβικῷ· καὶ ἐν τοῖς ἑξῆς δὲ τούτοις τοῖς μέτροις διῃρημένως ἐχρήσατο. τὸ β' τροχαϊκὸν ἰθυφαλλικὸν, ἤτοι δίμετρον βραχυκατάληκτον. τὸ γ' ἀντισπαστικὸν ἡμιόλιον ἐκ δισπονδείου καὶ ἡμίσεος ἀντισπάστου, ἤτοι ἰάμβου. τὸ δ' ἰαμβικὸν καθαρὸν δίμετρον ἀκατάληκτον. τὸ ε' σύνθετον ἐκ δύο τροχαϊκῶν πενθημιμερῶν· εἰ δὲ βούλει, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐκ διτροχαίου, ἐπιτρίτου τρίτου καὶ ἰάμβου, ἢ πυρριχίου. τὸ ϛ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον ἐκ διτροχαίου, ἐπιτρίτου τετάρτου καὶ συλλαβῆς. τὸ ζ' ὅμοιον, ἐξ ἐπιτρίτων πρώτου καὶ τετάρτου καὶ συλλαβῆς. τὸ η' ἰαμβικὸν ἐφθημιμερές. τὸ θ' καὶ ι' ἰθυφαλλικὰ, τοῦ πρώτου ποδὸς χορείου· εἰ δὲ βούλει, ἰωνικὰ δίμετρα καταληκτικὰ ἐκ παίωνος τετάρτου καὶ ἀμφιβράχεος. τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον ἐκ δ' χορείων. τὸ ιβ' ὅμοιον ἐφθημιμερὲς Εὐριπίδειον, τοῦ πρώτου καὶ δευτέρου ποδὸς χορείου. τὸ ιγ' τροχαϊκὸν ἰθυφαλλικὸν καθαρόν. τὸ ιδ' καὶ ιε' ἰαμβικὰ ὅμοια τῷ δ'. τὸ ιϛ' ὅμοιον τῷ ιγ'. τὸ ιζ' καὶ ιη' ὅμοια τῷ δ' ἰαμβικά. ἐλλιπῆ δὲ ὄντα τὰ κῶλα πρὸς τὰ τῆς ἀντιστροφῆς ἀνεπληρώθη παρ' ἐμοῦ ὁμοίαις λέξεσι. τὸ ιθ' τροχαϊκὸν καθαρὸν δίμετρον ἀκατάληκτον. τὸ κ' τροχαϊκὸν ἐφθημιμερὲς τοῦ πρώτου ποδὸς χορείου. τὸ κα' ἰθυφαλλικόν. τὸ κβ' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου τετάρτου καὶ παίωνος πρώτου. τὸ τῆς στροφῆς δὲ κῶλον πεντασύλλαβον

3. Quae hinc usque ad finem fabulae leguntur desunt in I. Ex cod. Bar. edidit Kingius.

17. τὸ ϛ' τροχ.—τετάρτου] King. legendum monet: τὸ ϛ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτων τετάρτων δύο καὶ συλλαβῆς. τὸ ζ' ὅμοιον ἐξ ἀντισπάστων πρώτου καὶ τετάρτου καὶ συλλαβῆς.

30. παίωνος πρώτου King. pro παίωνος τετάρτου.

ἔχει τὸν ἐπίτριτον. τὸ κγʹ ἰωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος δευτέρου καὶ κρητικοῦ. τὸ τῆς στροφῆς δὲ κῶλον ἐν μὲν τῷ πρώτῳ ποδὶ συνίζησιν ἔχει, ἐν δὲ τῷ δευτέρῳ ἀντὶ τοῦ κρητικοῦ ἀμφίβραχυν. τὸ κδʹ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνὶς μόνη.

1067.—1282. Αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σιεʹ, ὧν τελευταῖος "θανοῦσα δ' αὐτοῖς συνθανοῦσα κείσομαι." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

1283.—1307. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται, ὡς εἴρηται, κατὰ σχέσιν. ἔστι δὲ τὸ παρὸν ᾆσμα μιᾶς στροφῆς, τὰ κῶλα δὲ τῆς μὲν στροφῆς ιεʹ, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ αʹ ἀναπαιστικὴ βάσις, ἤτοι μονόμετρον. τὸ βʹ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ γʹ ὅμοιον τῷ αʹ, ἐξ ἀναπαίστων, οὐκ ἐκ σπονδείων, ὡς ἐκεῖνο. τὸ δʹ τροχαϊκὴν ἰθυφαλλικὸν ἐκ τριῶν χορείων. τὸ ζʹ τροχαϊκὸν πενθημιμερὲς, τοῦ πρώτου ποδὸς χορείου· εἰ δὲ βούλει, παιωνικὸν ἡμιόλιον. τὸ ηʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ θʹ ὅμοιον ἀντισπαστικὸν ἡμιόλιον. τὸ ιʹ καὶ ιαʹ ὅμοια τῷ ζʹ. τὸ ιβʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ιγʹ ὅμοιον καταληκτικὸν ἐφθημιμερές. τὸ ιδʹ ἰαμβικὸν ὅμοιον πενθημιμερὲς, ἐκ δύο χορείων, καὶ συλλαβῆς. τὸ ιεʹ ὅμοιον δίμετρον βραχυκατάληκτον, τοῦ πρώτου ποδὸς χορείου, τοῦ δὲ δευτέρου ἀναπαίστου. ἑξῆς δὲ μετὰ τὰ κῶλα τῆς ἀντιστροφῆς ἐν ἐκθέσει σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν δύο. ἐχρήσατο δὲ τούτῳ διὰ τὴν σπουδὴν τοῦ Κρέοντος καὶ τοῦ δρόμου. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς ὡσαύτως, τοῦ δὲ συστήματος κορωνίς.

15. In scholiis ipsis haec posuit King. [Τὸ εʹ ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου βʹ καὶ ἰάμβου. τὸ ϛʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ τριῶν χορείων.] Sed in nota ad h. v. "Scholia, inquit, de metro hujus versiculi et partim sequentis in optimo codice desunt, ex eo quod haec verba (τριῶν χορείων) bis venirent; unde librarius minus cautus in posteriora verba oculos injecit, et intermedia excidebant." Unde igitur petita dicas, quae in textu leguntur? e codice, opinor: et desse scholia narrat K. Ipse ita locum supplet: τὸ εʹ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ δύο κρητικῶν. τὸ ϛʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ δύο χορείων καὶ πυρριχίου διὰ τὴν ἀδιάφορον, quae omittenda erant ei, qui veterum tantummodo annotationes exhibere statuerat. MATTH.

1310.—1334. Αἱ περίοδοι αὗται στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων κε΄. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος.

1335.—1339. Τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἑτερόστροφα· εἰσὶ δὲ τοῦ μὲν πρώτου συστήματος στίχοι τροχαϊκοὶ, διὰ τὴν τοῦ ἀγγέλου σπουδὴν, τετράμετροι καταληκτικοὶ ε΄.

1340. Ἡ ἑξῆς στροφὴ κώλων β΄. τὸ α΄ ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. τὸ β΄ σύνθετον ἐκ δύο παιωνικῶν ἡμιολίων.

1342.—1344. Τὸ ἑξῆς σύστημα στίχων ἰαμβικῶν τριμέτρων γ΄.

1345. Ἡ ἑξῆς στροφὴ κώλων β΄. τὸ α΄ ἐπιχοριαμβικὸν τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου τετάρτου, χοριάμβου καὶ κρητικοῦ. τὸ β΄ ἴαμβος τρίμετρος.

1347.—1349. Τὸ ἑξῆς σύστημα στίχων ἰαμβικῶν τριμέτρων γ΄.

1350. Ἡ τελευταία στροφὴ κώλων β΄. τὸ α΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου ἑξασυλλάβου καὶ διιάμβου, διὰ τὴν ἀδιάφορον. τὸ β΄ ὅμοιον τρίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, διιάμβου, διτροχαίου καὶ συλλαβῆς. ἐπὶ ταῖς ἀποθέσεσι τῶν στροφῶν καὶ συστημάτων παράγραφος.

1352.—1479. Αἱ περίοδοι αὗται στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρκη΄, ὧν τελευταῖος "τῇδ' ἐξέβησαν, οἱ δὲ δυστυχέστατοι." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

1480.—1484. Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ε΄· ἐπὶ τῷ τέλει παράγραφος.

1485.—1507. Τὰ τοιαῦτα εἴδη καλεῖται συστηματικὰ ἐξ ἀνομοίων, κατὰ περιορισμοὺς ἀνίσους, καὶ μετρικὰ ἄτακτα, εἰσὶ δὲ πάντα τὰ τῆς στροφῆς κῶλα νη΄. τὸ α΄ προσοδιακὸν τρίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου, ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ διιάμβου. τὸ β΄ δακτυλικὸν δίμετρον· οὐδέτερον γάρ ἐστι τὸ ἁβρά, καὶ οὐ θηλυκὸν, ὥς τινες οἴονται. τὸ γ΄ ὅμοιον τῷ α΄. τὸ δ΄ ἀναπαιστικὸν ἐφθημιμερές. τὸ ε΄ ὅμοιον τῷ γ΄. τὸ ϛ΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ΄ ὅμοιον. τὸ η΄ δακτυλικὸν τετράμετρον. τὸ θ΄ ἰαμβικὸν πενθημιμερές. τὸ ι΄ ὅμοιον τῷ η΄. τὸ ια΄ δακτυλικὸν πενθημιμερές. τὸ ιβ΄, τὸ ιγ΄, τὸ ιδ΄ ὅμοια τῷ η΄. τὸ ιε΄ ὅμοιον τῷ θ΄. τὸ ιϛ΄ καὶ τὸ ιζ΄ ὅμοια

τῷ η'. τὸ ιη' ἀναπαιστικὸν μονόμετρον, τοῦ πρώτου ποδὸς χορείου. τὸ ιθ', τὸ κ', τὸ κα' ὅμοια τῷ η'. τὸ κβ' ὅμοιον τῷ β'. τὸ κγ' καὶ τὸ κδ' ὅμοια τῷ η'. ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος.

1508.—1538. Ἑτέρα στροφὴ δοκεῖ εἶναι αὕτη, ἐπεὶ καὶ τὰ κῶλα ἐνηλλαγμένα ἐστί. συστηματικὰ δέ ἐστι καὶ ταῦτα ἐξ ἀνομοίων. εἰσὶ δὲ πάντα τὰ τῆς στροφῆς λδ'. τὸ α' ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου πρώτου καὶ τροχαίου. τὸ β' περιοδικὸν δίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς καταληκτικῆς. τὸ γ' ἰαμβικὸν πενθημιμερές. τὸ δ' χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ χορείου, ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ ε' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ϛ' ὅμοιον τῷ δ'. τὸ ζ' ὅμοιον, τοῦ δευτέρου ποδὸς προκελευσματικοῦ τετραβράχεος· εἰ δὲ βούλει, τροχαϊκὸν ἰθυφαλλικὸν τοῦ δευτέρου καὶ τοῦ τρίτου ποδὸς χορείου. τὸ η' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν Φερεκράτειον ἐξ ἀντισπάστου καὶ βραχείου. τὸ θ' προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ χοριάμβου. τὸ ι' ἀναπαιστικὸν πενθημιμερές· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ ἀναπαίστου. τὸ ια' χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ δύο χοριάμβων. τὸ ιβ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τρίτου, ἰωνικοῦ καὶ ἰάμβου. τὸ ιγ' ἰαμβικὸν πενθημιμερὲς, τοῦ πρώτου ποδὸς χορείου τριβράχεος. τὸ ιδ' δακτυλικὸν πενθημιμερές· εἰ δὲ βούλει, χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ δακτύλου. τὸ ιε' ἰαμβικὸν ὅμοιον τῷ ε'. τὸ ιϛ' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ δύο ἰωνικῶν ἀπ' ἐλάττονος καὶ συλλαβῆς. τὸ ιζ' ἀναπαιστικὸν ἑφθημιμερές. τὸ ιη' ὅμοιον τῷ ε', τοῦ πρώτου ποδὸς χορείου. τὸ ιθ' παιωνικὸν δίμετρον ὑπερκατάληκτον καθαρόν. τὸ κ' ἀναπαιστικὸν ἑφθημιμερές. τὸ κα' ὅμοιον. τὸ κβ' ἀντισπαστικὸν ὅμοιον τῷ η'. τὸ κγ' δακτυλικὸν δίμετρον· εἰ δὲ βούλει, χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ κδ' ὅμοιον τῷ κα'· ἔστω δὲ, εἰ βούλει, ἀμφότερα χοριαμβικὰ καθαρὰ δίμετρα ὑπερκατάληκτα. τὸ κε' ἀναπαιστικὴ βάσις· δι' ἑνὸς γὰρ τ' ὀφείλει γράφεσθαι. τὸ κϛ' τροχαϊκὸν πενθημιμερές. τὸ κζ' περίοδος ἐκ τροχαϊκῆς συζυγίας, τοῦ πρώτου ποδὸς χορείου, καὶ ἰαμβικῆς. τὸ κη' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ τετάρτου ποδὸς ἀναπαίστου. τὸ κθ' ἀντισπαστι-

9. τὸ δ'] Sic King. quum in codice esset εἰ δὲ βούλει.

κὸν τρίμετρον καταληκτικὸν, τοῦ δευτέρου ποδὸς ἐξαβράχεος. τὸ λ′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, συνίζησιν ἔχον ἐν τῷ πρώτῳ ποδί. τὸ λα′ ...... τὸ λβ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἀντισπάστου * * * ἐξ ἀντισπάστου καὶ διιάμβου. τὸ λδ′ ἰωνικὸν ἡμιόλιον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ σπονδείου, ἤτοι ἡμίσεως ἰωνικοῦ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ τῷ τέλει κορωνίς.

1539. Τὰ τοιαῦτα εἴδη καλεῖται ἑτερόστροφα συστηματικὰ, ἔστι δὲ τὰ κῶλα τῆς παρούσης στροφῆς ζ′. τὸ α′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον καθαρόν. τὸ β′ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. τὸ γ′ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον καθαρόν. τὸ δ′ χοριαμβικὸν δίμετρον καταληκτικὸν καθαρόν· εἰ δὲ βούλει, δακτυλικὸν ἐφθημιμερές. τὸ ε′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον.

3. τὸ λα′] Versum, cujus descriptio hic desideratur, King. vocat Cleomachium ex ionico majore et molosso, i. e. ionicum dimetrum catalecticum. Sequentem lacunam ita explevit King.—ἐξ ἀντισπάστου, ἐπιτρίτου τρίτου καὶ συλλαβῆς. τὸ λγ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον Γλυκώνειον ἐξ ἀντισπάστου etc.

12. ἐφθημιμερὲς] Lege πενθημιμερές. KING. In hoc scholio desinit Bar.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΑΣ ΦΟΙΝΙΣΣΑΣ.

Ὦ ΤΗΝ ἐν ἄστροις: ἔθος ἔχουσιν οἱ τραγικοὶ παράγειν τοὺς ἥρωας θεοῖς τὰς συμφορὰς ἀπολοφυρομένους. καὶ ἐν Μηδείᾳ

ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολούσῃ δεῦρο δεσποίνης τύχας.

Ἄλλως. παλαιά τις φέρεται δόξα ὡς Σοφοκλῆς μὲν ἐπιτιμήσειεν Εὐριπίδῃ ὅτι προέταξε τούτους τοὺς δύο στίχους, ὁ δὲ Εὐριπίδης ὅτι προέταξεν ἐν Ἠλέκτρᾳ ὁ Σοφοκλῆς τὸ "ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτέ." Ἄλλως. ὦ διοδεύων τοῦ οὐρανοῦ τὴν ὁδὸν τὴν παρὰ τοῖς ἄστροις, ὅ ἐστι τὴν παρὰ τοῖς οἴκοις τοῦ ζωδιακοῦ κύκλου· ὅτι γὰρ ἄστρα τοὺς οἴκους φασὶ τοῦ ζωδιακοῦ κύκλου Ἄρατος εἴρηκεν,

αὐτὰρ ἑκάστη
ἴση μετρηθεῖσα δύω περιτέμνεται ἄστρα.
ζώδιον δέ ἑ κύκλον ἐπίκλησιν καλέουσιν.—A.B.C.M.I.

3. In A.C.M. hic est ordo scholiorum, ὦ τὴν ἐν ἄστροις: παλαιά—ποτέ. ἄλλως. ὦ διοδεύων—καλέουσιν. ἄλλως. ἔθος ἔχουσιν—τύχας. ἄλλως. ἐπειδὴ κυκλοτερὴς — φέρεται ὁ ἥλιος. (Haec posuimus p. 32, 6.) λείπει δὲ ἡ σύν (ἡ δὲ σὺν C., omisso λείπει)—ἔκφερον ἵπποι.

ib. παράγειν B.C.M. παρέχειν I.

4. καὶ] ὡς καὶ I.

ib. Μηδείᾳ] 57.

5. μ' ὑπῆλθε] μ' om A. ὑπῆλθέ μοι M. ἐπῆλθέ μοι H.T.

6. λέξαι—τύχας om. M.

ib. δεσποίνης C.H. δεσπότῃ I. δέσπο B., omittit A.

ib. τύχας om. B.I.

7. παλαιά τις φέρεται δόξα] Inane grammatici alicujus commentum notavi in Vita Sophoclis p. xxxviii.

8. προέταξε—προέταξεν] Legebatur μὴ προέταξε—μὴ προέταξεν. μὴ delevit Valck.

ib. προέταξε] προσέταξε M. In C. H. est ὅτι μὴ προσέταξεν εὐριπίδης τοὺς δύο τούτους στίχους, ὁ εὐριπίδης, ὅτι μὴ προσέταξεν (προέταξεν H.T.) ἠλέκτραν ὁ σοφοκλῆς.

ib. δύο om. B.

9. ἐν om. A.

ib. τὸ om. I.

10. ἐν τροίᾳ A.B.M. ἠλέκτρα I. In C. στρατηγήσαντος. ἄλλως, mediis omissis.

ib. ἄλλως A.C.M. Lemma ὦ τὴν ἐν ἄστροις repetunt B.I.

ib. ὦ] ὁ C.

11. ὅτι γὰρ] καὶ γὰρ A.

12. τοὺς οἴκους φησὶ C.M. φησὶ τοὺς οἴκους B.I. φησὶ om. A. Scripsi φασί.

ib. Ἄρατος] Phaen. 543.

ib. εἴρηκεν] φησὶν A.C.M.

13. ἑκάστη] ἰοκάστη C.

14. δύω] δύο I. $\overline{\beta}$ B.

ib. ἄστρα A.B.C.H.M. οἴκους I.

ἄστρον καὶ ἀστὴρ διαφέρει· ἀστὴρ μὲν ὁ εἷς, ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων ἀστροθέτημα καὶ συμφορ... οἷα καὶ τὰ ν... ἄστρα τὰ ιβʹ ζω... A.

ὦ τὴν ἐν ἄστροις: ταῦτα πάντα πρὸς τὸν ἥλιον ἀποτείνει Ἰοκάστη δυσχεραίνουσα διὰ τὰ συμβάντα. Gu.

τὴν ἐν ἄστροις: τὴν ἐν τοῖς ζωδίοις. Gr. τὴν ἐν τοῖς ζωδιακοῖς κύκλοις. Gu. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἢ πρὸς τὸ ἄστρα τὸ οὐρανοῦ, ἢ πρὸς τὸ ὁδόν. Gu. τέμνων: διερχόμενος. Gr. ὁδεύων. Gu. Florr. iidem. et 33.

2. χρυσοκολλήτοισιν: χρυσοκολλήτῳ, ἐκ χρυσοῦ ἡρμοσμένῳ, ἀντὶ τοῦ χρυσοειδεῖ. Gr. Flor. 5. 6. 9. 21. 56. 59. 76. Mosq. ἐμβεβώς: ἐπιβεβηκώς. Gr. Florr. iidem. ἐποχούμενος. Gu. Fl. 33. qui addit βαίνων. δίφροις: δίφρῳ ἤγουν ἅρματι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

3. θοαῖς ἵπποισι: λείπει ἡ σύν, ἵν' ᾖ σὺν θοαῖς ἵπποισι. καὶ παρ' Ὁμήρῳ "αὐτῇ κεν γαίῃ ἐρύσαιμι," καὶ ἐν Βάκχαις "αὐτῇσιν ἐλάταις," καὶ ἐν Ἱππολύτῳ "αὐτῇσιν ἀρβύλαισιν ἁρμόσας πόδα." καὶ ἐστὶν Ἀττικὴ ἡ συνήθεια. ἔδει δὲ ἐκ τοῦ ἐπικρατοῦντος ἀρσενι-

p. 30. l. 15. ζωΐδιον B.M. ζωιδίου A. ζωδίου A.C.H. ζωδίων I. Rectam scripturam ζωΐδίων Arato restituit Vossius.

ib. ἐπίκλησιν καλέουσιν A.B.C.H. M. ἐπικλείουσιν I.

1. 2. Annotatio scholiis aliunde illata, quacum conf. schol. Hom. Il. 4, 75. 5, 5. Ammon. p. 26. cum annot. Kulencampii in ed. Lips. Verba postrema partim obliterata in codice ad duodecim signa Zodiaci spectare videntur.

11. ἀντὶ τοῦ] ἤγουν Mosq.

15. λείπει] λείπει δὲ A.M., alio scholiorum ordine, de quo diximus ad p. 30, 3.

ib. θοαῖς om. A.C.M.

16. καὶ παρ' ὁμήρῳ (Il. 8, 24.) A. B.C.M. καὶ ὅμηρος I.

ib. αὐτῇ—Βάκχαις] αὐτοὺς καὶ γένει. ἐν βάκχαις A. αὐτῇ—ἐρύσαιμι om. C.

ib. ἐρύσαιμι] ἐρύσαιτο I.

ib. Βάκχαις "αὐτῇσιν ἐλάταις] In Bacchis frequens quidem abietum mentio, sed haec verba non inveniuntur, olim fortasse lecta v. 741. κρεμαστὰ δὲ | αὐτῇσιν ἐλάταις ἀναπεφυρμέν' αἵματι, quae non postponerem vulgatis ἔσταζ' ἐπ' ἐλάταις. VALCK.

17. Ἱππολύτῳ] 1189.

ib. ἀρβύλῃσιν A.B.C.I. ἀρβύλαισιν M. Ex quo colligi potest etiam utrumque quod praecedit αὐτῇσιν in αὐταῖσιν esse mutandum.

ib. ἁρμόσας] ἁρμόσαι I.

18. καὶ ἔστιν] ἔστι δὲ C.H.

ib. ἔδει δὲ] δὲ om. A. qui lemma praefigit θοαῖς ἵπποισι.

κῶς αὐτοὺς ὀνομάσαι. τέσσαρες δέ εἰσι, Χρόνος, Αἰθὼ, Ἀστραπὴ, Βροντὴ, ἄλλοι δὲ φασιν ὡς δύο, Λάμπων καὶ Φαέθων. ἔθος δὲ τοῖς ποιηταῖς θηλυκῶς λέγειν τὰς ἵππους, Σώφρονι "τὰν ἵππον," καὶ ἐν Ἱππολύτῳ "αἱ δ' ἐνδακοῦσαι στόμια," καὶ παρ' Ὁμήρῳ "αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι." A.B.C.M.I.

εἱλίσσων: ἐπειδὴ κυκλοτερὴς ὁ οὐρανὸς, ἢ ἐπειδὴ ἑλικοειδὴς ὁ ζωδιακὸς κύκλος, καθ' ὃν φέρεται ὁ ἥλιος. A.C.M. *στρέφων, παράγων τὴν ἀκτῖνα.* M. *στρέφων, περιφέρων.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. *στρέφων, περιελαύνων, περιάγων.* Fl. 33. *διὰ συστροφῆς ποιῶν.* Gu. *φλόγα: τὰς ἀκτῖνας.* Gr. Florr. Mosq.

4. *ὡς δυστυχῆ: ἀσεβεῖ, φασὶ, τὴν ἀκτῖνα τοῦ ἡλίου δυστυχῆ καλῶν. πῶς δὲ ἀσεβεῖ, ὁπότε καὶ Ἡσίοδος ἀποφαίνει πονηράς τινας τῶν ἡμερῶν; Ἄλλως. οἱ κακοδαιμονοῦντες καὶ τὰς πρώην εὐδαιμονίας ἀτυχίας νομίζουσι, τῇ παρούσῃ δυσποτμίᾳ βαρυνόμενοι.* A.B.M.I.

ὡς δυστυχῆ: καὶ μὴν τότε εὐδαίμονες ἦσαν αἱ Θῆβαι διά τε τὸν Ἁρμονίας γάμον, ἐν ᾧ οἱ θεοὶ εἱστιάθησαν, καὶ τὴν Διονύσου καὶ

1. *αὐτοὺς*] *αὐτὰ* A.

ib. *τέσσαρες δέ*] *τέσσαρα γάρ* B. M. In Gu. est *τέσσαρές εἰσιν οἱ ἡλίου παῖδες οὕτω καλούμενοι, χρόνος* etc.

ib. *Χρόνος, Αἰθὼ*] Suspectum *Χρόνος* et manifesto vitiosum femininum *Αἰθώ*, quod in *Αἴθων* mutabat Spanhem. ad Callim. Del. 169. Cer. 67. quum Solis equorum duo mares fuisse constet. *Ἠῷος, Αἴθοψ* Valck. collato Hygino Fab. 183. *Eos—Aethops—funales sunt mares: feminae jugariae Bronte—Sterope.* Eidem quae sequuntur apud Hyginum "*item quos Homerus tradit, abrax aslo therbeeo*" sic videntur integranda "*item quos Euhemerus tradit, Labrax, Aethon, Therme, Eoë.*"

2. *ἄλλοι δὲ—Φαέθων* add. M. (?) Gu. King., om. A.B.I. Quae sequuntur usque ad finem scholii om. Gu.

ib. *ἔθος δὲ*] *ἔνθα ἐστὶ* C.H., omissis praecedentibus *ἔδει δὲ—Φαέθων*.

3. *Σώφρονι*] Probabilius *ὡς παρὰ Σώφρονι. Σώφρονι—ἔκφερον ἵπποι* om. C.

4. *Ἱππολύτῳ*] 1223.

ib. *αἱ δ'*] *αἴδ'* libri.

ib. *στόμια*] *στόμα* libri.

ib. *Ὁμήρῳ*] Il. 23, 376.

6. *ἐπειδὴ—ὁ ἥλιος*] Haec in A.C. M. supra leguntur, ut diximus ad p. 30, 3.

7. *παράγων*] Recte *περιάγων* in proximis.

11. *φασὶ*] *φησὶ* A.B.

12. *ἀποφαίνει πονηράς* (*δυστυχεῖς* A.) hoc loco M., post *ἡμερῶν* B.I.

ib. *εὐδαιμονίας*] *εὐτυχίας* A.C.T. In H. *τὴν πρώτην εὐτυχίαν ἀτυχίαν.* Conf. schol. ad v. 1600.

13. *οἱ—βαρυνόμενοι*] Haec etiam in C.

15. *ὡς*] *ἄλλως* praefixum in A. (qui lemma om.) et B.

ib. *καὶ μὴν*] Haec cum praecedenti scholio conjuncta in C. omisso lemmate omissoque *αἱ Θῆβαι*, distincta in M.

16. *ἁρμονίας* A.B.C.H.M. *ἁρμονιακὸν* I.

ib. *εἱστιάθησαν*] *ἑστιάθησαν* M.

Ἡρακλέους γένεσιν. νοσεῖν δὲ ἤρξατο ἐξ οὗ ἐτεκνώθη Λάϊος βίᾳ θεῶν. τὰ τοιαῦτα δ' οὐ πρὸς τὸ ἀληθές, ἀλλ' ὡς οἱ λέγοντες πάθους ἔχουσιν. εὐεπίφορος δὲ ὁ Εὐριπίδης πρὸς ἕτερα πρόσωπα πρεσβύτερα τὴν τῶν δυστυχημάτων αἰτίαν ἀναφέρειν. καὶ ἐν Τρῳάσιν ἡ Ἑλένη φησὶν "πρῶτον μὲν ἀρχὰς ἔτεκεν ἥδε τῶν κακῶν Πάριν τεκοῦσα." καὶ ἐν Ὀρέστῃ "σύ τοι φυτεύσας θυγατέρ', ὦ γέρον, κακὴν ἀπώλεσάς με." κέχρηται τούτῳ τῷ εἴδει καὶ Ὅμηρος "ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας ἀρχεκάκους," καὶ Εὔμαιος συμπαθῶς ἔχων πρὸς τὸν Ὀδυσσέα φησὶν "ὡς ὤφελλ' Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι," καίτοι τῶν ἀδελφῶν αὐτῆς τῶν Διοσκούρων ἤδη θεῶν ὄντων καὶ πολλὰ τοῖς ἀνθρώποις ἐπαρκούντων. ἔτι δέ τινες ἐγκαλοῦσι τῷ Εὐριπίδῃ ὡς οὐκ ἀκολούθως γενεαλογήσαντι· εἰ μὲν γὰρ ἐξ ἀρχῆς ἐβούλετο τὰ πράγματα λέγειν, ἐχρῆν τὴν ἐκ Φοινίκης ἀποικίαν τοῦ Κάδμου κατὰ λεπτὸν μετὰ τῆς αἰτίας διηγήσασθαι· εἰ δὲ ἐκ τῆς ὑπογύου ἀρχῆς, ἔδει ἀπὸ τῶν Λαΐου δυστυχημάτων ἄρξασθαι. πρὸς οὓς ῥητέον ὅτι, εἰ μὲν ἄνωθεν ἤρξατο, μακρὸς ἂν ἦν ὁ λόγος, ἄλλως τε οὐκ ἔπρεπε Θηβαίαν γυναῖκα ἀκριβῶς τὰ ἐν Φοινίκῃ ἐπίστασθαι· εἰ δὲ ἀπὸ τῶν Λαΐου δυστυχημάτων, πολλὰς ἂν τῶν περὶ τὰς Θήβας συμφορῶν παρέλιπεν. Ἀκταίωνα μὲν γὰρ αἱ οἰκεῖαι κύνες διεσπάσαντο, Πενθέα τε τὸν υἱὸν Ἀγαυή, Σεμέλην τε ἐκεραύνωσεν ὁ Ζεύς, καὶ τὸν Ἰνοῦς υἱὸν Λέαρχον μὲν μανεὶς ὁ πατὴρ Ἀθάμας ἀπέκτεινε, Μελι-

1. νοσεῖν] νοσεῖ C. νοεῖν B.M.I.
ib. καὶ post οὗ add. C.M.
ib. ἐτεκνώθη] ἔτεκε A.
2. πάθους] πάθος C.M.
4. Τρῳάσιν] 919.
5. Πάριν τεκοῦσα om. A.
6. ἐν (ἐν om. M.) Ὀρέστῃ] 584.
7. Ὅμηρος] Il. 5, 62. et Od. 18, 68.
ib. Ἀλεξάνδρῳ] ἀλέξανδρος A.
8. ἐΐσας] ἐΐσους A.
ib. ἀρχεκάκους addidi ex A.B.M.
9. φησὶν] φασὶν A.
ib. ὤφελλ' ex Homero Barnes. pro ὄφελ'. ὄφελεν A.
ib. ὀλέσθαι, καίτοι] ὀλέσαι, καὶ A.
10. καὶ] ὡς A.
11. ἐγκαλοῦσι] ἀκολουθοῦσι A.
12. γὰρ om. M.
13. λέγειν] λέγεσθαι A.M.
ib. τὴν] τῆς A.
ib. ἀποικίαν B.T. et haud dubie M. in quo vocabulum nunc obliteratum. αἰτίαν I.
ib. κατὰ λεπτὸν ante τοῦ κάδμου A.M.
14. ὑπογύου] ὑπογυίου A.
19. παρέλιπεν] κατέλιπεν A.
ib. Πενθέα τε] τε et mox ὁ Ζεὺς om. M., τε om. A.
20. Ἀγαυὴ Valck. pro Ἀγαυῆς (ἀγαφῆς A.) Rectior accentus est Ἀγαύη.
ib. τὸν ἰνοῦς A. τῆς ἰνοῦς ceteri.

κέρτης δὲ μετὰ τῆς μητρὸς ἔπεσεν εἰς τὴν θάλασσαν, οἱ Νιόβης δὲ παῖδες ἐτοξεύθησαν, καὶ αὐτὴ λίθος ὁρᾶται δακρύων. A.B.M.I.

ὡς δυστυχῆ: λίαν ἐν ταύτῃ τῇ ἡμέρᾳ καὶ ἐν ἐκείνῃ, ὅτε ὁ Κάδμος τὴν οἰκίαν καταλιπὼν ἦλθεν ἐνταῦθα δυστυχῆ ἀκτῖνα ἐφῆκας, ἀνέτειλας. M. δυστυχῆ ἀκτῖνα λέγει οὐ δι' ἑαυτὴν, ἀλλὰ διότι ἐν αὐτῇ ἐγένετο ἡ ἀρχὴ καὶ ἡ αἰτία τῆς δυστυχίας αὐτῶν. Gr. Bar. Mosq. ὡς: λίαν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. Θήβαισι: νῦν οὕτω καλουμέναις. Gu. τῇ τόθ' ἡμέρᾳ: κατὰ τὴν τότε ἡμέραν, ἡνίκα ὁ Κάδμος ἦλθεν εἰς τὴν γῆν τήνδε. Gr. Florr. iidem, Mosq.

5. ἐφῆκας: ἐπέβαλες, ἀνέτειλας. ἐμφαντικὸν δὲ πάνυ τὸ ἀκτῖν' ἐφῆκας. M. ἐφῆκας ταῖς Θήβαις, ἤγουν ἐπάνω τῶν Θηβῶν ἀφῆκας. Gr. Florr. iidem, Mosq.

Κάδμος ἡνίκ' ἦλθε: Λιβύης τῆς Ἐπάφου καὶ Ποσειδῶνος Ἀγήνωρ καὶ Βῆλος· Ἀγήνορος δὲ καὶ Ἀντιόπης τῆς Βήλου Κάδμος, Κίλιξ, Φοῖνιξ, ἀφ' οὗ οἱ Φοίνικες. ἐκ Φοίνικος καὶ Τηλέφης τῆς Ἐπιμεδούσης Πείρως, Ἀστυπάλη, Εὐρώπεια, Φοινίκη. ἔνιοι δὲ ἀντὶ Ἁρμονίας Ἠλέκτραν γῆμαι αὐτόν φασι. A.B.C.M.I.

Κάδμος: Ἀγήνορος θυγάτηρ Εὐρώπη, ἣν λαβὼν Ζεὺς εἰς Κρήτην ἀγνοίᾳ τοῦ πατρὸς ἤγαγεν. ὁ δὲ περιήρχετο ζητῶν καὶ τοὺς υἱοὺς αὐτοῦ, Κάδμον, Θάσον, Κίλικα καὶ Φινέα, ἀπέστειλε ψηλαφήσαντας μαθεῖν. Κάδμος οὖν τὸν χρησμὸν λαβὼν εἰς τὸ Ἀπόλλωνος ἱερὸν

1. δὲ π. A. τε π. ceteri.

2. αὐτὴ A. ἂυ M. αὕτη B.I.

15. καὶ Βῆλος (μενέλεος C.) om. H.

ib. Ἀντιόπης τῆς Βήλου] Ἀργιόπης τῆς Νείλου Valck. recte, collato schol. Apoll. Rh. 3, 1185. Φερεκύδης ἐν δ' οὕτω φησὶν "Ἀγήνωρ δὲ ὁ Ποσειδῶνος γαμεῖ Δαμνὼ τὴν Βήλου. τῶν δὲ γίνονται Φοῖνιξ καὶ Ἰσαίη, ἣν ἴσχει Αἴγυπτος καὶ Μελία, ἣν ἴσχει Δαναός. ἔπειτεν ἴσχει Ἀγήνωρ Ἀργιόπην τὴν Νείλου τοῦ ποταμοῦ, τῶν δὲ γίνεται Κάδμος." *Argiope* etiam ap. Hygin. Fab. 6. 178. et 179.

16. ἀφ' οὗ Φοίνικες add. B.C.H.M.

ib. ἐκ add. M.

ib. Φοίνικος Barnes. pro Φοινίκης.

ib. Τηλέφης C.M. τηλέφου B.I.

17. Πείρως om. A. πίσιος M. πεῖσις C.H.

ib. ἀντὶ] μὲν add. M. ἀντὶ τῆς C. Conf. ad v. 7.

18. γῆμαι post φασί A.C.

19. Ἀγήνορος—οἱ γίγαντες] Scholion recentius, quod est etiam in H. et Ven. 468., verum non hoc loco, sed post ὑπόθεσιν fabulae.

20. περιήρχετο] διήρχετο Ven. 468.

21. αὑτοῦ Matth. pro αὐτοῦ.

ib. Θάσον] βάσσον Gu.

ib. Φινέα] Immo Φοίνικα, ut monet Matth.

22. οὖν om. Ven. 468.

ib. τὸ] τὸ τοῦ H.

ἐτάχθη δάμαλιν λαβεῖν, καὶ ἀπερχόμενος ἐλαύνειν ἔμπροσθεν, καὶ ὅπου κλιθεῖσα ἡ δάμαλις πέσῃ, κτίσαι πόλιν. κτίζει οὖν Θήβας, καὶ τὸν δράκοντα ἀναιρεῖ, σπείρας τοὺς ὀδόντας αὐτοῦ, ἐξ ὧν ἀνεφύησαν οἱ γίγαντες. Gu. Bar.

6. Φοίνισσαν ἐναλίαν χθόνα: εἰ μὲν ἐπὶ πάσης τῆς Φοινίκης, ἀκουστέον ἀντὶ τοῦ παραλίαν, εἰ δ' ἐπὶ μιᾶς πόλεως, ἐκδεκτέον τὴν Τύρον· νησιάζεται γάρ, ὡς καὶ ἑξῆς φησι "Τύριον οἶδμα λιποῦσ' ἔβαν ἀκροθίνια Λοξίᾳ Φοινίσσας ἀπὸ νάσου," τουτέστι τῆς Φοινίκης νήσου Τύρου. καὶ "Κάδμος ἔμολε τάνδε γᾶν Τύριος." Ἄλλως. τὴν Τύρον· νησιάζεται γάρ. προληπτικὸς δὲ ὁ λόγος. οὐδέπω γὰρ ἐκαλεῖτο Φοινίκη. ἐν γοῦν τῷ Φρίξῳ φησὶν

ἦσαν γὰρ Ἀγήνορος κόροι,
Κίλιξ, ἀφ' οὗ καὶ Κιλικία κικλήσκεται,
Φοῖνιξ, ὅθενπερ τοὔνομ' ἡ χώρα φέρει,
καὶ Θάσος.—A.B.C.M.I.

Φοίνισσαν ἐναλίαν: τὴν τῆς Φοινίκης παραθαλασσίαν γῆν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. θαλασσίαν, παραλίαν. Gu.

7. γήμας Κύπριδος: Δερκύλος Θηβαίου τινός, Δράκοντος τοὔνομα, βασιλέως δὲ Θηβαίων, φησὶν εἶναι τὴν Ἁρμονίαν θυγατέρα, ὃν

1. δάμαλιν—δάμαλις] δύναμιν—δύναμις H.

ib. ἀπερχόμενος ἐλαύνειν H. ἀπερχομένους ἐλαύνει Ven. 468. ἀπερχόμενον ἐλαύνειν Gu. Bar.

2. κλιθεῖσα—πέσῃ] κλιθείη — πεσοῦσα Gu. H. Ven.

7. καὶ (καὶ om. A.C.) ἑξῆς] 202.

ib. φησι om. A.B.C.M.

8. Φοινίσσας] φοινίκων A.

ib. τουτέστι—Τύριος om. A.C.

9. καὶ] 638.

10. νησιάζεται γὰρ (γὰρ ν. C.)] ἡ Φοινίκη add. libri, quod delevit Hemst. ad Lucian. Jud. voc. p. 87.

11. Quae post Φοινίκη sequuntur obliterata in M.

12. κόροι] παῖδες I. κοῦροι codices, inter quos etiam H.T. Correctum ex Tzetzae Prolegomenis ad Aristophanem editis ab H. Keilio in Welckeri Museo Rhen. vol. 6. p. 616. ex quo novimus Euripidis verba fuisse, ἣ δ' ἦλθ' ἀνάγκῃ πεδία Φοινίκης λιπὼν | λέγοιμ' ἄν. ἦσαν τρεῖς Ἀγήνορος κόροι—.

14. ὅθενπερ] ὅθεν παρὰ A.

18. Δερκύλος scripsi pro δέρκυλος, quod est in C.H.T. δέρκυλλος B.M. δερκύλλος I. Verba δέρκυλλος—ἔγημεν ἁρμονίαν in A.C.M. leguntur infra post ταῖς ἑορταῖς.

ib. Δερκύλος] δὲ add. C. In M. quae inter Δέρκυλλος et δὲ Θηβαίου φησὶν leguntur obliterata sunt. Δερκύλος μὲν Valck.

ib. Δερκύλος—ἔγημεν Ἁρμονίαν om. A.C., sed habent infra post ἑορταῖς sic scripta ἄπο…λος (δέρκυλος δὲ C.) θηβαίου τινὸς δράκοντος ἄρεος (θηβαίου φησὶν add. C.) εἶναι τὴν ἁρμονίαν θυγατέρα, ὃν φονεύσας κάδμος ἔγημεν ἁρμονίαν.

19. βασιλέως δὲ Θηβαίων] ἄρεως

φονεύσας Κάδμος ἔγημεν Ἁρμονίαν. Ἔφορος δὲ Ἠλέκτρας τῆς Ἄτλαντος αὐτὴν εἶναι λέγει, Κάδμον δὲ παραπλέοντα τὴν Σαμοθράκην ἁρπάσαι αὐτήν, τὴν δὲ εἰς τιμὴν τῆς μητρὸς ὀνομάσαι τὰς Ἠλέκτρας πύλας, καὶ νῦν ἔτι ἐν τῇ Σαμοθράκῃ ζητοῦσιν αὐτὴν ἐν ταῖς ἑορταῖς. Δημαγόρας δὲ ἀπὸ Λιβύης ἐλθοῦσαν τὴν Ἠλέκτραν οἰκῆσαι τὴν Σαμοθράκην. ἔνθα συγγενομένη Διὶ ἐτέκνωσεν Ἠετίωνα, Δάρδανον, Ἁρμονίαν· τὸν δὲ Κάδμον παραπλέοντα μετὰ Θάσου ἐπὶ ζήτησιν τῆς ἀδελφῆς μυηθῆναί τε καὶ μυούμενον ἰδεῖν τὴν Ἁρμονίαν, προνοίᾳ δὲ Ἀθηνᾶς ἁρπάσαι αὐτήν. A.B.C.M.I. ἡνίκα διὰ τὴν ἀδελφὴν αὐτοῦ Εὐρώπην καταλιπὼν τὴν ἑαυτοῦ γῆν παρεγένετο ἐνταῦθα. M. ὁ Κάδμος παρὰ τοῦ πατρὸς αὐτοῦ ἀποσταλεὶς τὴν ἰδίαν ζητῆσαι ἀδελφὴν καὶ μὴ ὑποστρέψας εἰς τὸν ἑαυτοῦ πατέρα διὰ τὸ......θῆσαι παρὰ τοῦ πατρὸς, εἰ μὴ αὐτὴν καταλάβοι, τὴν Ἁρμονίαν ἁρπάσαι προνοίᾳ Ἀθηνᾶς λέγεται. M.

ὃς παῖδα: ὁ Κάδμος τὴν θυγατέρα εἰς γυναῖκα λαβών. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ὁ Κάδμος εἰς γάμον ἀγαγών. Gu.

8. Πολύδωρον: τοῦτον οἱ ποιηταὶ Πίνακον καλοῦσι, Πολύδωρον δὲ διὰ τὸ πολλὰ δῶρα εἰληφέναι τὴν μητέρα αὐτοῦ ἐπὶ τῇ γεννήσει

θηβαίου H.T. nisi quod in T. ἄρεως δὲ θηβαίου esse dicitur, et δὲ θηβαίου in M. quoque est praecedentibus obliteratis: unde Valck. Δράκοντος τοὔνομα, Ἄρεως υἱοῦ, βασιλέως δὲ Θηβαίων, collato Palaeph. c. 6. ἦν βασιλεὺς τῶν Θηβῶν Δράκων, Ἄρεως παῖς, ὃν ὁ Κάδμος ἀποκτείνας ἐβασίλευσεν.

P. 35. l. 19. φησὶν εἶναι τὴν ἁρμονίαν θυγατέρα] θυγατέρα τὴν ἁρμόνιαν εἶναι φησίν I.

1. Ἔφορος] Lemma Κύπριδος Ἁρμονίαν praefixum in A.C.

ib. Ἠλέκτρας τῆς Ἄτλαντος] ἠλέκτραν τὴν ἄτλαντος C.

2. λέγει] λέγουσι C.H.

ib. Κάδμον δὲ παραπλέοντα] κάδμου δὲ παραπλέοντος A.C.M. κάδμου δὲ περιπλέοντος H. Comparanda cum his quae ex Mnasea excerpsit Steph. Byz. s. v. Δάρδανος.

4. τῇ om. C.

5. δὲ] δὲ καὶ C.

6. ἐτέκνωσεν A.B C.H.M.T. (nisi quod ἠτέκνωσεν C., ut ἠτεκνώθη in schol. ad v. 4.)] ἔτεκεν I.

7. Ἠετίωνα] ἡμιθέαν libri. Correxit Valck. ex schol. ad v. 1129. ubi additur ὃν καὶ Ἰασίωνα ὠνόμασαν. Conf. Diodor. 3, 60. 5, 48. ubi Electrae ex Jove liberi memorantur Harmonia, Dardanus, Iasion.

ib. παραπλέοντα] περιπλέοντα H.

ib. μετὰ Θάσου post ἀδελφῆς M.

9. προνοίᾳ δὲ] καὶ προνοίᾳ A C.H.

12. ὑποστρέψας] ἀποστρέψας M.

17. τοῦτον—αὐτοῦ] Haec in libris leguntur post schol. v. 6. (post καὶ Θάσος). Transposuit Valck. In Gu. supra Πολύδωρον scriptum est οὗτος καὶ Πίναξ ἐκαλεῖτο. In T. post καὶ Θάσον legitur, Πολύδωρον ἐξέφυσε. τοῦτον οἱ ποιηταὶ etc. In A.C. τοῦτον (ταῦτα A.) ὁ ποιητὴς πίνακον καλεῖ etc.

18. αὐτοῦ] Sequitur in M.T. ἐκ

αὐτοῦ. γενεαλογήσας δὲ ἕως Λαΐου ἀνατρέχει εἰς Κρέοντα καὶ Ἰοκάστην. A.B.C.M.I.

ἐξέφυσεν: ἔφυσεν, ἐγέννησεν. Gu. Fl. 5. 6. 9. 21. 34. 56. 59. 76.

10. *ἐγὼ κλήζομαι: ἐπονομάζομαι.* M. *καλοῦμαι, εἰμί.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *φημίζομαι.* Gu. *ὀνομάζομαι.* Fl. 33.

12. *καλοῦσι δ' Ἰοκάστην με: ἀσφαλίζεται τὴν ὀνομασίαν τῆς ἡρωΐνης, ἐπεὶ οἱ παλαιότεροι Ἐπικάστην καλοῦσιν. καὶ Ὅμηρος*

μητέρα δ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην.

A.B.C.M.I.

13. *γαμεῖ δὲ Λάϊος: Ἐπιμενίδης Εὐρύκλειαν τὴν Ἔκφαντός φησιν αὐτὸν γεγαμηκέναι, ἐξ ἧς εἶναι τὸν Οἰδίποδα· οἱ δὲ δύο τὸν Λάϊόν φασι γῆμαι γυναῖκας, Εὐρύκλειαν καὶ Ἐπικάστην. καὶ τὸν Οἰδίποδα δέ φασιν Ἐπικάστην τὴν μητέρα γεγαμηκέναι, καὶ Εὐρυ-*

δὲ τοῦδε λάϊον (v. 9.). *ἔνιοι ἁρμονίαν τὴν ἠλέκτραν* (*ἠλέκτρας* T.) *αὐτὸν λέγει τῆς ἄτλαντος γεγαμηκέναι.* In A.C. *ἐκ δὲ τοῦδε λάϊον: ἔνιοι ἁρμονίαν λέγουσιν αὐτὸν τὴν ἠλέκτρας γεγαμηκέναι.* Quae verba in B.I. leguntur in fine scholii v. 12. (post *Ἐπικάστην*) recte sic scripta, *ἔνιοι ἁρμονίαν τὴν ἠλέκτρας* (*ἠλέκτραν* I.) *αὐτὸν, οὐ τὴν ἄτλαντος λέγουσι γεγαμηκέναι.* Excerpta sunt cx scholio v. 7.

1. *γενεαλογήσας*] *γενεαλογήσασα* A. C., omisso *δέ*.

ib. *ἀνατρέχει*] *ἐκτρέχει* I.

ib. *εἰς* add. A.B.C., *ἐπὶ* M , om. I.

ib. *εἰς τοὺς γηγενεῖς* add. A.M.T., om. B.I. In C. non obscure, ut Valck. ait, sed satis clare scriptum *εἰς τοὺς γονεῖς κρέοντος καὶ ἰοκάστης.*

8. *ἡρωΐνης*] *ἥρας ἴνις* A.

ib. *οἱ παλαιότεροι*] *καὶ παλαιότεροι* T. *οἱ παλαιοὶ* C.

ib. *Ὅμηρος*] Od. 11, 270. Excerptum ex hoc scholio est in Gu. et Barocc. *οὐ μόνον ἰοκάστην ταύτην καλοῦσιν, ἀλλὰ καὶ ἐπικάστην, ὡς ἔχει τὸ ὁμηρικὸν μητέρα δ' οἰδιπόδαο ἴδον* (*ἴδον* om. Gu.) *καλὴν ἐπικάστην.*

9. *δ'* om. C. *ἴδον* (*εἶδον* C.) om. A.

11. *Ἐπιμενίδης*] *ὁ γενεαλόγος* procul dubio, memoratus Diog. L. 1, 15. Laium uxorem duxisse dicit Eurycliam Ecphantis filiam. Secundum Pisandrum sub finem Phoen. et Pherecyden in schol. ad v. 53. Oedipus secundis nuptiis duxerat hic quoque mox memoratam Euryganen, vel Euryganiam, Periphantis filiam. VALCK. De Epimenide v. Mueller. ad Fragm. Hist. vol. 4. p. 404. Ab scholiasta Eurip. memoratur etiam ad Rhes. 36.

ib. *Ἔκφαντος*] Usitata nominis forma est *Ἐκφάντου*, cujus exempla v. in Thesauro vol. 3. p. 621.: *Ἔκφας, ὁ*, aliunde non cognitus. Simile tamen nomen *Περίφας* est, de quo dixi ib. vol 6. p. 966.

12. *φησιν αὐτὸν*] *αὐτόν φησι* A.C.

13. *φασι* om. A.C.

14. *Εὐρυγάνην*] *εὐρυγόνην* T. *Εὐρυγάνεια* in schol. v. 53. quae frequens est in nominibus proparoxytonis in *εια* variatio, de qua dixit Steph. Byz. s. v. *Ἀγάμμεια*.

γάμην. Αἰγύπτιος δέ φησιν ὡς ἐκ χρησμοῦ τοὺς παῖδας ἀκούσας ἀλληλοκτονήσειν ἐξέθηκε τὸν Πολυνείκην, Μήστωρ δὲ ἀμφοτέρους ἐκτεθῆναι. A.B.C.I. ἡ δὲ ἱστορία αὕτη. Λάϊος ἀπὸ Θηβῶν παραγενόμενος εἰς Ἦλιν ἐθεάσατο Χρύσιππον τὸν Πέλοπος. τούτου ἐρασθεὶς ἠξίου αὐτὸν παραγενέσθαι εἰς Θήβας ἅμα αὐτῷ. μὴ πείσας δὲ αὐτὸν ἥρπασε Λάϊος. μαθὼν δὲ ὁ Πέλοψ περὶ τούτου κατηράσατο τῷ ἑλόντι αὐτὸν μὴ κτήσασθαι παῖδα· εἰ δὲ κτήσαιτο, ὑπ' αὐτοῦ ἀναιρεθείη. A. rec.

14. χρόνια: χρονίως, ἐπὶ πολλὴν παράτασιν χρόνου ἔχων τὴν μετ' ἐμοῦ συνοίκησιν ἐν τοῖς δώμασιν. Gr. Cant. ἐκ πολλοῦ χρόνου γήμας με. B. Gu. Fl. 33. λέκτρα τἄμ' ἔχων: σὺν ἐμοὶ καθεύδων. M.

15. ἐλθὼν ἐρωτᾷ: ἐρωτᾷ μὲν τῆς ἀπαιδίας τὴν αἰτίαν, αἰτεῖ δὲ τῆς ἀρρενογονίας τὴν εὐτυχίαν. B.C.M.

16. κοινωνίαν: ἐπιμιξίαν, μετοχήν, σχέσιν. M. συναυλίαν. Gr. μετοχήν. Gu. Fl. 5. 6. 9. 21. 34. 56. 59. 76. Mosq.

17. ὦ Θήβαισιν: ὦ ὁ ἀνάσσων ἐν ταῖς Θήβαις ταῖς εὐίπποις. Gr. εὐίπποις ἄναξ: κατὰ ζῆλον Ὁμηρικὸν Εὐριπίδης εἰς δοτικὴν τὸ ἄναξ συντέταχεν· ἐκεῖνος γὰρ ἀεὶ τούτῳ χρῆται τῷ πλαγιασμῷ. Gu. Bar. Leid. πολεμικοῖς. M.

18. μὴ σπεῖρε τέκνων ἄλοκα: Ἐμπεδοκλῆς ὁ φυσικὸς ἀλληγορῶν, φασί, σχιστοὺς λιμένας Ἀφροδίτης καλεῖ ἐν οἷς ἡ τῶν παίδων

1. Αἰγύπτιος] λίγυστος C. λιγύστιος A.T. Verum hujus vel grammatici vel historici nomen, puto etiam Mestoris, ipsum Valck. latebat. Fabric. Bibl. Gr. vol. 2. p. 274. pro Αἰγύπτιος legendum suspicabatur Aegis vel Aegias, cujus cum Dercyllo meminit Clem. Alex. Strom. p. 381. Pro Μήστωρ T. μυστήριον. MATTH. Sed illius nominis recta scriptura Ἆγις vel Ἀγίας est Λυσίμαχος vel Λύσιππος conjecit Mueller. ad Fragm. Hist. vol. 3. p. 337. neutrum satis probabiliter, probabilius vero Μήστωρ in Νέστωρ mutat, quem θεατρικὰ ὑπομνήματα scripsisse constat: nisi Κάστωρ scribendum ex A.

2. ἀλληλοκτονήσειν] ἀλληλοκτονῆσαι A.B.C.

ib. Πολυνείκην] πολινείκεα C.

10. χρόνου om. Fl. 33.

13. ἀπαιδίας] In Gr. est ἀπελθὼν ἠρώτησε et in Gu. τὴν αἰτίαν τῆς ἀπαιδίας.

19. συντέταχεν] συνέταξεν Bar.

22. φασὶ Matth. pro φησί.

ib. σχιστοὺς B.C.M.T. Flor. 33. ἔχεις τοὺς I.

ib. λιμένας] λειμῶνας T. Flor. 33. λιμῶνας A. λιμόνας C.

ib. καλεῖ addidi ex M.T. Pro eo φασὶν est in A. φασὶ in C.

γένεσίς ἐστιν. Εὐριπίδης δὲ ταυτὸ τοῦτο φάσκων τήν τε ἔννοιαν τὴν αἰσχρὰν ἀπέφυγε καὶ τοῖς ὀνόμασιν οἰκείως ἐχρήσατο, τεχνικαῖς ταῖς μεταφοραῖς σπόρον καὶ ἄλοκα λέγων. A.B.C.M.I. ἄλοκα: αὔλακα· αὖλαξ δὲ ἡ τομὴ τῆς γῆς ὑπὸ τοῦ ἀρότρου. μεταφορικῶς δὲ λέγει "αὔλακα μὴ σπεῖρε" ἀπὸ τῆς ἀρουμένης γῆς, μὴ συνέρχου τῇ γυναικί. A.C.M.T. μὴ παιδοποίει. M.

τέκνων ἄλοκα: ἤγουν παιδοποιὸν αὔλακα. Gr. Flor. 5. 6. 9. 21. 56. 59. 76. δαιμόνων βίᾳ: κατὰ δυναστείαν τὴν πρὸς τοὺς θεούς. Gr. Florr. iidem. ἄνευ θελήματος τῶν θεῶν. Gu.

19. τεκνώσεις: ἀντὶ τοῦ γεννήσεις. Gr. Mosq.

21. ὁ δ' ἡδονῇ δούς: ἐκ τοῦ οἴνου εἰς ἡδονὴν τραπείς. Ἄλλως ἀντὶ τοῦ ἑαυτὸν δοὺς εἰς εὐωχίαν. καὶ πῶς προεγνωκυῖα ἡ γυνὴ τὸν χρησμὸν οὐκ ἀπέτρεψε τῆς μίξεως τὸν Λάϊον; ἢ οὖν ὕστερον εἶπεν αὐτῇ, ἢ εἶπε μέν, ἡ δὲ ὑπώπτευσε τὸ ῥηθὲν εἶναι ψεῦδος διὰ τὸν ἔρωτα Χρυσίππου. A.B.C.M.I.

εἰς βακχεῖον πεσών: εἰς μέθην. C.M. μεθυσθείς. Gr. Bar. Mosq. βακχεῖον: μέθην, ἐρωτομανίαν. Gu. λέγεται βακχεῖον καὶ ὁ τοῦ Διονύσου ναός, καὶ τὸ μαντικόν, ὡς τὸ "βακχεῖον κάρα." Gu. ἔρωτα. Fl. 33.

22. ἡμῖν: ἡμῖν ἐσόμενον, χάριν ἡμῶν. Gu. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1. ἐστιν om. M.
ib. ταυτὸ] ταυτὸν A.T. αὐτὸν C.
ib. τοῦτο] τοῦτον C. τούτῳ T.
2. τεχνικαῖς] καὶ τεχνικαῖς A.B. καὶ τεχνικῶς C.
3. σπόρον] πύρον M.
ib. σ. καὶ ἄλοκα] σ. καὶ αὔλακα A. qui αὔλακα etiam in lemmate.
ib. ἄλοκα—γυναικί] Hoc scholion in M. valde obscuratum, clare scriptum in C.T. Brevius in B.I. ἄλλως. μεταφορικῶς, μὴ σπεῖρε τὴν ἄλοκα (αὔλακα B.), ἀπὸ τῆς ἀρουμένης γῆς. et in A.M. (post τῇ γυναικί) ἄλλως. μεταφορικῶς τὴν αὔλακα μὴ σπεῖρε ἀπὸ (ὑπὸ A.) τῆς ἀρουμένης γῆς.
4. ὑπὸ] ὑπὲρ T.
ib. τοῦ addidi ex T.
5. λέγει] λέγεται A. qui om. proxima αὔλακα—ἀρουμένης γῆς.
11. ἐκ τοῦ—Ἄλλως om. B.I.
12. ἀντὶ τοῦ om. A.C.
ib. εἰς εὐωχίαν add. ex A.C. et, qui εἰς om., M. In M. etiam gl. interl. ἑαυτὸν δοὺς εἰς εὐώχησιν.
ib. καὶ πῶς] καὶ om. M.
ib. τὸν χρησμὸν ante ἡ γυνή B.I.
13. οὐκ ἀπέτρεψε] οὐ κατέστρεψε C.
14. αὐτῇ] αὐτῷ C.
ib. εἶπε μὲν] εἶπεν A.C.M.
ib. ὑπώπτευσε B.C. ὑπώπτευσεν M. ὑπώπτευε I.
ib. τὸ ῥηθὲν] τὸν χρησμὸν C.
18. βακχεῖον κάρα] Hec. 676.

23. *ταμπλάκημα*: *τὸ ἁμάρτημα*. Gr. Florr. iidem. *τὴν φάτιν*: *τὸν χρησμόν*. Gr. Florr. iidem. *τὴν μαντείαν*. Gu. Fl. 33.

24. *λειμῶν' ἐς Ἥρας*: *ἢ ὅτι πᾶς λειμὼν ἱερός ἐστι τῆς Ἥρας, ἢ ὅτι Κιθαιρωνίας Ἥρας ἐστὶν ἐν Θήβαις ἱερόν. ὅσοι δὲ ἐγκαλοῦσιν ὡς ἐν ἱερῷ τόπῳ ἐκτεθέντος τοῦ παιδὸς, ἴστωσαν ὅτι καὶ Ἀθῆναι ἱεραὶ μὲν λέγονται τῆς Ἀθηνᾶς, ὀλίγος δέ ἐστι τῆς ἀκροπόλεως εὐαγής τε καὶ ἱερὸς τόπος. καὶ λελωβημένον δὲ ὅμως ἀνείλοντο τὸ βρέφος, ἴσως τῷ κάλλει νενικημένοι καὶ τὴν ἴασιν εὐμαρῆ νομίσαντες αὐτοῦ ὑπὸ τῆς βασιλείας ἔσεσθαι.* A.B.C.M.I.

λέπας: *ἀκρωτήριον· ἐν τούτῳ γὰρ ναὸς Ἥρας ἦν, ὃν καὶ καλεῖ λειμῶνα Ἥρας· πάντας γὰρ τοὺς ἀλσώδεις τόπους θεοῖς ἀφιέρουν καὶ τεμένη θεῶν ἐκάλουν Ἕλληνες.* Gu. Bar.

25. *δίδωσι βουκόλοισι*: *ἵνα ἀποθάνῃ. οὐ γὰρ ἤθελεν ἐκ τοῦ ἐμφανοῦς ἀνελεῖν τὸ βρέφος, φεύγων τὸ μύσος.* A.B.C.M.I.

δίδωσι: *οὐκ ἤθελε γὰρ αὐτὸς ἀποκτεῖναι, φυσικῇ κατεχόμενος συμπαθείᾳ, ἅτε πατήρ· καὶ διὰ τοῦτο εἰς τὸ ὄρος ἔρριψεν, ὡς ἂν ὑπὸ θηρίων ἀναιρεθείη.* Gu. Bar.

26. *σφυρῶν*: *διὰ τῶν σφυρῶν, ἤγουν τῶν ἀστραγάλων, ἐλάσας κατὰ τὸ μέσον σιδηρᾶ κέντρα.* Gr. *ὅθεν*: *ἀφ' ἧς αἰτίας ὠνόμαζον αὐτὸν οἱ ἐν τῇ Ἑλλάδι Οἰδίποδα.* Gr. Bar. Mosq.

σφυρῶν σιδηρᾶ κέντρα: *διὰ μέσων τῶν σφυρῶν τὰ σιδηρᾶ κέντρα πείρας. Ἄλλως. ὡς θηριώδης, φησὶ, καὶ ἀνόητος ἀνελεῖν μὲν οὐκ ἔμελλε τὸ βρέφος, ὁ δὲ χαλεπῶς ἐλωβήσατο. ῥητέον μὲν οὖν ὅτι τὸ μὲν ἀποκτεῖναι ἀσεβὲς ἡγήσατο· εἰ δὲ διατρήσειεν αὐτοῦ κέντροις τὼ*

3. 5. *ἢ* et *καὶ* om. C.
3. *ἱερός ἐστι τῆς Ἥρας* B.M. *ἱερός ἐστι τῇ ἥρᾳ* C. *ἱερόν ἐστιν ἥρας* A.I.
4. *ἐν Θ. ἱερὸν*] *ἱερὸν ἐν θ.* A.
5. *ἐκτεθέντος*] *εἰστεθέντος* A.M.
6. *ἱεραὶ μὲν* (*μὲν ἱεραὶ* B.C.) *λέγονται* A.B.C.M. *μὲν λέγονται ἱεραὶ* I.
ib. *ὀλίγος*] *ὀλίγον* A.
7. *καὶ λελωβημένον*] Conf. p. 42, 16.
ib. *ὅμως* om. M.
ib. *ἀνείλοντο*] *ἀνεῖλον* M. *ἀνείλαντο* C.
9. *αὐτοῦ*] *αὐτῷ* A. *αὐτῶν* I.
ib. *τῆς βασιλείας*] *τοῦ βασιλέως* C.
ib. *ἔσεσθαι*] *ἔπεσθαι* A.
11. *θεοῖς*] *θεαῖς* Bar.
14. *μύσος*] *μῦσες* B.C.M. *μῖσος* I.
16. *ὡς—ἀναιρεθείη* om. Bar.
18. *ἤγουν* om. Bar. Mosq.
19. *τὸ* om. Gr.
22. *Ἄλλως* A.M. *καὶ ἄλλως* C.T.
ib. *ὡς*] *πῶς* Valck., ut infra ad v. 61. *πῶς δὲ—; ῥητέον ὅτι* etc.
23. *μὲν οὖν* om. A.M., *μὲν* om. C. *τὸ* om. M.
24. *εἰ δὲ* A.M.T. *εἰ δὲ καὶ* C.
ib. *αὐτοῦ* C. *αὐτοῖς* A.M.T.
ib. *κέντροις* M. *καὶ τρεῖς* C. *κέντρα* A.T.

πόδε, τὸν ἐπηρτημένον κίνδυνον ἐκφεύξεσθαι, μηδενὸς ἀνελομένου βρέφος λελωβημένον. οἱ δὲ ἀπὸ τῶν σπαργάνων φασὶν αὐτὸν ἐξῳδηκέναι ἐκ ταυτομάτου τὼ πόδε. οἱ δὲ εἰς θάλασσαν ἐκβληθῆναι εἰς λάρνακα, καὶ προσοκείλαντα τῇ Σικυῶνι ὑπὸ τοῦ Πολύβου ἀνατραφῆναι. ἔνιοι δὲ καὶ ...λίου φασὶν αὐτὸν εἶναι παῖδα. τινὲς δὲ Ἱπποδάμειαν τὴν Οἰνομάου ὑποβεβλῆσθαι αὐτὸν αὐτῷ φασιν, ὕστερον δὲ ἁρπάσαντος τοῦ Λαΐου Χρύσιππον, βοηθὸν ὄντα τῷ Χρυσίππῳ ἀποκτεῖναι τὸν Λάϊον, τὴν δὲ Ἰοκάστην ἐλθοῦσαν ἐπὶ τὴν κηδείαν τοῦ νεκροῦ, μιγέντα γεννῆσαι τοὺς παῖδας, ὕστερον δὲ λύσαντα τὸ αἴνιγμα γνωρισθῆναι. οἱ δὲ τὸν Πόλυβον αὐτὸν τυφλῶσαι, τοὺς περὶ τῆς πατροκτονίας χρησμοὺς ἀκούσαντα. τινὲς δὲ καὶ τὴν μητέρα ὑπ' αὐτοῦ ἀνῃρῆσθαι. ἀνελεῖν δὲ αὐτὸν οὐ μόνον τὴν Σφίγγα, ἀλλὰ καὶ τὴν Τευμησίαν ἀλώπεκα, ὡς Κόριννα. οἱ δὲ τὴν Σφίγγα Μακαρέως μὲν γενέσθαι γυναῖκα, θυγατέρα δὲ Οὐκαλέγοντος, ἑνὸς τῶν ἐγχωρίων· οὗ τελευτήσαντος κατασχεῖν τὴν Σφίγγα, ἐπαναιρεθῆναι ὑπό τινος Οἰδίποδος, συνελθόντος αὐτῇ. τινὲς δὲ καὶ Λαΐου τὴν Σφίγγα παραδιδόασιν, ὡς Λυσίμαχος. A.C.M.T.

1. ἐπηρτημένον] ἐπηρμένον T.
ib. ἐκφεύξεσθαι M.T. ἐκφεύξεται C. φεύξεσθαι A.
ib. βρέφος (ἂν βρέφος A.) λελωβημένον om. C.
3. ἐκβληθῆναι εἰς λάρνακα] Conf. schol. ad v. 28.
4. Σικυῶνι] Filiolum Laius exposuisse dicitur Σικυῶνι in scholiis Homeri Od. 11, 270. Sicyon. ut notum, vicina fuit Corintho. VALCK.
ib. δὲ καὶ ...λίου (quasi ἡλίου voluerit) φασὶν M. δὲ φασὶν καὶ ὅτι A. δὲ καὶ φασὶν T. δέ φασιν ὅτι C.
5.—17. τινὲς — Σφίγγα] Haec magna ex parte obliterata in M.
6. ἁρπάσαντος τοῦ om. A. in lacuna.
9. λύσαντα A.T. λύσαντος C.
10. τοὺς add. T., om. A.C.
11. καὶ om. T.
ib. ὑπ' addidit Valck.
ib. αὐτοῦ] αὐτῷ A.
ib. αὐτοῦ] φασὶν add. A.T.
12. Τευμησίαν] τεμησίαν A.
13. Μακαρέως] μακάρσῳ A.
14. θυγατέρα δὲ] δὲ om. C.
ib. Οὐκαλέγοντος M. (ut Valck.). ...αλέγοντος A. οὐκ ἂν λέγοντος T. εὐκαλέγοντος C.
ib. οὗ] εἶ T. In A. οὕτως μελετήσαντος.
15. ἐπαναιρεθῆναι] Scribendum arbitror εἶτ' ἀναιρεθῆναι. Sed ne sic quidem ista sana praestem. VALCK.
ib. ὑπό τινος om. A. in lacuna.
16. τινὲς—Λυσίμαχος om. A.
ib. Λυσίμαχος] Quidquid antiquissimo tempore Thebis evenit mirabile, vix apud posteros fidem iuventurum, complexus Lysimachus suum illud laboriosum opus inscripserat Θηβαϊκὰ Παράδοξα. In hujus operis titulo laudabiliter versatus est Gisb. Cuperus Obs. 1, 4. Materies Paradoxorum Lysimachi

σφυρῶν σιδηρᾶ: καὶ πῶς τετρημένους ἔχων τοὺς πόδας, ἤτοι τοὺς ἀστραγάλους, εὑρέθη ὑπὸ τῶν βουκόλων ἢ καὶ πρώτης τῆς Μερόπης; καί φασιν ὅτι τῷ κάλλει ἐνικήθησαν τοῦ παιδὸς, ἢ καὶ τὴν ἴασιν εὐμαρῆ ἐνόμισαν ὑπὸ τῆς βασιλίδος ἔσεσθαι. A. rec.

27. ὅθεν νιν Ἑλλάς: ἀφ' οὗ ὁ Οἰδίπους, παρὰ τὸ οἰδεῖν τοὺς πόδας ἐκ τῶν περονῶν. A.C.M. ἡ μὲν Μερόπη πρώτη αὐτὸν ἐκάλεσεν Οἰδίπουν, ἡ δὲ Ἑλλὰς ἀπ' αὐτῆς διεδέξατο τὸ ὄνομα. A.B.C.M. Ἑλλάς: ἐκ Μερόπης παραλαβοῦσα τοὔνομα πρώτης καλεσάσης. Gu.

28. Πολύβου: τύραννος καὶ αὐτὸς ἐν ἑτέρῳ μέρει τῆς Βοιωτίας. οἱ δὲ τῆς Κορίνθου φασὶ βασιλέα. A.C.M.T. ἱπποβουκόλοι: ἱπποφορβοί. τὸ δὲ βουκόλοι ἀπὸ τοῦ ἐπισήμου ζώου, ὡς τὸ "τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο." τινὲς δὲ ἐν λάρνακι βληθέντα καὶ εἰς θάλασσαν ῥιφέντα τὸν παῖδα προσπελασθῆναι τῇ Κορίνθῳ φασί. A.B.C.M.I. ἀπίθανον δὲ τοῦτο, τοὺς βουκόλους βρέφος ἀνελέσθαι καὶ οὕτω λελωβημένον· ῥητέον ὅτι ἄγροικοι ὄντες τῇ δεσποίνῃ χαριεῖσθαι ἐδόκουν· καὶ γὰρ τὸ εἶδος τοῦ παιδὸς καλὸν ἑώρων. A.C.M.T.

ἱπποβουκόλοι: ἱπποβουκόλους ἐνταῦθα καλεῖ ἤτοι μεγάλα βου-

luculenter constat e reliquiis, quae nobis Pindari, Sophoclis, Euripidis et Apollonii Rhodii conservarunt enarratores: hic quidem, dum ad Apollon. 3, 1177 citata primum Corinna, de Cadmi adventu Thebas, Λυσίμαχος, inquit, ἐν τῇ πρώτῃ τῶν Θηβαϊκῶν παραδόξων συνείλεχε πολλὴν τὴν ὕλην διαφωνοῦσαν· monstrat scholion nunc primum evulgatum ex Aug. cod. complectens πολλὴν τὴν ὕλην διαφωνοῦσαν, variorumque super Oedipo diversissimas sententias, antiquitus ex opere Lysimachi maximam fuisse partem excerptum. VALCK. Lysimachi fragmenta collegit Mueller. in Fragm. Hist. vol. 3. p. 326.

6. ἐκάλεσεν οἰδίπουν A.M. οἰδίπουν ἐκάλεσεν B.C.

10. μέρει — βασιλέα om. A. in lacuna.

11. φασὶ et ἱπποφορβοί. τὸ δὲ βουκόλοι om. C.

12. ὡς τὸ] Il. 20, 221.

13. κάτα βουκολέοντο] καταβουκολέοντο libri, nisi quod καταβουκολέονται M. τοῦ et ἕλος καταβουκολέοντο om. A.C.

ib. τινὲς δὲ A.C. δὲ om. ceteri.

ib. ἐν λάρνακι A.B.M. εἰς λάρνακα I. ἐν λ. β. καὶ om. C.

14. ῥιφέντα] ῥιφθέντα B.

ib. τὸν παῖδα om. A.C.

ib. προσπελασθῆναι] περισωθῆναι A.

15. ἀπίθανον δὲ τοῦτο (δὲ τὸ A.) τοὺς A.M.T. ἀμήχανον δὲ τὸ τοὺς C.

ib. βρέφος] βρέφους A.

ib. ἄγροικοι—καὶ γὰρ om. C.

16. τῇ δεσποίνῃ] δεσποίνην M.

17. καὶ γὰρ] καὶ ὅτι A.

19. ἱπποβουκόλους—ἐῳνοχόει] Haec pars scholii est etiam in Bar.

κόλια νέμοντας· (ἵππος γὰρ τὸ μέγα παρ' Ἀττικοῖς ὥσπερ καὶ τὸ βοῦς· καὶ γὰρ βούπαιδα τὸν μέγαν φαμὲν, καὶ Ἱπποβῖκον Ἀριστοφάνης τὸν μέγιστον εἰς τὴν συνουσίαν λέγει.) ἢ ἱπποβουκόλους τοὺς τῶν ἵππων βοσκοὺς, καὶ τὸ βουκόλους ἀντὶ τοῦ βοσκοὺς καταχρηστικῶς, ὥσπερ καὶ ἕτερα τοιαῦτα εὕρηται παρὰ τοῖς ποιηταῖς, ὡς ἔχει καὶ τὸ Ὁμηρικὸν "νέκταρ ἐῳνοχόει." ἔλαβον δὲ οἱ βουκόλοι τὸ βρέφος ὑπὸ τῆς δεσποίνης αὐτῶν παραγγελθέντες, εἴ που εὕροιεν αὐτῇ ἀγαγεῖν παιδίον ἐκτεθὲν παρὰ τῆς μητρός· ἀπαιδίαν γὰρ ἦν νοσοῦσα, καὶ διὰ τοῦτο φοβουμένη μὴ ὑπὸ τοῦ ἀνδρὸς ἀτιμασθείη νενευκότος πρὸς ἄλλην. ἐποίησε δὲ πιθανὴν τοῦ βρέφους τὸ λελωβημένον εἶναι καὶ οὐχ ὑγιές. Gu. Bar. Leid.

29. δεσποίνης: ἡ γυνὴ Πολύβου Μερόπη. B.

30. τὸν ἐμὸν ὠδίνων πόνον: ἀντὶ τοῦ τὸν πόνον τῶν ἐμῶν ὠδίνων. ἔχει δέ τι τοῦτο παραλλάττον πρὸς τὸ, τὸ ἐμὸν αὐτοῦ πρᾶγμα, καὶ τὰ τοιαῦτα. ἐν μὲν γὰρ ἐκείνοις δυοῖν ὄντων, προσώπου καὶ πράγματος, εἶτα πρωτοτύπου ἀντωνυμίας κατὰ γενικὴν ὀφειλούσης κεῖσθαι ἐπὶ τοῦ προσώπου, διὰ τὴν προσοῦσαν ἑτέραν γενικὴν, κτητικὴ τίθεται πρὸς τὸ πρᾶγμα ἀντωνυμία. ἐνταῦθα δὲ τριῶν ὄντων, προσώπου, καὶ δυοῖν πραγμάτων, τῶν τε ὠδίνων καὶ τοῦ πόνου, καὶ τῶν μὲν ὠδίνων τοῦ προσώπου οὐσῶν, τοῦ δὲ πόνου τῶν ὠδίνων, ὤφειλεν ἡ κτητικὴ ἀντωνυμία ἐπὶ τῶν ὠδίνων κεῖσθαι· οὕτω γὰρ ἂν ἐφαίνετο προδήλως ὅτι αἱ μὲν ὠδῖνές εἰσι τοῦ προσώπου, ὁ δὲ πόνος τῶν ὠδίνων. νυνὶ δὲ ἐπὶ τοῦ πόνου κεῖται, καὶ συγχεῖ καὶ δυσδιανόητον ποιεῖ τὸν λόγον. Gr. I. τὸν ἐμὸν ὠδίνων πόνον: τὸν πόνον, ἤγουν τὸ ἔργον τῶν ἐμῶν ὠδίνων, τουτέστιν ὃν ἐγὼ ὠδινήσασα ἔτεκον. Gr. Fl. 5. 59. 76.

31. μαστοῖς ὑφεῖτο: ὑπέβαλεν. εὔηθες δὲ, φασὶν, εἰ λελωβημένον ὑπεβάλετο παιδίον, ὅπου γε ἐκτίθεμεν καὶ τὰ ἐξ ἡμῶν πεπηρωμένα.

2. Ἀριστοφάνης] Ran. 432.
4. καὶ τὸ] καὶ om. Bar.
6. Ὁμηρικὸν] Il. 4. 3.
ib. ἐῳνοχόει] οἰνοχοεύει Gu.
ib. ἔλαβον—ὑγιές] Haec sic compendifacta in Leid. ἔλαβον δὲ τὸ βρέφος ἐκεῖνοι, ὑπὸ τῆς δεσποίνης παραγγελθέντες, εἴ που εὕροιεν παιδίον ἐκτεθὲν παρὰ τῆς μητρὸς, ἀγαγεῖν αὐτῇ ἀπαιδίαν νοσούσῃ.
14. τὸ ἐμὸν Gr. τὸ om. I.
27. δὲ et εἰ om. C.
ib. φασὶν] φῆ C.
28. ὑπεβάλετο] ὑπεβάλλετο B.I. ὑπέβαλεν τὸ M. ὑπέβαλε τὸ C.T.
ib. ὅπου γε ἐκτίθεμεν καὶ (καὶ om.

καὶ τί θαυμαστὸν ὑποβάλλεσθαι φοβουμένην μὲν ἐκπεσεῖν διὰ τὴν ἀπαιδίαν, ἀποτρίψασθαι δὲ τὴν τῆς ὑποβολῆς ὑποψίαν διὰ τὴν ὑποῦσαν συμφορὰν τῷ βρέφει; καὶ τὸ ἰαθήσεσθαι δὲ διὰ τοῦτο οὐκ ἀπεγνώκει. A.B.C.M.I.

καὶ πόσιν πείθει: πείθει τὸν ἄνδρα τεκεῖν αὐτὴν, καὶ ἀναπείθει λέγειν τοῖς ἔξω αὐτοῦ τέκνον εἶναι. πῶς δὲ λελωβημένον αὐτὸν ἡ γυνὴ τοῦ βασιλέως ἐλάμβανεν; ὅτι οὐκ ἤθελε τοῖς ἔξω περὶ αὐτῆς δοῦναι ὑπόνοιαν ὡς οὔσης στείρας, ἀλλ' ἵνα καὶ πίστιν μείζονα ἐνδείξηται ὅτι οὗτος ἐμός ἐστιν ὁ παῖς, ἰδοὺ λελωβημένον αὐτὸν ἔχω· οὐκ ἂν γὰρ ξένον οὐκ ἀσινῆ ὄντα. C.M.T.

32. *ἤδη δὲ πυρσαῖς: ἡδέως καὶ τραγικῶς τὴν ἀκμὴν ἐξέφρασε· πυρσαῖς δέ· πρὸ γὰρ τοῦ τοὺς ἰούλους βαλεῖν ξανθιζόμενα τὰ γένεια τῇ θερμότητι τῶν τριχῶν.* C.M.T. *εἰς ἀνδρὸς ἡλικίαν ἐλθών.* Gr. Cant. Fl. 5. 6. 9. 21. 33. 56. 59. 76.

33. *παῖς οὑμός: παῖς Πολύβου, ἀλλὰ θετός.* M. *ἢ γνούς: γνοὺς ὅτι οὐκ εἴη Πολύβου παῖς γνήσιος, ἀλλὰ νόθος, ἢ μαθὼν παρά τινος τῶν ἡλικιωτῶν ὀνειδίσαντος ὅτι νόθος εἴη. ἔνιοι δέ φασιν εἰς Πυθῶνα*

B.) *τὰ ἐξ ἡμῶν* B.C.M.T. *ὅπου γε καὶ ἐκτίθεμεν τάχα ἐξ ἡμῶν* I.

p. 43. l. 28. *-μεν καὶ—καὶ τί* om. A. in lacuna.

1. *θαυμαστὸν ὑποβάλλεσθαι*] *θαυμαστὸν δὲ ὑπέβαλλεν* A.

ib. *μὲν* om. C.

2. *ἀποτρίψασθαι*] *ἀποστρέψασθαι* C.

ib. *ὑποβολῆς*] *ὑπερβολῆς* M.

ib. *ὑποῦσαν*] *παροῦσαν* C.

3. *καὶ τὸ—ἀπεγνώκει* om. A.

ib. *δὲ* om. M.

ib. *διὰ* om. C. ut videtur.

5. *τεκεῖν αὐτὴν*] *τὸ αὐτὴν τεκεῖν* M.

6. *λέγειν* om. C. nisi post *ἔξω* lectum fuit, ubi aliquid obliteratum.

ib. *εἶναι* C. *εἴη* M.T.

7. *ἐλάμβανεν*] ...*βανεν* C.

ib. *τοῖς ἔξω περὶ αὐτῆς* (*αὑτῆς* Matth.) *δοῦναι* C.T. *δοῦναι τοῖς ἔξω περὶ ἑαυτῆς* M.

8. *ὡς*] *καὶ* T.

ib. *οὔσης στείρας* prope evanida in C.

9. *ἐμός ἐστιν ὁ παῖς* M. *ἐστιν ὁ ἐμὸς παῖς* C.T.

ib. *ἰδοὺ*] *ἰδοὺ καὶ* M.

10. *οὐκ ἂν—ὄντα* om. C.

11. *τραγικῶς*] Cur quaeso *τραγικῶς*? Corrigendum putem *γραφικῶς*. VALCK. *ἡδέως—ἐξέφρασε* etiam B.

ib. *ἀκμὴν*] *ἀλκὴν* M.

12. *βαλεῖν*] *βάλλειν* M.

13. *εἰς—ἐλθών*] Hoc gl. est etiam M. in quo non *ἐλθών*, sed *ἐμβαίνων*.

15. *γνοὺς* om. B.I. In A. *ἢ γνούς: ἢ τινὸς μαθὼν ὡς οὐκ εἴη* etc.

16. *εἴη*] *ἦν* C.T.

ib. *Πολύβου παῖ.*] *παῖς πολύβου* A. C.T.I.

ib. *ἢ*] *ὁ* I.

17. *ὀνειδίσαντος*] *ὀνειδισάντων* C.M.T., idque post *νόθος εἴη*. In A. posterior haec scholii pars pene obliterata.

ib. *νόθος εἴη* A.B.C.M.T. *εἴη νόθος* I.

ib. *εἰς Πυθῶνα*] *ὅτι εἰς πυθῶ* C.

ἐληλυθέναι τὸν Οἰδίποδα, ἵνα τροφεῖα ἀποδῷ τῷ Ἀπόλλωνι. A.B.C. M.T.I.

ἢ γνούς: ὅτι οὐκ ἔστι τοῦ Πολύβου παῖς μὴ κατὰ τοὺς φυσικοὺς παῖδας ἀγαπώμενος, ἢ παρ' ἄλλου τοῦτο μαθὼν εἰς ἔριν αὐτῷ ἐλθόντος καὶ ὀνειδίσαντος ὅτι εἴη νόθος. Gu. Leid. γνούς: φωράσας ἀφ' ἑαυτοῦ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

35. Λάϊός θ' οὑμός: ἀπὸ κοινοῦ τὸ ἔστειχε. M. ἔστειχε πρὸς τὸ δῶμα τοῦ Φοίβου. Gr. Bar.

36. τὸν ἐκτεθέντα παῖδα: ἤτοι τότε ὀνείρων ταραξάντων αὐτὸν, ἢ ὅτε λοιπὸν ὑπώπτευσεν αὐτὴν τὴν ἡλικίαν τοῦ παιδὸς προκόπτειν. ἐβούλετο γὰρ ἢ τεθνεῶτα αὐτὸν ἀκούσας διάγειν ἀδεῶς, ἢ ζῶντα ἀκούσας φυλάττειν ἑαυτόν. A.B.C.M.T.I.

τὸν ἐκτεθέντα παῖδα: ζητῶν μαθεῖν εἰ ὁ ἐκτεθεὶς ὑφ' ἡμῶν παῖς οὐκέτ' εἴη, ὅμοιον τῷ "εἰπέ μοι τὸν Πολύδωρον εἰ ζῇ." Gr. Fl. 5. 6. 9. 56. 59. 76. Mosq. μαθεῖν: γρ. ἰδεῖν. A.B. μαστεύων δὲ ζητῶν, ὅθεν καὶ μαστὸς, ὁ ἐπιζητούμενος παρὰ τῶν παίδων. B.I.

38. καὶ ξυνάπτετον πόδα: καὶ εἰς ταυτὸν τῆς σχιστῆς ὁδοῦ τῆς Φωκίδος συνάπτουσι τὸν πόδα, ἤτοι συντυγχάνουσι τὸν πόδα ἐπὶ τῆς σχιστῆς ὁδοῦ. οὕτως δὲ καλεῖται, ἐπειδὴ σχίζει τὴν ἐπὶ Βοιωτίαν καὶ Θήβας καὶ Ἀττικὴν καὶ Κόρινθον ὁδόν. B.C.M.T.I. εἰς

1. ἐληλυθέναι] ἐξεληλυθέναι C.T.

ib. τροφεῖα] τρόφια M.

ib. τῷ Ἀπόλλωνι om. C. τὸν ἀπόλλωνα M.T

3. ἔστι] εἴη Leid.

ib. Πολύβου παῖς] παῖς πολύβου Leid.

ib. παῖς] γνήσιος, ἀλλὰ νόθος add. Leid.

ib. φυσικοὺς] γνησίους Leid.

4. ἀγαπώμενος] ὑπ' αὐτοῦ add. Leid.

ib. παρ' ἄλλου om. Leid. qui post μαθὼν addit παρά τινος τῶν ἡλικιωτῶν.

5. ὅτι εἴη νόθος om. Gu.

9. ὀνείρων ταραξάντων M.T. ὀνείρου ταράξαντος A.B.C.I.

10. ὑπώπτευσεν] ὑπώπτευεν A.B.I. ὑπώπτευε C. omisso αὐτήν et τοῦ παιδός.

11. ζῶντα ἀκούσας] ἀκούσας om. A. In eodem post φυλάττειν ἑαυτόν a m. rec. ἢ ζητῶν. ὅτε φησὶ ὑπόπτευε τὴν ἡλικίαν τοῦ παιδὸς μαθεῖν ἐζήτει ἢ τεθνεῶτα ἢ ζῶντα ὅπως ἀκούσας φυλάξοιτο.

12. ἑαυτόν] αὐτόν C.

16. ζητῶν est etiam in Gr., ὅθεν—τοῦ παιδός (sic) in Gu.

17. καὶ ξ.—καὶ εἰς B. εἰς ταυτόν: εἰς I. In M. hoc scholion sic incipit, καὶ ξυνάπτεον: καὶ συντυγχάνουσι τὸν πόδα ἐπὶ—. εἰς ταυτὸν—ἤτοι om. C.

18. συντυγχάνουσι τὸν πόδα ἐπὶ] συντυγχάνουσιν ἐπὶ Valck. recte.

19. οὕτως δὲ κ.] οὕτως κ. B.I. οὕτω δὲ κ. C.

ib. καλεῖται C. καλεῖται ἐμφωκίδι M. καλεῖται ἐν φωκίδι B.T. καλεῖται ἐν φωκίσιν I.

ib. ἐπειδὴ σχίζει M.T. ἐπεὶ σχίζει C. ἐπεὶ διασχίζει B.I. ἐπὶ B. et καὶ Ἀ. om. C.

ταυτὸν τῆς σχιστῆς ὁδοῦ τῆς Φωκίδος συνάπτουσι πόδα, ἀντὶ τοῦ συναπαντῶσιν ἀλλήλοις. M. ἀντὶ τοῦ συναντῶσιν ἀλλήλοις. B.

39. καί νιν κελεύει: καὶ ἐκέλευσεν αὐτὸν ὁ ἡνίοχος τοῦ Λαΐου ὑποχωρεῖν τῷ βασιλεῖ, ὤφειλεν εἰπεῖν· ὁ δὲ ἄλλως ἀρξάμενος ἄλλως ἀποδίδωσι τὸν λόγον, ὥσπερ ἐκ μεταμελείας. Gr. I. καί νιν κελεύει: εἰ δὲ ληφθείη τὸ κελεύει ἀντὶ τοῦ προστακτικῶς ἔφη πρὸς αὐτὸν, σώζεται ὁ λόγος ἅπας ἐπὶ τοῦ αὐτοῦ σχήματος. τὸ δὲ κελεύω πρὸς δοτικὴν μὲν συντάσσεται, ὥσπερ καὶ τὰ τούτου σημαινόμενα, οἷον τὸ προστάσσω καὶ τὸ ὁρίζω, ἐνταῦθα δὲ πρός αἰτιατικὴν συντάσσεται, τῆς πρὸς ἔξωθεν λαμβανομένης. Fl. 21. κελεύει: λέγει. Gr. κελεύω τὸ ὁρίζω καὶ τὸ λέγω. Gu.

τροχηλάτης: ὁ ἡνίοχος. Πολυφήτην δὲ τὸν κήρυκα τοῦτον Φερεκύδης Πολυποίτην φησί. M.T. ὁ ἡνίοχος λέγων. Gr.

ὦ ξένε: καλῶς ἑκατέρῳ περίκειται φρύαγμά τι, Λαΐῳ μὲν διὰ τὸ τῆς ἀρχῆς ἀξίωμα, Οἰδίποδι δὲ, ὅτι βασιλέως υἱὸς ἦν καὶ προπετὴς ὡς νέος, καὶ ὁδοῦ τῆς πᾶσι κοινῆς εἴργετο. C.M.

τυράννοις: τοῖς βασιλεῦσιν, ἀντὶ τοῦ τῷ βασιλεῖ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἐκποδὼν μεθίστασο: ὑποχώρει. Gr. Fl. iidem. ἐκ τοῦ μέσου ὑποχώρει. Fl. 33.

41. εἶρπ' ἄναυδος: ἔτρεχε μὴ φθεγγόμενος ἢ ὅτι τέλος λοιπὸν εἶχε καὶ ἐδεδοίκει μήποτε ἄλλος τὴν ἀρχὴν διαδέξηται. M.T. ἐβάδιζε μὴ φθεγγόμενος. B. ἀντὶ τοῦ ἐπορεύετο μηδὲν ἀποκρινόμενος. Gr. Cant. πῶλοι δέ νιν: ἤγουν οἱ ἵπποι τοῦ Λαΐου ἐξήμασσον αὐτὸν, ἤγουν τὸν Οἰδίποδα, τοῖς ἑαυτῶν ὄνυξι κατὰ τοὺς τένοντας τῶν ποδῶν· ὅμοιον τῷ "ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων." Gr. I.

42. χηλαῖς: ἐν ταῖς χηλαῖς τοὺς τῶν ποδῶν τοῦ Οἰδίποδος τένοντας ἐξήμασσον, οὐχ ὑποχωροῦντος αὐτοῦ τῆς ὁδοῦ. A.B.C.M.T. I. χηλὴ διὰ τὸ ὥσπερ κεχηνέναι τοὺς ὄνυχας. M.T. τοῖς ὄνυξι. M. Gr. νεῦρα λέγει τὰ ἐπάνω τῶν ποδῶν. Gu. τὰ ἐπάνω τῶν ποδῶν ἐξήμασσον. M. ποδῶν: τῶν τοῦ Λαΐου. B.

4. εἰπεῖν om. Gr.
12. 13. Brevius in B. supra versum, τοῦτον φερεκύδης πολυποίτην φησί.
13. Πολυποίτην] πολιπήτην M.
14. φρύαγμά τι M. φρυάγματι C.
17. τῷ βασιλεῖ] τοῖς βασιλείοις Gr.
23. ἤγουν οἱ ἵπποι Gr. οἱ ἵπποι δὲ I.
25. τῷ] Homeri locis pluribus.
26. τοὺς om. C.
ib. τοῦ om. A.
29. ἐξήμασσον] ἀνίμασσον M. Gl. ἐξήμασσον est in Gr. et κατὰ τοὺς ad τένοντας.

43. ὅθεν—τί τακτός: ὑποστικτέον εἰς τὸ ὅθεν· ἔμελλε δὲ ἴσως τὴν λοιδορίαν καὶ τὴν μάχην ἀμφοτέρων λέγειν. Ἄλλως. τί οὖν, φησὶ, ταῦτα τὰ περιττὰ καὶ τὰ ἐκτὸς τῶν παθῶν λέγω; A.B.C.M. T.I. Ἄλλως. ποία μοι χρεία λέγειν τὰ ἔξω τῶν κακῶν, τὰς παρακολουθησάσας ὕβρεις; τοὺς διαπληκτισμοὺς οὐ λέγω, ἀλλ' αὐτὸ τὸ κακὸν ἐν συντόμῳ ὅτι "παῖς πατέρα καίνει—." A.B.C.T.I.

τί τακτός: κατὰ τί δεῖ λέγειν με τὰ ἐκτὸς τῶν κακῶν, ἀντὶ τοῦ κακοῦ, ἤγουν τοῦ φόνου, καὶ μὴ λέγειν αὐτὸ τὸ πρᾶγμα δηλονότι. Gr. Mosq.

44. καίνει: φονεύει. M. λαβὼν ὀχήματα: ζητοῦσι πῶς ἐπὶ τὸ μαντεῖον οὐκέτι ἀπῆλθεν ὁ Οἰδίπους. φασὶν ὅτι οὐκ ᾤετο τὸν θεὸν

1. ἔμελλε] ἔμαθεν M.T. ἔμαθε C.

ib. δὲ B.C.M.T. γὰρ A.I.

2. ἀμφοτέρων] ἀμφοτέρους M. ἀμφοτέρως C.

ib. Ἄλλως om B. Ἄλλως—λέγω Ἄλλως. ποία μοι om A. in lacuna.

3. τὰ ἐκτὸς] τὰς ἔξας A.

ib. παθῶν A.M.T. κακῶν B.C.I.

4. Ἄλλως] τί τακτός I.

ib. παρακολουθησάσας] παρακουλουθήσας (sic) C.

5. ὕβρεις om. C.T.

ib. τοὺς διαπληκτισμοὺς] τοῖς διαπληκτισμοῖς C.

6. ὅτι A.B.T. λέγω ὅτι C. γὰρ I.

7. με Gr. ἐμὲ Mosq.

10. ζητοῦσι—] In Gu. hoc scholion est: Διὰ τί Οἰδίπους μετὰ τὸ ἀποκτεῖναι Λάϊον οὐκ ἦλθεν εἰς Πυθίαν ἀποροῦσι τινές. καὶ φαμὲν ὅτι, ἐπεὶ αὐτῷ συνῄδει φόνον εἰργασμένῳ, οὐκ ᾤετο τὸν Ἀπόλλωνα ἀνελεῖν αὐτῷ. διὰ τοῦτο λαβὼν τοὺς ἵππους ἀπῆλθεν εἰς Κόρινθον παρὰ Πολύβῳ, εἰπὼν οὕτω· Πόλυβε, θρεπτήρια τάδε ἵππους τοι δώσω δυσμενέων ἐλάσας, ὥς φησιν Ἀντίμαχος. καθαρθεὶς δὲ ἐκεῖσε αὖθις ἀπῆλθε καὶ παρὰ τὸν Πύθιον, καὶ λαβὼν χρησμὸν ὅτι ἐπὶ φθορᾷ καὶ συνελεύσει μητρὸς ἐτέχθη, ἔγνω φυγεῖν τοὺς δῆθεν δοκοῦντας αὐτῷ πατέρας, καὶ καταλαμβάνει Θήβας. κηρύξαντος δὲ Κρέοντος ὡς, ὅστις τὸ τῆς Σφιγγὸς αἴνιγμα εὕρῃ, τούτῳ συνάψειν τὴν ἀδελφὴν, Οἰδίπους εὑρὼν ἐγάμησε τὴν μητέρα ὑπ' ἀγνοίας. μέμφονται δέ τινες τῷ Κρέοντι ὡς τὸν τυχόντα εἰς τὸν τῆς ἀδελφῆς γάμον καλοῦντι διὰ τοῦ κηρύγματος· ἀγνοοῦντες ὡς ὁ τοιοῦτον κατορθώσας ἀγῶνα μείζων τῶν ἄλλων εἶναι κατὰ τὸν Πίνδαρον "ὁ μέγας κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει"——[Conf. p. 50, 16.] (Hic quaedam prorsus evanuerunt in fine folii 64 a. Proxima litera est ἀ, tum in seq. linea agnoscere mihi videor vocem πάλιν. Scriptum itaque fuisse videtur: ἀποροῦσι δέ τινες πάλιν) πῶς οὐδὲ πεποίηνται τοῦ βασιλέως αὐτῶν τεθνεῶτος Θηβαῖοι. λεκτέον οὖν ὅτι παραχρῆμα μὲν οὐκ ἐζήτησαν, ἐν Δελφοῖς εἶναι νομίζοντες, ὕστερον δὲ εἰς Δελφοὺς ἀφιγμένοι καὶ πολλὰ καμόντες, ἐπεὶ οὐκ ἠδύναντο ......(Supple e Kingio: εὑρεῖν, οὐδενὸς παραγενομένου τῷ φόνῳ)...φασαν (ἔφασαν) ὑπὸ λῃστῶν ἀναιρῆσθαι αὐτόν. His, in Bar. etiam inventis, qui quidem cum Gu. plerumque conspirat, Kingius editum scholion interpolavit. Hoc ego ita exhibui, ut in I. scriptum reperitur, ejectis etiam iis, quae Valck. e Kingianis servavit, uncis tantum inclusa: ὕστερον δὲ—τῷ φόνῳ, καί. MATTH.

11. τὸν θεὸν] τῷ θεῷ I.

εὐθέως χρήσειν αὐτῷ μυσαρῷ γενομένῳ, πρὶν καθαρθῆναι, καὶ ἅμα ἵνα μὴ γνῷ ὅτι πατέρα ἔκτεινεν· εἵμαρτο γὰρ αὐτῷ καὶ τὴν μητέρα γῆμαι. ὅτι δὲ Πολύβῳ ἔδωκε τοὺς ἵππους καὶ Ἀντίμαχός φησιν ἐν Λύδῃ,

Εἶπε δὲ φωνήσας, Πόλυβε, θρεπτήρια ταῦτα
ἵππευς τοι δώσω δυσμενέων ἐλάσας.

ζητοῦσι δὲ πάλιν πῶς οὐδεμίαν Θηβαῖοι ζήτησιν πεποίηνται τεθνεῶτος αὐτοῖς τοῦ βασιλέως. λεκτέον ὅτι εὐθὺς μὲν αὐτὸν οὐκ ἐπεζήτησαν, ἐν Δελφοῖς εἶναι νομίζοντες, μετὰ δὲ ταῦτα τῶν ἵππων ἀφάντων γενομένων, ληστῶν ἐδόκει τοὔργον γεγονέναι. Ἄλλως. δεῖ νοεῖν ὅτι ὁ Οἰδίπους φονεύσας τὸν Λάϊον ὡς ἐναγὴς παραχρῆμα οὐκ εἰσῆλθεν εἰς τὸ ἱερόν· οὐ γὰρ ᾤετο χρήσειν αὐτῷ τὸν θεόν. ὑποστρέψας δὲ εἰς Κόρινθον μετὰ τῶν ἵππων Λαΐου, καὶ καθαρθεὶς τοῦ φόνου πάλιν ἐπὶ τῷ γνῶναι τοὺς γονεῖς ἐπανῆλθε πρὸς τὸν θεόν. λαβὼν δὲ χρησμὸν ὅτι ἐπὶ φθορᾷ τοῦ πατρὸς ἐτέχθη καὶ συνουσίᾳ τῆς μητρὸς, διέγνω φυγεῖν τὴν Κόρινθον τὴν νομιζομένην πατρίδα. γνοὺς δὲ τοῦ Κρέοντος τὸ κήρυγμα ἐπὶ τὸν ἀγῶνα καθίησιν ἑαυτὸν τῆς Σφιγγὸς, κινδύνῳ τὴν εὐτυχίαν θηρώμενος. A.B.C.M.T.I. ὀχήματα ἀντὶ τοῦ ὄχημα. ἐν γὰρ ἦν ὄχημα, ὡς παρὰ Σοφοκλεῖ "ἀπήνη δ' ἦγε Λάϊον μία." Gr. Bar.

45. Πολύβῳ τροφεῖ: οἷον τῷ θρέψαντι. γνοὺς ὅτι οὐκ ἂν εἴη αὐτοῦ πατὴρ τροφεῖα καταβάλλει. A.C.M. ὡς δ' ἐπεζάρει: ἐζή-

1. χρήσειν] χρήσασθαι A.
ib. αὐτῷ—γενομένῳ] ἑαυτῷ—γινομένῳ C.
2. γὰρ] γοῦν C.
ib. αὐτῷ addidi ex A C.M.
ib. τὴν om. A.B.C.M.
3. ὅτι—δέδωκε] ἔτι—δέδωκε M. δέδωκε etiam A.C.
ib. Ἀντίμαχος] αὐτόμαχος M. λυσίμαχες C.
5. ταῦτα Barnes. pro τάδε.
7. 8. πάλιν et λεκτέον—γεγονέναι om. C.
7. Θηβαῖοι hoc loco M., post ζήτησιν A.B.C., post πεποίηνται ceteri.
9. δὲ add. A.B.M.
ib. ἀφάντων M. ἀφανῶν ceteri.
10. Ἄλλως om. M.
11. ὁ Οἰδίπους] ὁ om. A.C.M.
ib. εἰσῆλθεν] ἦλθεν I.
12. χρήσειν] χρῆσαι I.
ib. αὐτῷ—μετὰ τῶν ἵππων om. M.
13. Λαΐου om. C.
ib. τοῦ φόνου C. τῶν φόνων A.T. τὸν φόνον B.I.
ib. τοῦ φόνου—γνῶναι om. M.
14. ἐπανῆλθε M. ἐπανῆκε ceteri.
ib. χρησμὸν] τὸν χρησμὸν C.
ib. ὅτι] ὡς ὅτι M.
15. φθορᾷ—συνουσίᾳ om. M.
ib. φυγεῖν (φυγὴν M.) τὴν κόρινθον A.B.C.M. κόρινθον φυγεῖν T.I.
16. τὴν ν.—γνοὺς δὲ om. M.
19. Σοφοκλεῖ] Oed. T. 763.
ib. Λάϊον μία om. Gr. in fine paginae (fol. 64 a.)
ib. ἐζήτησε A. ἐξήταζε T. ἐξήταζεν M. ἐξήτασαι C.

τησε τοὺς ἐν τῇ πόλει ἀφαρπάσαι. A.C.M.T. ζάρος ὄρνεόν ἐστιν ἁρπακτικόν. τὴν δὲ Σφίγγα οἱ μὲν λέγουσιν ἔχειν πρόσωπον παρθένου, στῆθος δὲ καὶ πόδας λέοντος, πτερὰ δὲ ὄρνιθος· Σωκράτης δὲ ἐγχωρίαν αὐτὴν χρησμολόγον φησὶ δύσγνωστα μαντευομένην, ἅπερ ἀγνοοῦντες οἱ Θηβαῖοι καὶ ἐναντίως αὐτοῖς χρώμενοι ἀπώλοντο. Ἀσκληπιάδης δὲ λέγει τοὺς Θηβαίους εἰς ἐκκλησίαν καθ' ἑκάστην ἀθροίζεσθαι διὰ τὸ δυσαίνιγμα τῆς Σφιγγός. λόγιον γὰρ ἦν αὐτοῖς μὴ ἀπαλλαγήσεσθαι τῶν κακῶν, πρὶν ἂν τοὺς τῆς Σφιγγὸς λύσειαν χρησμούς, ὁπότε δὲ μὴ συνίοιεν, ἁρπάζειν αὐτὴν ὅντινα ἂν βούλοιτο τῶν πολιτῶν. A.B.C.M.T.I. ὡς δ' ἐπεζάρει: ἐπέκειτο κακοποιοῦσα. ἁρπασθῆναι δέ φασιν ὑπ' αὐτῆς Αἵμονα τὸν Κρέοντος παῖδα. τινὲς

1. ζάρος A.M. ζαρὸς I. ζᾶρον T. Nomen avis aliunde non cognitum. Verbum ἐπιζαρεῖν, cujus unum praeter hoc exemplum est (Rhes. 441.) annotavit Hesychius s. v. ἐπεζάρηκεν utunturque eo grammatici quidam indicati in Thesauro vol. 3. p. 1592.

2. λέγουσιν add. C., omittunt ceteri.

ib. πρόσωπον] μὲν add. M.

3. Σωκράτης—δύσγνωστα om. M.

ib. Σωκράτης] ὁ σωκράτης C. ὡς κράτης A.T. De Socrate Argivo, historiarum scriptore, v. Mueller. Fragm. Hist. vol. 4. p. 496.

4. χ. φησὶ B. φησὶ χ. C.T.I. φησὶ χ. αὐτὴν A.

ib. μαντευομένην] ὡς μαντευομένην M.

ib. ἅπερ] ἅτε A.

5. ἀπώλοντο] ἀπώλλοντο B. et pr. C.

6. λέγει] λέγων A.

ib. τοὺς Θηβαίους om. C.

ib. ἐκκλησίαν] ἔλλη (sic) A. "ἕλος C. Sic scripsisse suspicor in Tragodumenis suis Asclepiadem; sed suspicor tantum, quia nunc nihil succurrit quo lectionem, a librariis non exspectandam, adfirmem: si locus, quo Thebanorum concio confluebat, dictus fuit ἕλος, non mirum ἐκκλησίαν adjectum ab alio. Locum Argis concioni dicatum ἄκραν vocat Euripides Oreste v. 869. (870.) Scholiasta: λέγει τὴν Πρῶνα. Dinias ibidem τοῦ καλουμένου Πρῶνος meminit: alter scholiastes, ὁ τόπος, inquit, ἔνθα ἡ δίκη συνήχθη περὶ τὴν μεγίστην ἄκραν—ἐξ ἐκείνου (ἐκ τοῦ ἁλίζειν) Ἁλιαία καλεῖται. sic recte scribitur in Aug. cod. pro Ἁλιδιάς, quod vulgatur." VALCK.

7. δυσαίνιγμα B.C.M.T. μυσαίνιγμα I., ex quo Barnes. λῦσαι αἴνιγμα fecerat. Vocabulum δυσαίνιγμα, infaustum vel obscurum aenigma, aliunde non cognitum.

ib. λόγιον Valck. λογικὸν A.B.C.M.T. λόγος I.

ib. ἦν αὐτοῖς—ἂν τοὺς] αὐτοῖς ἦν—αὐτοὺς C.

8. λύσειαν] λῦσαι A.C. λύση M.

9. ὁπότε (ὁπόταν A.) — πολιτῶν om. I.

ib. β. τῶν (λοιπῶν add. A.) πολιτῶν A.B.M. τῶν πολιτῶν β. C.T.

10. ὡς δ' ἐπεζάρει om. A.B.C.M. In B. lemma est οὐκ ἦν πόσις.

ib. ἐπέκειτο] ἐπέκειτο δὲ M. καὶ ἐπέκειτο A.C., in quibus hoc scholion cum praecedente conjunctum.

11. δέ φασιν ὑπ' αὐτῆς A.B.M. δ' ὑπ' αὐτῆς φασὶν C.T.I.

ib. Αἵμονα] αἵμαν (sic) M.

ib. Κρέοντος] κρέοντα M.

δέ φασιν ὅτι μία τῶν σὺν ταῖς Κάδμου θυγατράσι μανεισῶν μετεβλήθη εἰς τὸ ζῶον τὴν Σφίγγα. A.B.C.M.T.I.

ἐπεζάρει: ἐπεβάρει, ἐπεκράτει. M. ἥρπαζε, κατεβάρυνε, ἔθλιβε. B. ἐπέκειτο δίκην ζάρου, ὅ ἐστιν ὄρνεον ἁρπακτικόν· ἢ ἐπεβάρει, κατὰ τροπὴν τοῦ β εἰς ζ. Gu. τὸ ἐπεζάρει γράφεται καὶ ἐπεζάρει. παρήχθη δὲ ἡ λέξις ἀπὸ τοῦ ζάρου. ἔστι δὲ ὁ ζάρος εἶδος ὀρνέου λίαν ἁρπακτικώτατον. Fl. 21. ἐπέκειτο βλάπτουσα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἐπεκάθητο, ἠφάνιζε. Gu.

46. Σφίγξ: τὴν Σφίγγα ἱστοροῦσι παρθένου μὲν ἔχειν πρόσωπον, χεῖρας δὲ καὶ πόδας λέοντος καὶ στῆθος, πτερὰ δὲ ὄρνιθος· λέγουσι δὲ καὶ θυγατέρα εἶναι Τυφῶνος καὶ Ἐχίδνης, ἄλλοι δὲ Χιμαίρας. Gu. Bar. οὐκ ἦν: οὐ παρῆν. M.

47. Κρέων δ' ἀδελφός: ἀνοήτως, φασὶν, ἐπὶ τὸν τῆς ἀδελφῆς γάμον τὸν τυχόντα καλῶν. ἀγνοοῦσι δὲ ὅτι ἡ κατεπείγουσα συμφορὰ καὶ παρὰ τὸ πρέπον τι πράττειν προτρέπεται. ἔπειτα καὶ ἄριστόν τινα ᾤετο τὸν ἐγχειρήσαντα τῷ ἀγῶνι. κατὰ γὰρ Πίνδαρον "ὁ μέγας κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει." A.B.C.M.T.I.

Κρέων ἀδελφός: ὁ Κρέων ὁ ἐμὸς ἀδελφὸς ἐκήρυξε τὰ ἐμὰ λέχη, ἀντὶ τοῦ τὸν ἐμὸν γάμον, ὑπισχνούμενος ξυνάψειν τὰ λέκτρα τὰ ἐμὰ δηλονότι, ἀντὶ τοῦ ἐμὲ, εἰς γάμον ἐκείνῳ ὅστις ἂν νοήσειεν τὸ αἴνιγμα τῆς σοφῆς παρθένου, ἤγουν τῆς Σφιγγός. Gr. Leid.

Κρέων τ' ἀδελφός: σκόπει ὡς ἐνταῦθά ἐστιν ἡ ἀπόδοσις, καὶ μή

1. ταῖς] αὐταῖς I.

ib. μανεισῶν] μανεῖσι A.M. μανεῖσθαι C.

2. τὸ ζῶον τὴν om. C.

9. τὴν Σφίγγα ἱστοροῦσι] ἱστοροῦσι ταύτην Gu.

10. λέγουσι δὲ καὶ Gu. λέγοντες Bar.

13. Κρέων δ' ἀδελφός A.B.M. κρέων τ' ἀδελφός C. τἀμὰ κηρύσσει λέχη T.I.

ib. ἀνοήτως A.C.M.T. ἀνόητον B.I.

ib. φασὶν] φησὶν C.

ib. τὸν τῆς] τὸν om. M.

14. καλῶν C.M.T. καλεῖ B. καλεῖν I.

ib. ἡ om. B.T.I.

15. παρὰ τὸ πρέπον] τὰ μὴ πρέποντα A. In C. περὶ τῷ πρέποντι π.

16. ἐγχειρήσαντα] ἐγχειρίσαντα C. T. ἐγχειρήσοντα A.

ib. τῷ ἀγῶνι] τοῦ ἀγῶνος I.

ib. Πίνδαρον] Ol. 1, 129. Conf. schol. ex Gu. appositum in annot. ad p. 47, 10.

17. κίνδυνος] δὲ κίνδυνος I.

19. τὰ λέκτρα—εἰς γάμον Gr. τὰ λέκτρα τὰ ἐμαυτῆς, ἐμὲ δηλονότι, εἰς γάμον Leid.

20. νοήσειεν Gr. νοήσῃ Leid. quemadmodum in textu libri inter μάθοι et μάθῃ variant.

σε εἰς πλάνην ὅ τε σύνδεσμος ἐμβάλλῃ. ἀλλ᾽ εἰποῦσα ἄνω, ὡς δὲ ἠφάνιζε τὴν πόλιν ἐν ἁρπαγαῖσιν ἡ Σφὶγξ, καὶ οὐκ ἦν ἐμὸς ἀνὴρ, ἐνταῦθα ἐπάγει τὴν ἀπόδοσιν οὕτω· καὶ ὁ ἐμὸς ἀδελφὸς Κρέων τοὺς ἐμοὺς γάμους κηρύσσει, καὶ ὁ ἐμὸς παῖς τυγχάνει πως καὶ κατά τινα τρόπον μαθὼν τὸ αἴνιγμα· ὥστε, εἰ πρὸς τὸ τυγχάνει τέ, ἀλλὰ μὴ δέ ἦν, οὐδεμία ἂν ἦν δυσχέρεια. νῦν δὲ διὰ τὸ δέ πλανώμενοί τινες καὶ μὴ δυνάμενοι συνιδεῖν τὴν σύνταξιν ἐκβάλλουσιν ἐξ ἀνάγκης ἐκεῖσε τὸν σύνδεσμον. ἢ πρὸς τὸ λέκτρα τὴν ἀπόδοσιν ποίησον, ἵν᾽ ᾖ τὸ δέ κατὰ Ἀττικὴν συνήθειαν, ὥσπερ ἐκεῖνοι ποιοῦσιν εἰς τὰς ἀποδόσεις. Gu.

48. μάθοι: ἐπιγνοίη. B. λύοι. B. a m. sec.

50. αἴνιγμ᾽ ἐμὸς παῖς: αἴνιγμά ἐστι τὸ ἀποκεκρυμμένον εἰς τὴν διάνοιαν καὶ δυσεύρετον. M. αἴνιγμα λέγει τὰ ἀποκεκρυμμένην ἔχοντα τὴν διάνοιαν καὶ δυσεύρετον. Gu. παρεγένετο γὰρ εἰς Θήβας μετὰ χρόνον. M. τινὲς γράφουσι "Μούσας ἐμὸς παῖς," ὃ καὶ βέλτιον. Μούσας δέ φησι τὰ αἰνίγματα, διότι ἐμμελῶς προσεφέρετο τότε ἡ Σφίγξ. τὸ δὲ αἴνιγμα Ἀσκληπιάδης οὕτως ἀναγράφει

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνὴ,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον ὅσσ᾽ ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται ἀνά τ᾽ αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ᾽ ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

1. ἐμβάλλῃ] ἐμβάλῃ potius scribere debebat.

4. πως] πῶς Gu.

15. τινές—τὰ αἰνίγματα] Haec etiam in B., reliqua scholii parte omissa.

ib. Μούσας] μούσης A.

ib. ὃ καὶ βέλτιον om. B.

16. φησι] φασι A.

ib. προσεφέρετο] προεφέρετο M.

17. τὸ δὲ] δὲ om. M.T., recte, si haec alius est scholiastae annotatio, quod in T. significatur praefixo ἄλλως.

ib. Ἀσκληπιάδης] In Τραγῳδουμένοις.

ib. ἀναγράφει] ἀναγράφεται M. De aenigmate Sphingis prima tantum verba ἔστι δίπους ἐπὶ γῆς καὶ τετράπους apposita sunt in C., posito pro reliquis "καὶ προεγράφη," quia aenigma inter Ὑποθέσεις fabulae (VI. in editione nostra) appositum erat. Integrum legitur in M. et, cujus scripturas diversas non annotavit Matthiae, T., et in M. quidem sic ἔστι δίπους ἐπὶ γῆν καὶ τετράπουν οὗ βία φ^ω ἀλλάσσει καὶ μόνον φ^υ ὅσσ᾽ ἐπὶ γαῖαν ἑρπετὰ γίνεται ἀνά τ᾽ αἰθέρα καὶ κατὰ πόντον. ἀλλ᾽ ὁπόταν τρισσοῖς ἐρειδόμενον ποσὶ βαίῃ, ἔνθα τάχος γύοισιν ἀφαυρότατον πέλει αὐτοῦ. In A. est ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον οὗ μία φωνή. ἀλλάσσει δὲ τὴν φύσιν ὅσσ᾽ ἐπὶ γαῖαν ἑρπετὰ γίνεται—τρισσοῖσιν—βαίνει—πέλει αὐτοῦ. Quae emendavi ex libris in annotatione ad ὑπόθεσιν vi. indicatis.

τὴν δὲ λύσιν τοῦ αἰνίγματος οὕτω φασί τινες εἰρῆσθαι,

Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης, σὸν τέλος ἀμπλακίης,
ἄνθρωπον κατέλεξας, ὃς, ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους, νήπιος ἐκ λαγόνων,
γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

τινὲς δέ φασι τύχῃ λῦσαι τὸ αἴνιγμα καὶ δακτυλοδεικτεῖν ὅ ἐστι τὸν ἄνθρωπον, ἑαυτὴν διεσπάραξεν. A.C.M.T.

52. καὶ σκῆπτρ' ἔπαθλα: παρ' οὐδενὶ κεῖται τὸ ἔπαθλα ἢ μόνῳ τῷ Εὐριπίδῃ· ὅθεν μεταγράφουσι τινὲς "καὶ σκῆπτρα χώρας ἆθλα τῆσδε λαμβάνει." τὸ δ' ἑξῆς, καὶ σκῆπτρα χώρας τῆσδε ὡς ἆθλα λαμβάνει. A.B.C.M.

ἔπαθλα: καὶ τὴν βασιλείαν τῆσδε τῆς γῆς ἔλαβεν ἔπαθλον. Gr. τιμὴν, νικητήρια. B. a m. sec. βραβεῖα τῆς εὑρέσεως τοῦ αἰνίγματος. Gu.

53. γαμεῖ δὲ τὴν τεκοῦσαν: Φερεκύδης τὰ κατὰ τοὺς Οἰδίποδος παῖδας καὶ τὰς γημαμένας οὕτως ἱστορεῖ· Οἰδίποδι, φησὶ, Κρέων δίδωσι τὴν βασιλείαν καὶ τὴν γυναῖκα Λαΐου, μητέρα δ' αὐτοῦ

1. φασίν τινες M. τινές φασὶν A. C.T.

ib. εἰρῆσθαι add. M. om. A.C.T.

2.—6. Hos versus primum edidit Galeus ad Apollodor. p. 67. Leguntur etiam in cod. Leid.

2. θανόντων M. θάνατον C. θανάτων Leid.

3. φωνῆς] τῆς φωνῆς C. τὴν φωνὴν A.

4. γαῖαν] γαῖα M.

ib. ἐφέρπει A.M. ἐφ' ἕρπει C.

5. τετράπους] τετράπος A.

6. ἐρείδει Gal. ἔδει A.M. ἔχει C. ἐπάγει Leid.

8. δέ om. A.C.

ib. ὅ ἐστι τὸν ἄνθρωπον] Ante et post haec verba intercidere quaedam sine libris melioribus non restituenda. Schol. in Aug. cod. ad Phoen. v. 1511. φασὶν ὅτι λύσαντος τοῦ Οἰδίποδος διεσπάραξεν ἑαυτὴν ἡ Σφίγξ. idem ab aliis et hoc quoque loco fuerat traditum; illud forte praeterea, secundum quosdam aenigma forte fortuna solvisse Oedipum, δακτυλοδεικτοῦντα ἑαυτὸν, ὅ ἐστι τὸν ἄνθρωπον. Alia tamen grammatici veteris verba fuerunt. VALCK.

10. παρ' A.B.M. ἐπ' C.

ib. ἢ μόνῳ τῷ Εὐριπίδῃ om. B.

11. μεταγράφουσι] μετὰ γραφὰς M.

ib. Verba καὶ σκῆπτρα χώρας ἆθλα τῆσδε λαμβάνει addidit Hermann.

12. τὸ δ' ἑξῆς om. B.

ib. χώρας τῆσδε ὡς ἆθλα λαμβάνει] χώρας τῆσδ' ὡς ἆθλα λάβα M. χώρας ἆθλα:—reliquis omissis, B.

17. τὰ] τοὺς (sic) C.

ib. τοὺς Οἰδίποδος παῖδας] τοὺς παῖδας οἰδίποδος B.T.I. Mutavi ordinem verborum ex M. in quo est τοῦ οἰδίποδος παιδῖ. Sic etiam A.C. nisi quod παῖδας.

Ἰοκάστην, ἐξ ἧς γίνονται αὐτῷ Φράστωρ καὶ Λαόνυτος, οἳ θνήσκουσιν ὑπὸ Μινυῶν καὶ Ἐργίνου. ἐπεὶ δὲ ἐνιαυτὸς παρῆλθε, γαμεῖ ὁ Οἰδίπους Εὐρυγάνειαν τὴν Περίφαντος, ἐξ ἧς γίνονται αὐτῷ Ἀντιγόνη καὶ Ἰσμήνη, ἣν ἀναιρεῖ Τυδεὺς ἐπὶ κρήνης, καὶ ἀπ' αὐτῆς ἡ κρήνη Ἰσμήνη καλεῖται. υἱοὶ δὲ αὐτῷ ἐξ αὐτῆς Ἐτεοκλῆς καὶ Πολυνείκης. ἐπεὶ δὲ Εὐρυγάνεια ἐτελεύτησε, γαμεῖ ὁ Οἰδίπους Ἀστυμέδουσαν τὴν Σθενέλου. τινὲς δὲ Εὐρυγάνειαν ἀδελφὴν λέγουσιν εἶναι Ἰοκάστης, τῆς μητρὸς Οἰδίποδος. A.B.C.M.T.I.

54. παιδί: ἤδει δηλονότι. M.

56. κλεινήν τε Πολυνείκους βίαν: δύναμιν, οἷον περιφραστικῶς τὸν Πολυνείκην. M. ἤγουν καὶ τὸν ἔνδοξον Πολυνείκην, περιφραστικῶς. Gr. Cant.

58. πρόσθεν: τὴν προγενεστέραν. B.M. τὴν μείζονα. M.

1. ἐξ ἧς—τὴν Περίφαντος om. C.

ib. Φράστωρ] φράστος T. Φράστωρ καὶ Λαόνυτος obliterata in A.

ib. Λαόνυτος] λαόνοτος T. "Mibi nomen Λαόνυτος in Λαόρνυτος tantum videtur transmutandum. Notum enim est e Pausania, Apollodoro atque aliis bellum, quod patris ulciscendi gratia Thebanis intulit Minyarum rex Erginus, quo plures cecidisse Thebanorum constat." VALCK.

2. Μινυῶν] μινύων M.

ib. ἐπεὶ δὲ] ἐπειδὴ δὲ A.

3. Ἀντιγόνη καὶ Ἰσμήνη] Sic C. ἀντιγόνη καὶ (καὶ om. A.) ἰοκάστη ἰσμήνη A.M. ἰοκάστη ἀντιγόνη καὶ (καὶ om. I.) ἰσμήνη B.T.I. "Sequutus cod. Aug. importunum delevi nomen *Iocastae*, neque bujus tamen unius motus auctoritate. Nemo veterum Oedipodi filiam dedit *Iocasten*: qui meminerunt *Euryganiae* cnm Pherecyde, quatuor istos nobilissimos ipsi liberos tribuerunt. Pausan. 9, 5, 11. οἱ παῖδες τῷ Οἰδίποδι ἐξ Εὐρυγανείας τῆς Ὑπέρφαντος ἐγεγόνεσαν. δηλοῖ καὶ ὁ τὰ ἔπη ποιήσας ἃ Οἰδιπόδεια ὀνομάζουσι. Apollodor. 3, 5, 8. εἰσὶν οἳ γεννηθῆναι τὰ τέκνα ταῦτά φασιν ἐξ Εὐρυγανείας (sic leg.) τῆς Ὑπέρφαντος. Enarrator antiquus sub finem Phoeniss. e Pisandro, φασὶν, inquit, ὅτι μετὰ τὸν θάνατον τῆς Ἰοκάστης καὶ τὴν αὐτοῦ τύφλωσιν ἔγημεν Εὐρυγάνην—ἐξ ἧς αὐτῷ γεγόνασι τέσσαρες παῖδες. ista qnidem unius nominis diversa fuit pronuntiatio: vid. Hemst. ad Hesych. in Ἐργάτις. Quae hic Eurygane dicitur, Εὐρυγάνειαν vocant reliqui Pherecyden seqnuti." VALCK.

4. ἰσμίνη bic et lin. 5. I.

5. καλεῖται] ἐκλήθη B.T.I.

ib. υἱοὶ] ὡς οἶδ' M.

ib. δὲ αὐτῷ ἐξ] δ' αὐτοῦ καὶ C.

6. ἐπεὶ δὲ] ἐπειδὴ A.

ib. ἐτελεύτησε] ἀπετελεύτησε M.

ib. ὁ (ὁ om. A.C.) Οἰδίπους addidi ex A.C.M.

ib. Ἀστυμέδουσαν] ἀσμέδουσαν A. ἀσμένουσαν C. "Conjugem Oedipodi dant Ἀστυμέδουσαν scholia Hom. Il. 4, 376. atque hinc Eustathius p. 369, 40." VALCK.

7. τὴν om. A.C.

ib. Σθενέλου deletum in M.

ib. εἶναι om. C.M. Pro eo σθενέλου est in A.

ib. Ἰοκάστης post Οἰδίποδος C.

59. *μαθὼνδὲ τἀμὰ λέκτρα*: γνοὺς δὲ τὰ ἐμὰ λέκτρα τὰ τῆς μητρὸς, ἀντὶ τοῦ ἐπιγνοὺς μητρὶ συγκοιμώμενος. τὸ δὲ μητρῴων γάμων περιφραστικῶς τῆς μητρός. A.B.C.M.I.

μαθὼν δέ: τὰ λέκτρα τῶν ἐμῶν μητρῴων γάμων, ἀντὶ τοῦ τὴν κοίτην τοῦ γάμου ἐμοῦ τῆς μητρὸς, τουτέστιν, ᾗ ἔγημεν ἐμὲ τὴν μητέρα. Gr. Leid. Mosq. *μαθών*: ἴσως παρὰ τοῦ Τειρεσίου. Gu.

60. *ὁ πάντ' ἀνατλάς*: τὰ ἀπὸ μητρὸς αὐτῷ γινόμενα. M. τὰ ὑπὸ τῆς μητρὸς αὐτοῦ γενόμενα. C.

61. *εἰς ὄμμαθ' αὑτοῦ*: τινές φασιν ἐξ ἰδίας κατάρας ἐπελθεῖν αὐτῷ τὴν πήρωσιν. A.B.M. Ἄλλως. ὅμοια καὶ Ἑλλάνικος. ἐν δὲ τῷ Οἰδίποδι οἱ Λαΐου θεράποντες ἐτύφλωσαν αὐτόν·

ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ
ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας.

πῶς δὲ, φασὶν, Ἰοκάστη μετὰ τοιαῦτα καὶ τοσαῦτα δυστυχήματα ἔζη; ῥητέον ὅτι πᾶσα γυνὴ πρὸς θάνατον δειλόν. Μένανδρος,

ὀκνεῖ δὲ νοῦν ἔχουσ' ἴσως,
ἀεὶ δὲ τοῖς παροῦσι δακρύοις ἐμποιεῖ
τὸ θῆλυ τῆς ψυχῆς ἀναβολὴν τῷ πάθει.—A.B.M.I.

φόνον: τὴν δι' αἵματος ἀπώλειαν λέγει φόνον ἀπὸ τοῦ καθολικωτέρου

1. τὰ ἐμὰ] τἀμὰ C.
2. μητρὶ om. M.
3. τῆς] ἀντὶ τῆς I.
5. ᾗ] ἣν Gr.
ib. ᾗ ἔγημεν ἐμὲ] ὃ ἔγημεν ἐγὼ Mosq.
8. ὁ πάντ' ἀνατλάς] Hoc lemma in A.M. praescriptum est scholio quod infra posuimus p. 56, 4.—8. cujus verba postrema in M. sic scripta, τινὲς δὲ φασὶν ὅτι ἐξ ἰδίας κατάρας ἀμφότεροι ἦρων Χρυσίππου, illatis verbis nonnullis quae in codice ipso recte leguntur in scholio v. 61.
10. τινές—κατάρας] Haec verba in Fl. 33. adscripta sunt versui 62.
11. πήρωσιν] τύφλωσιν B.
ib. Ἄλλως addidi ex M.
ib. καὶ om. A.M. De hoc scholio in C. nihil legitur praeter verba ἐν δὲ—κόρας.
ib. Ἑλλάνικος] ἑλλανικός M. ἑλλανικῷ A. qui proxima ἐν δὲ τῷ—ἐτυφλωσαν αὐτόν om.
13. παῖδ' ἐρείσαντες πέδῳ] παῖδα ἐρίσαντες πέδῳ (πεδ^ε M.) A.M.
ib. πέδῳ] Fort. πέδοι.
14. καὶ δ.] δὲ δ. A.
15. δὲ om. M. et recte omittit si a πῶς novum scholion incipiat.
ib. φασὶν B.M. φησὶν I. φησὶν ὡς A.
ib. τοιαῦτα καὶ add. A.M., om. I. In A. est τοσαῦτα καὶ τοιαῦτα.
16. γυνὴ] γυνὴ ἡ A.
ib. Μένανδρος] μεναν^δ M. μὲν ἀνδρὸς A.B.I.
17. νοῦν ἔχουσ'] νοῦν ἔχουσα A.B.I. νουνεχῶς M.
18. δὲ] γὰρ I.

μετάγων τὸν λόγον ἐπὶ τὸ μέρος, ὡς καὶ αὐτὸς ἑαυτὸν ἑρμηνεύει ἐπάγων "χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας." Gr. Leid. Mosq.

62. χρυσηλάτοις: περόναις ἐκ χρυσοῦ ἠλασμένου (ἐλαθείσαις). Gr. Fl. 5. 6. 21. 56. 59. 76.

63. ἐπεὶ δὲ τέκνων: ὅτε δὲ ἥβησαν οἱ παῖδες, κλείθροις ἔκρυψαν τὸν πατέρα, ἵνα ἡ τύχη λήθῃ παραδοθείη, καίπερ δυσαπόνιπτος οὖσα καὶ πολλῆς δεομένη μηχανῆς εἰς τὸ λαθεῖν. A.B.C.M.I.

ἐπεὶ δὲ τέκνων τῶν ἐμῶν ἡ σιαγὼν κατάσκιος γέγονε, γενείοις δηλονότι, διὰ κλείθρων ἐν οἴκῳ ἀσφαλισάμενοι ἔκρυψαν, ἵνα ἡ συμβεβηκυῖα παρανομία ἀμνήμων γένοιτο, ἤγουν ἀφανισθείη τῆς μνήμης τῶν ἀνθρώπων, πολλῶν μηχανῶν χρῄζουσα εἰς τὸ ἀμνήμων γενέσθαι δηλονότι. Gr. Mosq. Leid. γένυς: ἡ σιαγών. Gr. ἡ παρειά. Gu. σκιάζεται: κατάσκιος γέγονε γενείοις δηλονότι. Gr. Fl. 5. 6. 21. 56. 59. 76. κατάσκιος γίνεται, καλύπτεται ὑπὸ τῶν τριχῶν. Gu. σκέπεται. Fl. 33.

64. τύχη: δυστυχία. B. ἵν' ἀμνήμων: ἵνα τὸ κατ' αὐτὸν ἐλεεινὸν δρᾶμα εἰς λήθην ἔλθῃ, δυσαπόνιπτον δοκοῦν καὶ πολλῆς δεόμενον μηχανῆς εἰς τὸ λαθεῖν, κρύπτουσι μὲν αὐτὸν ἐντὸς οἴκου, ἵνα μηδενὸς ὁρῶντος τῷ χρόνῳ ἀμνήμων ἡ συμφορὰ γένηται· ἀρᾶται δὲ καὶ αὐτὸς τούτοις σιδήρῳ διελέσθαι τὴν βασιλείαν, τουτέστιν ὑπ' ἀλλήλων φονευθῆναι. Gu. Bar.

κλήθροις: κουβουκλείοις. C.M.

65. πολλῶν δεομένη: ἤτοι πολλῆς δεομένη μηχανῆς πρὸς τὸ λαθεῖν, ἢ πολλῶν παραινέσεων καὶ πολλῆς παραμυθίας, διὰ τὴν ὑπερβολὴν τοῦ πάθους. A.B.M.I. πανουργιῶν. B.

66. ζῶν δ' ἔστ': ἔστι δὲ ἐν οἴκοις ζῶν· παρὰ δὲ τοῦ συμβεβη-

2. πόρπαισιν Gr. πόρπῃσιν Leid. Mosq.
4. ἐλαθείσαις solus addit Gu.
6. ὅτε δὲ] ἐπεὶ A.
ib. κλείθροις] κλήθροις A.
7. πατέρα] ἵν' ἀμνήμων (ἵνα μνήμων A.) τύχη add. A.M. Conf. l. 11. 16.
ib. παραδοθείη M. παραδοθῇ B.I.
ib. καίπερ] ὥσπερ C.
8. λαθεῖν] δι' ὑπερβολὴν τοῦ πάθους addit Fl. 33. quae illata ex scholio v. 65.
9. τῶν ἐμῶν—γέγονε δηλονότι om. Gr. Leid.
10. κλείθρων] Sic Gr., non κλείδων, quod ei tribuit Matth.
13. δηλονότι om. Mosq.
17. δεόμενον] δοκούμενον Gu.
18. οἴκου] τοῦ οἴκου Bar.
22. κουβουκλείοις] De hoc voc. vid. Ducang. Gloss. vol. 1. p. 724.
23. ἤτοι Valck. pro ἤτοι ἤ.
24. διὰ τὴν] δεομένη εἰς τὴν A.
26. ἔστι—] Priora ἔστι δὲ ἐν ο. ζ.

κότος κακοῦ, ἤγουν τῆς καθείρξεως, νοσῶν, ἤγουν μικροψυχῶν. Gr. Cant. τῆς τύχης: βαρέως ἐπικειμένης αὐτῷ. Gu. νοσῶν: κάμνων. Gu. Fl. 33.

νοσῶν: ἀντὶ τοῦ κάμνων ὑπὸ τῆς τύχης. B.M. τί ἥμαρτεν ὁ Οἰδίπους, ὅτι καὶ αὐτὸς τιμωρεῖται; φασὶν ὅτι Πέλοψ Χρυσίππου ἁρπαγέντος κατηράσατο μέχρι παίδων εἶναι τὸ κακόν. τινὲς δέ φασιν ὅτι Λάϊος ἀνῄρεθη ὑπὸ Οἰδίποδος, ὅτι ἀμφότεροι ἤρων Χρυσίππου. A.B.C.M.I.

67. ἀρὰς ἀρᾶται: κατάρας χαλεπὰς καταρᾶται τοῖς υἱοῖς μηδὲν ἀδικήσασιν. M. ἢ διότι εἰσήγαγον αὐτὸν ἐντὸς οἴκου ἄκοντα, καὶ οὐκ εἴασαν αὐτὸν ἐξελθεῖν, ἢ δι' ἣν αἰτίαν αὐτὸς ὑπ' αὐτῶν κέκρυπται, ἵνα τῇ λήθῃ παραδοθῇ τὸ δυστύχημα, διὰ ταύτην καὶ οὗτος αὐτοῖς κατηράσατο, νομίζων ὡς, εἴ τις αὐτοὺς ζῶντας ὁρῴη, ἀναπολεῖν ἔχῃ τῷ νῷ τὰ κατὰ τὸ γένος αὐτῶν συμβάντα παρανομήματα. Gu. Bar.

68. θηκτῷ σιδήρῳ: οἷον ξίφει κληρωθῆναι καὶ ἀπολέσαι τὸν οἶκον, ἵνα μὴ οἱ τούτου παῖδες λειπόμενοι μνημεῖα τῆς ἀρχαίας αὐτοῦ τύχης φυλάττωσιν. A.C.M. τῷ ἠκονημένῳ σιδήρῳ τοῦτο τὸ οἴκημα διαμερίσασθαι. M. ἠκονημένῳ. Gr.

69. τὼ δ' εἰς φόβον: εἰκότως ἔδεισαν πειραθέντες ὅσα Λαΐῳ συνέβη διὰ τὰς Πέλοπος ἀράς. A.B.C.M.I.

τελεσφόρους: τέλος φερούσας. Gr. Fl. 5. 6. 21. 56. 59. 76. Mosq. τελείας, τελειωτικάς. Gu. τελεστικάς. M.

70. εὐχάς: τὰς κατ' αὐτῶν δηλονότι. Gr. Florr. iidem, Mosq.

quae sola sunt in Flor. 5. 6. 56. 59. 76. e Gr. addidi, sicut τοῦ ante συμβεβ. τῆς ante καθείρξ. et νοσῶν ἤγουν. MATTH.

4. ἀντὶ τοῦ om. B.

ib. τί A.B.C.M. πρὸς δὲ τί I., ubi haec adjuncta scholio v. 65. Error ortus ex lemmate, ut apparet ex C., in quo est, πρὸς δὲ τῆς ψυχῆς (sic) νοσῶν: τί ἥμαρτεν etc. In A.M. hoc scholion relatum ad verba ὁ πάντ' ἀνατλάς (v. 60.)

5. αὐτὸς] αὐτὸν C.

ib. φασὶν M. φασὶ δὲ B.I.

10. διότι] ὅτι Bar.

ib. οἴκου] τοῦ οἴκου Bar.

ib. ἄκοντα] ἄκοντι Gu.

13. κατηράσατο] κατηρᾶτο Bar.

14. ἔχῃ] ἔχει Gu.

16. ἀπολέσαι] ἀπολέσθαι M.

17. ἀρχαίας om. C.

18. φυλάττωσι A. φυλάσσουσιν M. φυλάττῃ C.

20. ἔδεισαν] ἔδεισε A.

ib. ὅσα Λαΐῳ] ὅτι λαΐῳ πολλὰ A.C.

21. τὰς om. C.

ib. Post ἀρὰς C. pergit, ξυμβάντ' —ἐλθόντες. ἄλλως. οὗτος ὁ τόπος etc. (ad v. 71.)

κραίνωσιν: πληρῶσιν. M. ἐκ παραλλήλου φησὶ τελεσφόρους τελειώσωσιν· ὤφειλε γὰρ ποιήσωσιν. Gr. Florr. iidem. τελειώσωσι, ποιήσωσιν ὤφειλε. Mosq. οἰκούντων: τῶν παίδων. M.

71. ξυμβάντ': οὗτος ὁ τόπος εἰς ἀσυμφωνίαν ἄγει τὸ δρᾶμα. ἔδει γὰρ ἐξέλασιν ὑποθέσθαι τοῦ Πολυνείκους, ἵνα διὰ τῶν ἑξῆς δεόντως λέγοι "ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον." εἰ γὰρ ἀλλήλοις ὑπεχώρησαν ἐνιαυτὸν παρ' ἐνιαυτὸν ἄρχειν, πάντως καὶ τὰ ἐπιτήδεια ἐπεφέρετο ὁ Πολυνείκης. δεῖ οὖν εἰδέναι ὅτι οὐ παρὰ πᾶσι συμφωνεῖ ἡ Πολυνείκους εἰς Ἄργος ἄφιξις. Φερεκύδης γὰρ ἐκβεβλῆσθαι τὸν Πολυνείκην φησὶ μετὰ βίας, Ἑλλάνικος δὲ ἱστορεῖ κατὰ συνθήκην αὐτὸν παραχωρῆσαι τὴν βασιλείαν Ἐτεοκλεῖ, λέγων αἵρεσιν αὐτῷ προθεῖναι τὸν Ἐτεοκλέα, εἰ βούλοιτο τὴν βασιλείαν ἔχειν, ἢ τὸ μέρος τῶν χρημάτων λαβεῖν καὶ ἑτέραν πόλιν οἰκεῖν. τὸν δὲ λαβόντα τὸν χιτῶνα καὶ τὸν ὅρμον Ἁρμονίας ἀναχωρῆσαι εἰς Ἄργος, κρίναντος τοῦ μέρους τὴν βασιλείαν Οἰδίποδος παραχωρῆσαι. ὧν τὸν μὲν ὅρμον Ἀφροδίτη, τὸν δὲ χιτῶνα Ἀθηνᾶ αὐτῇ ἐχαρίσατο· ἃ καὶ δέδωκε τῇ θυγατρὶ Ἄδραστος Ἀργείᾳ. ὅθεν Εὐριπίδης ταῖς δύο ἱστορίαις ἐχρήσατο, ἐνταῦθα μὲν τῇ Φερεκύδου, ὕστερον δὲ τῇ Ἑλλανίκου. A.B.C.M.I.

4. οὗτος] .... όντων. ἄλλως. οὗτος A.
5. τοῦ om. C.
6. μὲν om. C.
7. ἀλλήλοις] ἀλλήλους C.
ib. ὑπεχώρησαν] συνεχώρησαν Valck.
8. ἐπεφέρετο] ἐποιεῖτο C. ἀπεφέρετο Valck.
ib. ὅτι et ἡ et εἰς Ἄργος ἄφιξις om. C.
9. Ἄργος] ἄργους M.
ib. γὰρ] μὲν γὰρ Matth.
10. τὸν Πολυνείκην om. C.
ib. Πολυνείκην] πολυνείκη B.
11. συνθήκην] συνθήκας I.
ib. αὐτὸν] αὐτῷ I.
ib. παραχωρῆσαι] συγχωρῆσαι B.I.
12. προθεῖναι] προσθεῖναι M. προτεῖναι B.C.
ib. ἐτεοκλέα M. ἐτεοκλῆ B.C.I.
14. λαβόντα] ἀπολαβόντα C.
ib. τὸν χιτῶνα καὶ (καὶ om. C.) τὸν ὅρμον A.C.M. τὸν ὅρμον καὶ τὸν χιτῶνα B.I.
15. κρίναντος τοῦ μέρους τὴν βασιλείαν] κρίναντα (κρίναντας δὲ C.) τοῦ (τοὺς C.) τὴν βασιλείαν C.M. κρίνοντος δὲ τοὺς τὴν βασιλείαν A. κρίναντα ἀντὶ τοῦ μέρους τὴν βασιλείαν Matth.
ib. Οἰδίποδος] οἰδιπο^Δ M.
ib. παραχωρῆσαι] του χωρῆσαι I.
16. ὧν] ὃν C.
ib. αὐτῇ om. I.
ib. ἐχαρίσατο—ἱστορίαις om. M.
17. ἃ καὶ] ὃ καὶ I.
ib. Ἄδραστος] ἀδράστου A.
18. ἱστορίαις] ἀργείαις A.C.
ib. ἐχρήσατο] ἐχρίσατο C.
ib. Φερεκύδου] φερεκύδους C.
ib. ὕστερον δὲ τῇ Ἑλλανίκου om. M.
19. Ἑλλανίκου] Multa tradidit Hellanicus diversissimo modo quam fecerunt alii: potuit autem Adrastus a Polynice acceptum peplum et

συμβάντ' ἔταξαν: *συνελθόντες, συσκεψάμενοι ὥρισαν· ἢ συμβάντες, εἰς φιλίαν ἐλθόντες*. C. *φιλιωθέντες*. B. *συμβιβασθέντες*. Gr. Fl. iidem. *ξυμφωνήσαντες*. Gu.

τὸν νέωτερον: *ὁ μὲν Εὐριπίδης τὸν Ἐτεοκλέα, ὁ δὲ Σοφοκλῆς τὸν Πολυνείκην μείζονα οἶδεν ἐν Οἰδίποδι*. A.B.M.I.

τὸν νεώτερον: *κατὰ μὲν Εὐριπίδην νεώτερος Πολυνείκης Ἐτεοκλέους, ὡς δὲ Σοφοκλῆς ἐν Οἰδίποδι λέγει, πρεσβύτερος, ἔχων μὲν τὴν τῆς ἀρχῆς ἐξουσίαν τὸν τεταγμένον χρόνον καὶ πάλιν παραχωρήσας Ἐτεοκλεῖ, ἀπατηθεὶς δὲ ὑπ' ἐκείνου, ὡς ἐπὶ τοῖς ἴσοις διατεθησομένου*. Gu. Bar.

73. *Ἐτεοκλέα δέ*: *τὸν Ἐτεοκλέα δὲ κρατεῖν τῆς βασιλείας τῆς γῆς μένοντα*. Gr. Fl. 5. 6. 21. 59. 76.

74. *ἐνιαυτὸν ἀλλάσσοντ'*: *διαδεχόμενον τὴν βασιλείαν κατ' ἐνιαυτόν*. B.M. Fl. 21. *ἐπὶ χρόνον πληρούμενον καὶ διαδεχόμενον ἕτερον*. Gr. Fl. 5. 6. 21. 56. 59. 76. *τὴν ἀρχὴν διαδεχόμενον*. Gu.

ἐπεὶ δ' ἐπὶ ζυγοῖς: *ἀντὶ τοῦ ἐπὶ τῆς βασιλείας. μετενήνοχε δὲ ἀπὸ τῶν κυβερνητῶν. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ* "*Ζεὺς ὑψίζυγος*." *ἐπὶ γὰρ τοῦ ὑψίστου ζυγοῦ καθήμενος ὡς κυβερνήτης πάντως φέρει τοὺς οἴακας*. A.B.C.T.I.

monile primum Argiae donasse; quae (deinceps repetita) sorori certe suae traditur Eriphylae dedisse. Dum enim has partes Polynici plerique tribuunt, Adrastum memorant nonnulli: vid. Triclin. in Soph. Elec. v. 843. et Hygin. Fab. 73. Quod si forsan erravit enarrator antiquus, error is non est emendandus. VALCK.

1. *σκεψάμενοι* gl. in B. *συνελθόντες οὖν σκεψάμενοι* (i. e. *συνσκεψάμενοι*) gl. in M.

4. *τὸν Πολυνείκην* ante *ὁ μὲν Εὐριπίδης* A.C.

5. *ἐν Οἰδίποδι* om. M.

ib. *Οἰδίποδι*] Oed. Col. v. 367. *τὸν πρόσθε γεννηθέντα Πολυνείκην throno paterno privasse dicitur Eteocles ὁ νεάζων καὶ χρόνῳ μείων γεγώς*· scholiasta: *τὸ X παράκειται, ὅτι πρεσβύτερον φησὶ τὸν Πολυνείκη*. v. 1418. conferatur, sive Barthius ad Statii Theb. 1, 128. VALCK.

17. *ἀντὶ τοῦ—βασιλείας*] Haec verba in initio scholii proximi habet M. ante *ἀπὸ τῆς τ.* Totum scholion, cum lemmate *καθέζετ' ἀρχῆς*, post proximum ponit A.

ib. *ἐπὶ* om. A.B.M.

ib. *τῆς βασιλείας* B.C.M. *τὴν βασιλείαν* I.

ib. *μετενήνοχε δὲ*] *μετενήνοχεν* A.C.M. *μετενήνοχε δὲ τὴν μεταφορὰν* B.

18. *Ὁμήρῳ*] Il. 4, 166. et alibi.

ib. *Ζεὺς* C.M. *ζεὺς δ'* B.I.

19. *ὡς κ.*] *καὶ κ.* C. *ὁ κ.* A.T.

ib. *πάντως φέρει* B.I. *περιφέρει* A.C.M.T. "*πάντας φέρει* Barnesius, quasi tot numero fuerint in una navi gubernacula: duo fuisse, quia Lucas meminerat *τῶν πηδαλίων*, a

ἀπὸ τῆς τιμῆς καὶ τῆς καθέδρας δηλοῖ τὴν βασιλείαν. A.C.M. ζυγὸς κυρίως ἐπὶ τῶν κυβερνητῶν, ἐν ᾧ καθήμενοι τὰ ἱστία μεταχειρίζονται· καταχρηστικῶς δὲ καὶ ἐπὶ ἄλλης ἐξουσίας τοῦτό φασι. Gu. Bar.

75. καθίζετ' ἀρχῆς: ἀντὶ τοῦ ἐκάθισε τῆς βασιλείας. Gr. Fl. 5. 6. 21. 33. 56. 59. 76. μεθίσταται θρόνων: μεθιστῶ τινα τῆς καθέδρας, ἤγουν ἐν ἑτέρῳ τόπῳ τῆς καθέδρας μεταγαγὼν ἱστῶ· καὶ μεθίσταμαι ἐγὼ τοῦ θρόνου οὐχ ὑπό τινος. Gr. Bar. παραχωρεῖ τῷ Πολυνείκῃ. Gu.

76. φυγάδα δ' ἀπωθεῖ: ἐξόριστον ἀπωθεῖται, ἤγουν ἀποπέμπει. Gr. Fl. 5. 6. 21. 33. 56. 59. 76. διώκει. M.

77. κῆδος: ἐπιγαμβρίαν. ὄνομα δὲ ἦν τῇ γαμηθείσῃ Ἀργεία. M. λείπει ὁ καί, καὶ κῆδος, ὅ ἐστιν ἐπιγαμβρίαν. B. κῆδος: συγγένειαν, ἐπιγαμβρείαν. ἔσχε γὰρ εἰς γυναῖκα τὴν τούτου θυγατέρα Ἀργείαν. Gu. κῆδος Ἀδράστου λαβών: συγγενὴς γενόμενος τοῦ Ἀδράστου. Gr. Fl. 5. 6. 21. 56. 59. 76.

78. ἀσπίδ': ἀντὶ τοῦ συμμαχίαν, στράτευμα. B.M. Gr. Cant. συμμαχίαν. Gu. Fl. 33.

80. πατρῷ' ἀπαιτεῖ: τὴν βασιλείαν τὴν πατρῴαν ἀπαιτεῖ, καὶ τὸ μέρος τὸ ἀνῆκον αὐτῷ τῆς χθονός. Gr. Fl. 5. 6. 21. 56. 59. 76. Mosq.

81. ὑπόσπονδον: μετὰ σπονδῶν καὶ φιλίας. A.B.C.M.I. φιλικόν. Gr. Fl. iidem. εἰρηναῖον. Gu.

82. πρὶν ψαῦσαι: ἅψασθαι τοῦ πολέμου. B. Gr. I. πρὶν τὸν πόλεμον συγκροτηθῆναι. A.B.C.M.I.

83. ἄγγελος: ὃς ἦν ὁ παιδαγωγός. Gu.

84. πτυχάς: ἀντὶ τοῦ ἀκρωρείας. C.M.I. ἐξοχάς. B. Gu. πύλας. Gr. ἐὰν ἀπὸ τοῦ πτύξ, πτύχας, ἐὰν δὲ ἀπὸ τοῦ πτυχή, πτυχάς. A.B.M. Gu. I.

multis saepe fuit ostensum; illa Philopatoris Ptolemaei ναῦς τεσσαρακοντήρης, quae quatuor habebat, δίπρωρος erat καὶ δίπρυμνος, atque adeo mirifica." VALCK.

7. τόπῳ post τῆς καθέδρας Bar.

13. λείπει—ἐπιγαμβρίαν] Similiter in I. ἐπιγαμβρία. λείπει δὲ ὁ καί.

In Fl. 33. συγγένειαν. ὄνομα τῇ γαμηθείσῃ αὐτοῦ ἀργεία.

17. συμμαχίαν (ante στράτευμα) om. Gr.

24. τοῦ πολέμου] τοῦ om. Gr. I.

ib. τὸν πόλεμον] τὸν om. M.

28. ἐὰν—ἐὰν] ἂν—ἂν Gu.

85. *σῶσον ἡμᾶς*: *ῥῦσαι* (*ἐλευθέρωσον* add. Gu.) *τῶν κινδύνων.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *ξύμβασιν*: *ὁμόνοιαν.* B.M. *συμβίβασιν.* Gr. *ἕνωσιν.* Gu.

86. *εἰ σοφὸς πέφυκας*: *ὁ εἰ ἀντὶ τοῦ ἐπειδή. σοφὸς δὲ ἤτοι τῶν εὐσεβῶν ἐπίσκοπος.* B. *ἐπειδὴ τῶν εὐσεβῶν ἐπίσκοπος.* I. *εἰ*: *ἀντὶ τοῦ ἐπειδή.* M. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

87. *τὸν αὐτὸν αἰεί*: *τοῦτο λέγει ἀπιδοῦσα πρὸς τὰς πολλὰς τοῦ Οἰδίποδος δυστυχίας.* Gu.

88. *Ὁμηρικῷ ζήλῳ ἀνάγει Εὐριπίδης Ἀντιγόνην ἰδεῖν τὸ στράτευμα, ὥσπερ ἐκεῖνος Ἑλένην ἐποίησε, πλὴν ὅσον ἐκείνη μὲν τῷ Πριάμῳ δεικνύει τὰ τοῦ στρατεύματος, Ἀντιγόνῃ δὲ ὁ παιδαγωγὸς διηγεῖται.* Gu. I.

ὦ κλεινόν: *ὦ Ἀντιγόνη, ἔνδοξον τῷ πατρὶ βλάστημα ἐν τοῖς οἴκοις, ἐπεί σε ἡ μήτηρ κατέλιπε διὰ τὰς ἱκεσίας τὰς σὰς ἐκλιπεῖν τοὺς παρθενῶνας καὶ ἀνελθεῖν δηλονότι εἰς τὸ ἔσχατον ὑπερῷον τῶν δωμάτων, ὥστε ἰδεῖν τὸ στράτευμα τὸ Ἀργεῖον, ἐπίσχες, σαυτὴν δηλονότι, ἤγουν ἀνάμεινον, ὡς ἂν προεξερευνήσω καὶ ἴδω τὴν ὁδόν, μή τις ἀπὸ τῶν πολιτῶν φαίνεται ἐν τῇ ὁδῷ, καὶ ἐμοὶ μὲν ἔλθοι καὶ καταλάβοι κακὸς ψόγος ὡς δούλῳ, σοὶ δὲ καθὰ ἀνάσσῃ καὶ κυρίᾳ. πάντα δὲ φράσω καὶ εἴπω ἅτινα ἐθεασάμην καὶ εἰσήκουσα παρὰ τῶν Ἀργείων, ὅτε ἦλθον φέρων τῷ σῷ ἀδελφῷ σπονδὰς ἐνθένδε, ἀπὸ τούτου τοῦ τόπου, ἐκεῖσε, παρ' ἐκείνου δὲ πάλιν ἐνταῦθα. ἀλλ' οὐδεὶς ἀπὸ τῶν πολιτῶν πλησιάζει ἐν τοῖς δόμοις. διέρχου δὲ διὰ τοῦ ποδὸς τὴν παλαιὰν κλίμακα τὴν ἀπὸ τοῦ κέδρου, καὶ σκόπει τὰ πεδία καὶ τὰ ῥεύματα τοῦ Ἰσμηνοῦ καὶ τὸ νᾶμα τῆς Δίρκης τῆς πηγῆς, ὅσον ὑπάρχει τὸ στράτευμα τῶν πολεμίων.* I.

ὦ κλεινὸν οἴκοις: *ἡ τοῦ δράματος διάθεσις ἐνταῦθα ἀγωνιστικωτέρα γίνεται. τὰ γὰρ τῆς Ἰοκάστης παρελκόμενά εἰσι καὶ ἕνεκα τοῦ θεάτρου ἐκτέταται. ἡ δὲ ἔξοδος τῆς παρθένου εἰκών ἐστι τῆς*

6. *ἀντὶ τοῦ* solus habet M.

9. *ἀνάγει* Gu. *ἀνάγει* I.

13. *ὦ Ἀντιγόνη—ἀνάμεινον*] Haec sunt etiam in Gr.

ib. *ἔνδοξον τῷ*] *κλεινὸν τῷ* Gr.

14. *τὰς ἱκεσίας τὰς σὰς* Gr. *τὰς σὰς ἱκεσίας* I.

16. *δωμάτων* Gr. *μελάθρων* I.

17. *ἤγουν* add. Gr., om. I.

28. *ἕνεκα*] *ἕνεκεν* C.

29. *θεάτρου* A.C. *θεάτου* B. *θεατοῦ* I. *θατέρου* M. " Schol. Soph. Oed. T. 272. *αἱ τοιαῦται ἔννοιαι— κινητικαί εἰσι τοῦ θεάτρου, αἷς πλεονάζει*

Ὁμηρικῆς τειχοσκοπίας τῆς Ἑλένης ἐκ τοῦ ἐναντίου· ἐκεῖ γὰρ γυνὴ τῷ γέροντι δείκνυσιν. διδάσκει δὲ πρόοδον παρθένου γίνεσθαι κατ' ἐπιτροπὴν μὲν μητρὸς, παιδαγωγίαν δὲ τροφέως, χρείας τε μὴ τῆς τυχούσης ἐπειγούσης τὴν ἔξοδον. Ἄλλως. εὖ διῴκηται ἡ τῆς Ἀντιγόνης ἔξοδος. καλῶς δὲ τὴν βασιλικὴν παρθένον οὐ γυναῖκες φυλάττουσιν, ἀλλ' ὁ διὰ τὸ γῆρας σώφρων καὶ φρόνιμος. τοιγαροῦν οὐκ ἀσκέπτως μετ' αὐτῆς ἔξεισιν, ἀλλ' ἐρημίαν παραφυλάξας. ἐνόμιζε γὰρ διὰ τὸν πάσης πόλεως κίνδυνον δεῖν τὴν τῆς κόρης ἀμελεῖσθαι ποιεῖν εὐταξίαν. A.B.C.M.T.I.

88. θάλος: βλάστημα. B.M. κλάδος, βλάστημα. Gr. θαλλὸς ὁ κλάδος, θάλος δὲ τὸ τούτου βλάστημα. Gu.

90. διῆρες ἔσχατον: διῆρες τὸ διῃρημένον καὶ ὑπερκείμενον τῶν ὑπερῴων, τὸ δίστεγον ὑπερῷον, οἷον δύο διῆρες, ὡς μόνον μονῆρες, ἀπὸ τοῦ δὶς, κατὰ δύο οὔσης τῆς ὀροφῆς. καταχρηστικώτερον δὲ κἂν τριώροφος ᾖ, κἂν πολύστεγος, οὕτως λέγεται. οἱ δὲ διῆρες τὸ

Εὐριπίδης. Conf. schol. in Hippol. 523." VALCK.

1. τειχοσκοπίας] τειχοποιίας T. στιχοποιίας C.

2. γίνεσθαι C.M. γενέσθαι ceteri.

3. παιδαγωγίαν] παιδαγωγίᾳ C.T.

ib. μὲν om. C., τε om. M.

4. εὖ διῴκηται Valck. εὖ διοικῆσαν M. εὐδιοικῆσαν T. εὐδιοικὴς ἂν A. B.I. εὖ—ἔξοδος om. C.

ib. ἡ] οἱ M.

5. καλῶς—παρθένον] καλῶς φησὶ τὴν βασιλικὴν παρθενίαν C.

6. ἀλλ' ὁ—ἔξεισιν om. M.T.

8. πόλεως] τῆς πόλεως A.

ib. δεῖν post κόρης C. οὐ δεῖν Valck.

ib. ἀμελεῖσθαι M.T. ἀμελεῖν C. μέλεσθαι B.I. In A. est τὴν τῆς κόρης δεῖν ἀμελεῖσθαι.

9. ποιεῖν om. C. et Valck.

12. διῆρες—ὑπαίθριον] Sic Valck. hoc scholion ex C. emendavit. In I. legebatur: διῆρες τὸ δίστεγον ὑπερῷον ὡς μόνον μονῆρες, δύο διῆρες, ἀπὸ τοῦ δὶς καὶ (κατὰ King.) δύο οὔσης τῆς ὀροφῆς. καταχρηστικώτερον δὲ κἂν ὥροφον (sic) ᾖ, κἂν πολύστεγον, οὕτως λέγεται. οἱ δὲ διῆρες καὶ δικρὸν (sic) καὶ ὕπαιθρον. Ex his tantum τὸ δίστεγον ὑπερῷον retinui, pro quo C. τὸ δίστεγον τῶν ὑπερώων. Cum C. congruere videtur T., e quo nihil ad h. l. enotatum est. In Gu. hoc scholion est, τὸ διηρμένον τῶν ἄλλων, ὡς ὑπερκείμενον, ἢ τὸ διώροφον [sic, non διωρόφον ut Matth.] καὶ δίστεγον. e quibus διηρμένον verum videtur. MATTH. In M. est, ἐς διῆρες ἔσχατον: τὸ διηρημένον καὶ ὑπερκείμενον τὸ ὑπερῷον ἢ τὸ δίστεγον, οἷον δύο διῆρες ἀπὸ τοῦ δυσὶ ὥστε τῆς ὀροφῆς. καταχρηστικώτερον δὲ κἂν τριώροφος ᾖ —ὑπαίθριον. In B. διῆρες ἔσχατον: διῆρες τὸ δίστεγον ὑπερῷον ὡς μόνον μονῆρες, δύο διῆρες ἀπὸ τοῦ δὶς καὶ δύο. διῆρες τὸ διηρὸν οἷον ὑπαίθριον.

ib. διῆρες τὸ] διῆρες om. A. ὡς τὸ δ. τὸ C.

ib. τὸ δ.] ἢ τὸ δ. A.C.

14. ἀπὸ τοῦ δὶς—οὔσης] ἀπὸ τοῦ (τῶν C.) δυσὶ καὶ δύο ὥστε A.C.

ib. δὲ—πολύστεγος] δὲ καὶ τριώροφον ἢ κἂν πολύστεγον A. τριώροφος et λέγεσθαι C.

διερὸν, οἷον ὑπαίθριον. A.B.C.M.I. εἰς διῆρες: ἀνελθεῖν δηλονότι. Mosq.

92. προυξερευνήσω: προειδῶ. M. στίβον: τὴν τετριμμένην ὁδόν. B.M.

93. μή τις πολιτῶν: ταῦτα μηχανᾶσθαί φασι τὸν Εὐριπίδην, ἵνα τὸν πρωταγωνιστὴν ἀπὸ τοῦ τῆς Ἰοκάστης προσώπου μετασκευάσῃ· διὸ οὐ συνεπιφαίνεται αὐτῷ Ἀντιγόνη, ἀλλ' ὕστερον. A.B. C.M.I.

φαντάζεται: περισκοπεῖται, φαίνεται. M. περισκοπεῖ, ἢ φαίνεται. B. ἀντὶ τοῦ φαίνεται, ὁριστικὸν ἀντὶ τοῦ ὑποτακτικοῦ, ὡς παρ' Ὁμήρῳ "ἵνα εἴδομεν" ἀντὶ τοῦ εἰδῶμεν. Gr. Bar. τοῦτο τὸ μή ἀεί ποτε ὑποτάσσει· ἐνταῦθα δὲ τὸ φαντάζεται ἀνυπότλητον ἐξενήνεκται τῷ ποιητῇ διὰ τὴν ἀνάγκην τοῦ μέτρου. Gu.

94. κἀμοὶ μὲν ἔλθῃ φαῦλος: εἰ γάρ τις ἐθεάσατο Ἀντιγόνην, ἐμέμψατο μὲν καὶ τῷ παιδαγωγῷ, ἀλλ' ἐλάχιστον δούλῳ τυγχάνοντι, ἐκείνῃ δὲ ὡς μάλιστα, ἅτε ἀνάσσῃ. εἶπεν οὖν ὁ παιδαγωγὸς εἰς ἑαυτὸν μὲν τὸ κἀμοὶ ἔλθῃ φαῦλος ψόγος ὡς δούλῳ, ἀπεσιώπησε δὲ τὸ, σοὶ δὲ ἔλθῃ μέγας ὡς ἀνάσσῃ, καὶ ἀφῆκε νοεῖσθαι. Gu. Bar. φαῦλος: ὀλίγος. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. εὐτελής. B.M. Fl. 33. εὐτελὴς, μικρός. Gu. ψόγος: λοιδορία. B.M.

95. σοὶ δ' ὡς ἀνάσσῃ: λείπει τὸ μέγας ψόγος. M. ἤγουν ἀναλλότριον παρὰ τὸ ἀξίωμα τὸ σόν. Cant. ἐξειδὼς ἀντὶ τοῦ εἰδὼς, ἤγουν γινώσκων. Gr. Bar.

96. ἅ τ' εἶδον εἰσήκουσά τ': οἰκονομικῶς φησιν αὐτὸν ὁ ποιητὴς ἀπεστάλθαι εἰς τὸ στρατόπεδον, ὅπως εὔλογον ἔχῃ πρόφασιν τοῦ ἐπιγινώσκειν ἅπαντας. B.C.M.T.I. Gu.

3. προείδω] Immo προειδῶ.
5. μηχανᾶσθαι A.C.M. καταμηχανᾶσθαι B.I.
6. ἀπὸ τοῦ (τοῦ om. A.) τῆς Ἰοκάστης προσώπου] ἀπὸ τῆς Ἰοκάστης τῆς πρόσω C.
8. Ἀντιγόνη om. C.
10. ἀντὶ τοῦ φαίνεται om. Bar.
11. Ὁμήρῳ] Il. 1, 363.
ib. ἵνα Gr. ἵν' Bar.
14. Ἀντιγόνην] Ἀντιγόνῃ ἂν Matth.
21. ἤγουν—τὸ σόν] In Gr. Mosq. et Florr. 5. 6. 9. 21. 56. 59. 76. est: σοὶ δὲ ἔλθῃ ψόγος ὡς ἀνάσσῃ, ἤγουν ἀναλόγως πρὸς τὸ ἀξίωμα τὸ σόν.
24. οἰκονομικῶς φησὶν αὐτὸν ὁ ποιητὴς C.M. οἰκονομικῶς φησὶν ὁ ποιητὴς αὐτὸν A. οἰκονομικῶς (δὲ add. B.I.) ὁ ποιητὴς φησὶν αὐτὸν B.T.I. οἰκονομικῶς δέ φησιν ὁ ποιητὴς αὐτὸν Gu.
25. ἔχῃ] ἔχει B.

97. *σπονδὰς ὅτ' ἦλθον*: ἀντὶ τοῦ εἰρήνην τὴν μετὰ φιλίας. M. ὅτε ἦλθον φέρων σπονδὰς τῷ σῷ κασιγνήτῳ ἀπὸ τοῦδε ἐκεῖσε, καὶ παρ' ἐκείνου ὧδε. σπονδὰς τὰς ἐπὶ τῇ διαλλαγῇ ἀγγελίας. Gr. Mosq. σῷ κασιγνήτῳ: τῷ σῷ ἀδελφῷ. Gr. Πολυνείκῃ. Gu.

98. *ἐνθένδ' ἐκεῖσε*: ἀπὸ τῶν ἐνταῦθα ἐκεῖσε, καὶ ἀπὸ τῶν ἐκεῖθεν δεῦρο. C.M.T. ἀπὸ τῶν ἐντεῦθεν, ἀπὸ τοῦ Ἐτεοκλέους εἰς τὸν Πολυνείκην. Gu.

99. *ἀλλ' οὔτις*: οὐδεὶς ἀπὸ τῶν πολιτῶν χρίμπτεται, ἤγουν πλησιάζει. Gr. ἐγγίζει. M.

100. *κέδρου παλαιὰν κλίμακ'*: τὴν ἀπὸ κέδρου πολυετῆ κλίμακα διέρχου. Gr. λεληθότως τὸν πλοῦτον τῶν βασιλείων παρίστησιν, ὅπου γε κεδρίνην τὴν κλίμακά φησι. A.C.M.I. Gu. ἐκπέρα: ἀνάβαινε, διέρχου. Gu.

101. *σκόπει δέ*: εἰς τὸ σκόπει τελεία, τὰ δὲ λοιπὰ ὑφέν. B.M. σκόπει δὲ παρὰ τὰ πεδία καὶ παρὰ τὰς ῥοὰς τοῦ Ἰσμηνοῦ καὶ παρὰ τὸ νᾶμα τῆς Δίρκης τῶν πολεμίων τὸ στράτευμα ὅσον ἐστίν. Δίρκη πηγὴ καὶ ποταμὸς παρὰ ταῖς Θήβαις. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

Ἰσμηνοῦ: Ἰσμηνὸς ποταμὸς Θηβῶν, ὅθεν καὶ Ἰσμήνιος Ἀπόλλων

3. *σπονδὰς—ἀγγελίας*] Haec sunt etiam in Flor. 5. 6. 9. 21. 56. 59. 76.

5. *ἐκεῖθεν* M.T. *ἐκεῖσε* C.

11. *λεληθότως* A.M.C. *διὰ δὲ τοῦ κέδρου παλαιὰν κλίμακα λεληθότως* I. "Mihi illa omnia v. 93. *ταῦτα καταμ.—ὕστερον*, v. 96. *οἰκον. δὲ—ἅπαντας* et ista ex ejusdem grammatici, qui non singula verba, sed universam rei tractationem spectaret, notationibus sumta, reliqua diversorum esse enarratorum videntur, quae librarii deinde ad suum quaeque versum referrent. Hinc in [A.] C.[M.] Gu. desunt h. l. priora *διὰ δὲ—κλίμακα*. MATTH.

ib. *τῶν βασιλείων* C.M. *τῶν βασιλέων* I. Gu. *τὸν βασιλικὸν* A. "At Flor. 33. *βασιλείων*, qui praeterea *λεληθότερον* et post *βασιλείων* addit *ἀπὸ τῆς κεδρίνης κλίμακος*, ab initio antem haec: *νοητέον ἔξωθεν τὸ λοιπόν*." MATTH. Pro vulgata *βασιλέων* recepi *βασιλείων*· *aulae* namque designari credidit magnificentiam: Mnaseas in schol. ad Phoen. v. 652., meminit *τῶν Καδμείων βασιλείων*· ubi Ms. *βασιλήων* habet; scripserat Mnaseas, *βασιληΐων*. Quod Wesselingio ad Diodor. vol. 1. p. 215, 4, mihi quoque, si quid id est, venerat in mentem, in Heraclidae Cumani verbis restituendum *ἐν τοῖς βασιλείοις*, pro *βαλανείοις*· conf. ad istum locum Athen. 12. p. 528, F. p. 530. B. Dorvill. in Charit. p. 538, 540. VALCK.

16. *τῶν π. τὸ στ.* Gr. *τὸ στ. τῶν π.* ceteri.

ib. *Δίρκη—Θήβαις*] In Gu. tria gl. *καί*: *σκόπει*. *Ἰσμηνοῦ*: *ποταμοῦ Θηβῶν*. *Δίρκης*: *πηγῆς Θηβῶν*.

19. *Ἰσμηνὸς*] δὲ add. B.

τιμᾶται. A.B.C.M.T. Ἰσμηνὸς ὕστερον ἐκλήθη ἀπὸ Ἰσμήνης τῆς ὑπὸ Τυδέως αὐτόθι ἀναιρεθείσης, ὥς φασιν. Gu. ποταμὸς πλησίον τῶν Θηβῶν Ἰσμηνός. Gr.

102. Δίρκης τε νᾶμα: οἱ μὲν ποταμὸν, οἱ δὲ κρήνην τὴν Δίρκην. A.M. Ἄλλως. Δίρκη κρήνη Θηβῶν, πλησίον τοῦ Ἰσμηνοῦ, ἀπὸ Δίρκης ὀνομασθεῖσα. οἱ γὰρ περὶ Ζῆθον καὶ Ἀμφίονα ἐκτεθέντες ὑπὸ τῆς μητρὸς Ἀντιόπης καὶ τραφέντες ἐν τοῖς βουκολίοις τῆς Δίρκης ἐβουκόλουν αὐτῇ. ὕστερον δὲ παρέδωκεν αὐτοῖς τὴν Ἀντιόπην ἐπὶ τῷ διὰ ταύρων διασπάσαι· οἱ δὲ γνόντες αὐτὴν μητέρα αὐτῶν αὐτῆς μὲν ἐφείσαντο, τὴν δὲ Δίρκην ὑπὸ τῶν ταύρων διέσπασαν. καὶ ὁ τόπος, ἔνθα ἐσύρη, Δίρκη καλεῖται. A.B.M.I.

Δίρκης τε νᾶμα: Ἀμφίων καὶ Ζῆθος ὑπὸ τῆς μητρὸς ἐκτεθέντες ἐν βουκολίοις τινὸς γυναικὸς Θηβαίας καλουμένης Δίρκης ἐτρέφοντο. μετὰ ταῦτα αὐτὴ ἡ Δίρκη ὀργισθεῖσα Ἀντιόπην ἔπεμψεν αὐτὴν εἰς τούτους ὑπὸ ταύρων ἀναιρήσεσθαι. οἱ δὲ γνόντες αὐτὴν μητέρα οὖσαν αὐτῶν ταύτην μὲν εἴασαν, ἐλθοῦσαν δὲ Δίρκην ὑπὸ ταύρων διασπασθῆναι ἐποίησαν. ἐκλήθη οὖν ἀπ' αὐτῆς Δίρκη, ἀφ' ἧς ὁ Ἰσμηνὸς ποταμὸς ἔχει τὸ ὕδωρ, καὶ ὁμώνυμος ταύτῃ Δίρκη λεγόμενος. Gu.

103. ὄρεγε νῦν: πάρεχέ μοι τὴν χεῖρα ὁδηγὸν, ὅ ἐστιν ὁ δήγει με.

p. 63. l. 19. καὶ om. A.M.T.
ib. ἀπόλλων B. ὁ ἀπόλλων C. ἥλιος A.M.T.
1. τιμᾶται A.B.M.T. ὅτι ἐν αὐτῷ τιμᾶται C.
ib. Ἰσμηνὸς ὕστερον] Sic Gu., non Ἰσμήνης ὕστερον ut Matth.
4. Δίρκης] In B. aliud scholion praecedit, δίρκη δὲ πηγὴ πλησίον τοῦ ἰσμηνοῦ ἀπὸ δίρκης ὀνομασθεῖσα.
5. Ἄλλως addidi ex A.M.
ib. Δίρκη κρήνη] κρήνη δίρκη A.
7. βουκολίοις] βουκόλοις A.B.M.I. Correctum ex scholio Gu.
9. τῷ A.B.M.T. τὸ I.
10. αὐτῆς] αὐτὴν M.
ib. ὑπὸ King. ἐπὶ A.B.M.I.
11. καλεῖται A.M.T. καλεῖται καὶ ἡ κρήνη καὶ ὁ τόπος B.I.
12—19. Ex hoc scholio apparet unde sua sumserit King. Ἀμφίων γὰρ καὶ Ζῆθος et αὐτὴ ἡ Δ. ὀργισθ. Ἀντ. ἔπ. αὐτοὺς εἰς τούτους ὑπὸ ταύρων ἀναιρεθήσεσθαι. quibus scholion antiquitus vulgatum interpolavit: nam Gu. eadem fere habet quae Bar. Idem scholion habebat Leid. Scholion, quod in editis legitur, habent etiam Taurin. et Flor. 33. deerat in C. Pro ἐν τοῖς βουκόλοις rectius puto ἐν τοῖς βουκολίοις, quod est in sch. Gu.—ἐπὶ τῷ—διασπ. e Taur. recepi, qui etiam paulo ante ἐκτεθ. ὑπὲρ τῆς μητρός. Ultima καὶ ὁ τόπος καὶ ὁ ποταμός absunt a Taur. eaque rectius abesse judicat Valck. Ego καὶ ἡ κρήνη καὶ ὁ π. recepi e Flor. qui habet καὶ ἡ κρίνη. MATTH.
20. ὄρεγε—ἡ μεταφορά] Sic A.M. T. In B.I. est ὄρεγε νῦν. πάρεχέ μοι

Ἄλλως. ἔκτεινε τὴν παλαιάν σου χεῖρα ἐμοὶ τῇ νέᾳ ἅμα προσαναβαίνων. Ἄλλως. ἐπὶ τῇ νέᾳ ὄρεγε τὴν παλαιάν σου χεῖρα. ἐπαντέλλων: προφαίνων καὶ προβαίνων καὶ προαναφαίνων. Ἄλλως. ἐπανάγων. ἀπὸ τοῦ ἡλίου ἡ μεταφορά· καὶ γὰρ οὗτος εἰς τὸ ὑψηλὸν τοῦ οὐρανοῦ ἀναβαίνει. A.B.C.M.T.I.

ὄρεγε καὶ πάρεχε ἀρτίως ἀπὸ τῶν κλιμάκων τὴν χεῖρα τὴν γεραιὰν τῇ ἐμῇ νέᾳ χειρὶ, ἐπαντέλλων καὶ ἀναβιβάζων τὸ ἴχνος τοῦ ποδός. I. ἡ δευτέρα ἐπαγωγὴ τοῦ ὄρεγε τὴν πολλὴν προθυμίαν τῆς κόρης ἐμφαίνει, ἣν εἶχεν ἰδεῖν τὸ στράτευμα. Gu. νέᾳ: τῇ ἐμῇ χειρὶ δηλονότι τῇ νέᾳ. Gr.

104. ἐπαντέλλων: τὸ ἴχνος τοῦ ἐμοῦ ποδὸς ἐπαναβιβάζων. Gr. ἀναβιβάζων, ἀναφέρων. ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ ἡλίου. οὗτος γὰρ κατὰ μικρὸν εἰς τὸ ὑψηλότερον ἀνάγεται. Gu. ἐπαναβιβάζων. Mosq.

105. ἰδού: ὦ παρθένε, ἰδοὺ σύναψον· ἐγκαίρως γὰρ ἐπορεύθης· κινούμενον γὰρ ὑπάρχει τὸ Ἀργεῖον στράτευμα, χωρίζουσι δὲ καὶ ἀποχωροῦσιν ἀλλήλων τοὺς λόχους καὶ τὰ τάγματα. I.

σύναψον: τῇ χειρὶ τὴν χεῖρα. M. ἅρμοσον τὴν χεῖρά σου τῇ ἐμῇ χειρί. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. συνάρμοσον τὴν χεῖρα τῇ χειρί. Gu. Mosq.

εἰς καιρὸν δ' ἔβης: ἀντὶ τοῦ εὐκαίρως. M. ἐγκαίρως δὲ ἀφίκου. Gr.

106. κινούμενον: ἐγειρόμενον ἀκολουθεῖ. M.

Πελασγικόν: τὸ τῶν Ἀργείων, ἀπὸ Πελασγοῦ βασιλέως. M.

107. χωρίζουσι: ἀποχωρίζουσι καὶ κατατάσσουσιν ἀλλήλους εἰς πόλεμον. B.C.M.T.

λόχους: τὰ κοινῶς ἀλλάγια λεγόμενα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

108. ἰώ: φεῦ, ὦ θύγατερ τῆς Λητοῦς σεβασμία Σελήνη· ἅπαν

τὴν χεῖρα ὁδηγὸν, οἷον (ἤγουν I.) ὁδήγει με. ἢ ἀντὶ τοῦ ἔκτεινε τὴν παλαιάν σου χεῖρα ἐμοὶ (ἐμῇ I.) τῇ νέᾳ, ἅμα προσαναβαίνων. ἐπαντέλλων γὰρ ἀντὶ τοῦ ἐπανάγων. ἡ μεταφορὰ ἀπὸ τοῦ ἡλίου.

2. παλαιάν] γεραιάν T.

3. καὶ προαναφαίνων om. A.

25. καὶ κατατάσσουσιν] κατατάττουσι τὰς τάξεις, οἷον παρατάττουσιν T. In Gu. est χωρίζω τόνδε τοῦδε. ἀποχωρίζουσι καὶ παρατάσσουσι τὰς τάξεις.

27. ἀλλάγια (ἀλάγια Gr.) λ.] λ. ἀλλάγια Florentini. De voc. ἀλλάγιον vid. Ducang. Gloss. vol. 1. p. 52.

γὰρ τὸ πεδίον ἀστράπτει κατάχαλκον, ἤτοι ἔνοπλον. οὐ γὰρ φαύλως καὶ ἀπρεπῶς ἦλθε καὶ κατέλαβεν ὁ Πολυνείκης *τὴν γῆν, ἀλλὰ βρέμων καὶ ἠχῶν ἐν πολλοῖς ἵπποις καὶ μυρίοις ὅπλοις.* I.

ἰὼ πότνια: τοξότις ἡ Ἄρτεμις. *ὡς παρθένος δὲ τὴν παρθένον καλεῖ, ἢ θαυμάζουσα τὸ φῶς τὴν* Ἑκάτην *καλεῖ· ἡ αὐτὴ γάρ ἐστι τῇ* Σελήνῃ. B.C.M.

ἰὼ πότνια: ὡς παρθένον ταύτην ἀνακαλεῖται, ἢ ἐπειδὴ τὸ πεδίον ἀστράπτον ἑώρα, τὸ δὲ τῆς σελήνης εἶδος τοιοῦτον· εἰς γὰρ τὴν σελήνην ἀλληγορεῖται ἡ Ἄρτεμις. *διὰ τοῦτο ἐκπληττομένη πρὸς τὴν* Ἄρτεμιν *ποιεῖται τὸν λόγον. εἰ δέ τις εἴποι ὅτι καὶ καιρὸν εἶχε τὸ ταύτην ἐπιβοᾶσθαι ὡς πολεμικὴν, οὐδὲν βλάβος τῷ λόγῳ.* Gu. I.

109. *κατάχαλκον: ἀντὶ τοῦ χαλκωθὲν τοῖς ὅπλοις, ἢ ἀσπίδων πλῆρες.* A.M. *ἀντὶ τοῦ πεπληρωμένον χαλκῷ ὡπλισμένων ἀνδρῶν.* Gr. Cant. *πάγχαλκον, πολύχαλκον, ἀσπίδων καὶ θωράκων καὶ κνημίδων καὶ κρανῶν πλῆρες.* Gu.

110. *ἀστράπτει: τῷ δοκεῖν ἀστράπτει διὰ τὸ πλῆθος τῶν ὅπλων. οἰκονομικῶς δὲ καὶ τοῦτο, ἅμα τε ἵνα ἀποδειχθῇ τὸ πλῆθος αὐτῶν.* A.C.M.T. Ἄλλως. *τῇ ὑπερβολῇ κατάπληξιν ἐμφαίνει, ὅλον λέγων ἀστράπτειν τὸ πεδίον, καίτοι ὀλίγον μέρος αὐτοῦ κατεῖχον οἱ πολέμιοι. οἰκείως δὲ τὸ ἀστράπτειν ἐνταῦθα· τοιαύτη γὰρ ἡ τοῦ χαλκοῦ φύσις, εἴ τις ἐν ἡλίῳ κινήσειεν αὐτόν. πῶς δὲ ἐνταῦθα κατάχαλκόν φησι τὸ πεδίον, ἐν δὲ τοῖς ἑξῆς φησι* " *λεύκασπιν εἰσορῶμεν* Ἀρ-

4. *τοξότις ἡ ἄρτεμις* B.M. *πότνια παῖ λατοῦς ἡ τοξότης ἄρτεμις* C.

ib. *παρθένον καλεῖ* B.C.M. In A. fragmenta tantum supersunt, *ἰὼ πότνια παῖ λατοῦς. ἡ......ἑκάτην καλεῖ —σελήνη.*

5. *τὸ φῶς*] *τὸ φῶς τῶν ὅπλων* B. " Verba *ἢ θαυμάζουσα—καλεῖ* sunt etiam in Flor. 5. 6. 9. 21. 56. 59. 76. praemissis his : *ἡ τοξότης* Ἄρτεμις *τὴν παρθένον καλεῖ*, ultima *ἡ αὐτὴ γὰρ* etc. in Fl. 33. MATTH.

ib. *ἐστι τῇ* Σελήνῃ] *ἐστιν ἡ σελήνη* C.

7. *ὡς παρθένον ταύτην* Gu. *ἡ παρθένος τὴν ἄρτεμιν* I.

ib. *ἢ* om. I.

9. *ἡ* Ἄρτεμις] *ἡ* om. Gu.

10. *καὶ* om. I.

16. *τῷ δοκεῖν—πλῆθος αὐτὸν*] Eadem in C., sed defecta *τὸ δοκεῖν ἀστράπτει διὰ τὸ πλῆθος αὐτῶν.*

17. *καὶ τοῦτο*] *καὶ* om. A.

18. Ἄλλως addidi ex C.M.

ib. *τῇ ὑπερβολῇ —καίτοι*] *ἡ ὑπερβολὴ —καὶ τὸ* A.

20. *οἰκείως*] *οἰκεῖον* A.

ib. *ἀστράπτειν*] *ἀστράπτει* M.

ib. *ἐνταῦθα* om. A.B C.

21. *εἴ* (*καὶ εἴ* A.) *τις* A.B.M. *ἥτις ὅταν τις* I.

ib. *ἐνταῦθα*] *ἐνθάδε* A.B.C.

ib. *κ. φησι* A.B.M. *φησὶ κ.* I.

22. *τὸ* addidi ex A.B.M.

ib. *ἐν δὲ—φησὶ* om. M. *φησὶ* om. A.C.

ib. Ἀργείων] *ἀργεῖοι* M.

γείων στρατόν;" ἀλλ' οὐ πάντες ἦσαν λευκάσπιδες. περὶ γοῦν τινός φησι "πάγχαλκον ἀσπίδ' ἀμφὶ βραχίονι κουφίζων." ἢ καὶ ἀπὸ τῶν ἄλλων ὅπλων κατάχαλκόν φησι τὸ πεδίον, θωράκων τε καὶ κνημίδων καὶ κρανῶν. A.B.C.M.I.

111. οὐ γάρ τι φαύλως: οὐκ ἀσθενῶς οὐδ' ὡς ἔτυχεν ἦλθεν, ἀλλὰ μετὰ πολλῆς δυνάμεως ὁπλιτῶν Ἀργείων. B.C. οὐκ εὐτελῶς, οὐχ ἁπλῶς. M. ἤγουν οὐδαμῶς γὰρ φαύλως, ἤγουν εὐτελῶς, μικροπρεπῶς ἦλθεν εἰς τὴν ἑαυτοῦ πατρίδα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

112. ὅπλοις βρέμων: ἐμφαντικῶς, οἱονεὶ ἠχῶν, ἵνα σκηπτὸν ἀλληγορῇ τὸν πόλεμον· ἢ κομπάζων. A.C.T. ἠχῶν. Gr. ἀλαζονευόμενος, σοβῶν. Gu.

114. ἆρα πύλαι κλήθροις: ὁ νοῦς, ἆρα, φησὶν, αἱ πύλαι καλῶς τοῖς κλήθροις ἡρμοσμέναι εἰσὶ, καὶ τὰ χαλκόδετα ἔμβολα ἥρμοσται τοῖς λαϊνέοις Ἀμφίονος ὀργάνοις, ὅ ἐστι τῷ λαϊνέῳ τείχει, τῷ ὑπὸ Ἀμφίονος κτισθέντι; ὀργάνοις δὲ τοῖς ἔργοις, ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ Σοφοκλῆς "ξουθοῦ μελίσσης κηρόπλαστον ὄργανον," ἀντὶ τοῦ ἔργον. καὶ ἔμβολα οἱ μὲν τοὺς καθέτας, οἱ δὲ τοὺς στροφεῖς. A.B.C.M.I.

ἆρα πύλαι: ἆρα αἱ πύλαι τοῖς κλείθροις ἡρμόσθησαν, καὶ τὰ χαλκόδετα ἔμβολα ἡρμόσθη τοῖς λιθίνοις ἔργοις τοῦ τείχους τοῦ Ἀμφίονος; Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. καλῶς συνηρμόσθη-

2. φησι] φ^{η} M., om. A.

ib. βραχίονι] βραχίονα C.M.

3. θωράκων ex A. pro θωρήκων.

8. ἦλθεν om. Florentini.

10. ὅπλοις—κομπάζων] Haec etiam in C. nisi quod σκοπῶν habet pro σκηπτόν. ad quae Valck. "quae, si quis emendaverit, inter scholia poterunt reponi."

13. κλήιθροις B. κλείθροις A.C.M., om. I. καλῶς τοῖς om. C.

ib. ὁ νοῦς om. B.I.

ib. φησὶν om. B.I.

14. τοῖς om. M. καλῶς τοῖς om. A.

ib. κλήθροις] κλήιθροις B. κλήθροις I. κλειθροις M.

ib. καὶ τὰ] καὶ om. M.

15. τῷ ὑπὸ Ἀμφίονος κτισθέντι addidi ex A.

17. Σοφοκλῆς] Fragm. 464.

ib. ξοιθοῦ I. ξοίθου B. ξούφου A.C. ξοῦφον (sic per φ) M. Scribendum ξουθῆς ex Porphyrio de abstin. 2, 19.

18. καὶ ἔμβολα] ἔμβολα δὲ A.

ib. καθέτας M.T. καταθέντας C. καθέτους A.B.I. Conf. p. 68, 13. Substantivum καθέτης, perpendiculum, annotatum in Glossario vet. Usitatior forma est καθετήρ.

22. Post Ἀμφίονος finitur scholion in Gr.: in Florentinis adduntur illa, τὰς σιδηροῖς πετάλαις—καταράκτας φασὶν, quae vide paullo post.

σαν τοῖς κλείθροις. χρὴ γὰρ νοῆσαι καὶ ὑπακοῦσαι τοῦτο ἔξωθεν, ἢ καὶ αὐτὸ περὶ τὸ οὐδέτερον, ὃ προσεχέστερον ἦν, ἐπήνεγκε τὸ ἥρμοσται ἑνικόν. Fl. 33.

χαλκόδετά τ' ἔμβολα: τοὺς μοχλοὺς τοὺς χαλκῷ δεδεμένους. τὸ αὐτὸ δὲ καὶ κλεῖθρα. C.M. ἔμβολα τινὲς τοὺς στροφεῖς, παρὰ τὸ ἐμβάλλεσθαι τῇ ὀπῇ τοῦ οὐδοῦ. χαλκόδετα δέ, ἐπεὶ χαλκῷ περισφηκοῦνται οἱ στροφεῖς, διὰ τὸ μὴ προστριβόμενον ἐξασθενεῖν τὸ ξύλον. ἄρα οὖν, φησὶν, αἱ πύλαι καλῶς τοῖς κλήθροις ἡρμοσμέναι εἰσὶ, καὶ οἱ στροφεῖς καλῶς ἐνηρμόσθησαν πρὸς τὸ λαΐνεον τεῖχος κατὰ τὰς ὀπὰς, ὅ ἐστι τὸ ἔργον τοῦ Ἀμφίονος. οὐ θαρσήσασα δὲ τοῖς κλήθροις καὶ περὶ τῶν στροφέων φησὶ, μήποτε καὶ τοὺς στροφεῖς τῶν θυρῶν ἀναβαλεῖν δυνήσονται οἱ Ἀργεῖοι μὴ ἐν βάθει ἡρμοσμένους. ἄλλοι δὲ ἔμβολά φασι τοὺς καθέτας, τὰ νῦν καλούμενα πτερὰ, ἅπερ ἐστὶ τῇ κατασκευῇ τοιάδε. θύραν κατασκευάσαντες ἴσην κατά τε μῆκος καὶ πλάτος τῇ πύλῃ τοῦ τείχους ἔξωθεν αὐτῆς χαλκᾶ πέταλα καθηλοῦσιν, ὡς ὁλόχαλκον τὴν θύραν νομίζεσθαι. ταύτην ἐπάνω [τῆς θύρας] ἱστᾶσιν οὐχ ἑδραίαν, ἀλλ' ὥσπερ κρεμαμένην. τῶν δὲ πυλῶν κλειομένων καθίεσαν ἄνωθεν τὴν κεχαλκωμένην

4. τοὺς χαλκῷ A.M τῷ χαλκῷ C.
5. τὸ αὐτὸ δὲ καὶ M. τὸ αὐτὸ καὶ A.
ib. ἔμβολα M. ἄλλως. ἔμβολα A.C. ἄλλως. χαλκόδετα (duo puncta: addit B.) ἔμβολα B.I. παρὰ—σφ. οἱ στροφεῖς om. C.
ib. τινὲς τοὺς στροφεῖς—οὐδοῦ] In Gu. οἱ μὲν στροφεῖς—οὐδοῦ. οἱ δὲ καθέτους, διά τινος μηχανήματος καθιέμενα καὶ ἀνελκόμενα. χαλκόδετα δὲ διὰ τὸ δεδ. καὶ ἠσφαλῆσθαι (sic) χαλκῷ, quae infra sequuntur.
6. περισφηκοῦνται] παρασφηκοῦνται I.
7. οἱ] καὶ οἱ M.
8. 11. κλήθροις] κλείθροις C.
9. λαΐνεον] λάϊνον A.C.
10. κατὰ Valck. pro καί.
ib. τὰς ὀπὰς] τοὺς ὀπὰς B.
ib. τὸ ἔργον post Ἀμφίονος A.C.
11. στροφέων] στροφιῶν I.
ib. μήποτε—θυρῶν om. C.
12. ἀναβαλεῖν] ἀνακαλεῖν I. φησὶ ἀναβαλεῖν A., omisso τῶν θυρῶν.
ib. δυνήσονται] δυνήσωνται M.I.
ib. ἐν om. T.
13. ἡρμοσμένους] ἡρμοσμένοι A.C. M.T. δὲ om. I. φασι om. C.
ib. τοὺς καθέτας A.C.M. τοὺς καθέτους B. τὰς καθέτους I. Conf. ad p. 67, 18.
14. ἐστὶ] εἰσὶ A.C.M.
15. τε] γε I.
ib. πύλῃ] πόλει A.C.M.
16. χαλκᾶ πέταλα] χαλκοπέταλα B.I. Recta scriptura etiam in T.
17. ταύτην] ταύτην δὲ τὴν C.
ib. τῆς θύρας seclusit Matth. Parum probabiliter Valck. ταύτην δὲ τὴν γανωτὴν θύραν ἱστᾶσιν οὐχ ἑδραίαν, quod significet τὴν χαλκοῖς πετάλοις καθηλωμένην, quam infra vocat τὴν κεχαλκωμένην θύραν.
ib. ἱστᾶσιν] ἵστησιν A.C.M.T.
ib. κρεμαμένην] κρεμμαμένην B.C.
18. τῶν δὲ] δὲ om. M.
ib. καθίεσαν M. καθίεσθαι A.C. καθιᾶσιν B.I. Conf. p. 69, 4. 16.

θύραν, ἥτις μέχρι τοῦ ἐδάφους φθάνουσα ἐκάλυπτε τὰς πύλας, ὡς ἂν μηδεμίαν ἐπιβουλὴν γίνεσθαι ἔσθ' ὅτε καὶ πυρὸς προσφερομένου ταῖς πύλαις ξυλίναις οὔσαις. καὶ πολεμίων μὲν πολιορκούντων τάς τε πύλας ἔκλειον καὶ τὰ ἔμβολα καθίεσαν· εἰρήνης δὲ οὔσης, διὰ τὸ τὰς πύλας οὔσας μεγάλας δυσχέρειαν παρέχειν ἔν τε τῷ κλείεσθαι καὶ ἀνοίγεσθαι, ταύτας μὲν εἴων ἀνεῳγμένας διὰ παντὸς, ἑσπέρας δ' ἠρκοῦντο τῷ ἐμβόλῳ, διά τινος μηχανήματος αὐτὸ καθιέντες καὶ ἀνέλκοντες. ἔμβολον δὲ καλεῖ ἐκ τοῦ ἄνωθεν ἀπὸ τοῦ τείχους ἐμβάλλεσθαι ἔξωθεν τῶν πυλῶν· χαλκόδετον δὲ διὰ τὸ δεδέσθαι καὶ ἠσφαλίσθαι χαλκῷ. A.B.C.M.T.I. *ὁ δὲ νοῦς, ἄρα αἱ πύλαι τοῖς κλήθροις ἡρμοσμέναι εἰσὶ καὶ τὰ χαλκόδετα ἔμβολα ἥρμοσται τοῖς Ἀμφίονος λαϊνέοις τοῦ τείχους ὀργάνοις, τουτέστι τοῖς ὑπὸ Ἀμφίονος κατασκευασθεῖσι τείχεσιν.* B.I. *Κάδμος μὲν ἔκτισε τὰς Θήβας, Ἀμφίων δὲ καὶ Ζῆθος ἐτείχισαν.* B.C.M.I.

χαλκόδετα ἔμβολα: τὰς σιδηροῖς πετάλοις ἐνδεδυμένας διόλου πύλας λέγει, ἃς μετεώρους οὔσας διὰ μηχανημάτων τινῶν καθιᾶσιν ἔμπροσθεν τῶν πυλῶν τῆς πόλεως, ἃς νῦν καταράκτας φασίν. Gr. Flor. 5. 6. 9. 21. 56. 59. 76. *καὶ τὰ χαλκόδετα ἔμβολα, ἤτοι αἱ στρόφιγγες, ἡρμόσθησαν καὶ ταῦτα τοῖς λιθίνοις ὀργάνοις τοῦ τείχους τοῦ Ἀμφίονος. λέγει δὲ ὄργανα λίθινα τὰ κοιλώματα, εἰς ἃ αἱ στρόφιγγες ἐναρμόζονται. ταῦτα γὰρ ὡς ἀληθῶς ὄργανα τῆς*

1. *ἐκάλυπτε* C.M.T. *καλύπτει* B.I.
ib. *τὰς πύλας* C.T. *τὰς θύρας* A. M. *τὴν θύραν* B.I. "In his ubique *τὴν πύλην* vel *τὰς πύλας* et *τὴν θύραν* discernit: *ἡ κάθετος*, nempe *θύρα*, tegebat, *τὰς πύλας*." VALCK.
2. *ἐπιβουλὴν*] *ἐπιβολὴν* M.
ib. *πυρὸς* om. C.
ib. *προσφερομένου*] *φερομένου* A.
3. *μὲν* om. M.I.
4. *τὸ* om. M.
5. *οὔσας* om. I.
ib. *μεγάλας* habent C.T., om. A. B.M.I.
ib. *τε* om. C.
6. *εἴων* post *ἀνεῳγμένας* C.
7. *καθιέντες*] *ἀντικαθιέντες* T.
8. *ἔμβολον*] *ἔμβολα* C.
ib. *ἄνωθεν ἀπὸ τοῦ*] *ἄνω τοῦ* C. qui mox om. *ἔξωθεν τῶν πυλῶν*.
ib. *ἐκ τοῦ*] *διὰ τὸ* A.C.
10. *ἠσφαλίσθαι χαλκῷ*] Pergit A. *λαϊνέοις ἀμφίονος κ...ἀμφίων δὲ καὶ ζῆθος ἐτείχισαν. ἄρα αἱ πύλαι καλῶς συνηρμο...κλείθροις χρη...ησαι καὶ ὑπακοῦσαι τοῦτο ἔξωθεν, ἢ καὶ αὐτὸ περὶ τὸ οὐδέτερον, ὃ προσεχέστερον ἦν, ἐπήνεγκε τὸ ἥρμοσται ἑνικὸν καὶ τὰ χαλκόδετα ἔμβολα, ἤτοι οἱ στρόφιγγες ἡρμόσθησαν καὶ ταῦτα τοῖς λιθίνοις ὀργάνοις τοῦ τείχους τοῦ ἀμφίονος.—οἱ στρόφιγγες ἐναρμόζοιται. ταῦτα γὰρ ὡς ἀληθῶς ὄργανα τοῦ στρόφιγγος. εἰ γὰρ μὴ ταῦτα εἶεν* etc. ut in Fl. 33. nisi quod in fine post *ὄργανον* addit *ἀντὶ τοῦ ἔργον*.
11. *κλήθροις* B. *κλείθροις* I.
ib. *ἔμβολα* om. I.
13. *Κάδμος μὲν*] *ὁ μὲν γὰρ κάδμος* I.
17. *ἃς νῦν—φασι* om. Gr.

στρόφιγγος· εἰ γὰρ μὴ ταῦτα εἶεν, οὐκ ἄν ποτε ἑλιχθῶσιν ἐκεῖνοι. τινὲς δὲ τὸ ὄργανον ἀντὶ τοῦ ἔργον, ὡς καὶ Σοφοκλῆς "ξουθὰ μελίσσης κηρόπλαστον ὄργανον." Fl. 33.

115. λαϊνέοις Ἀμφίονος ὀργάνοις: τοῖς ὑπὸ τοῦ Ἀμφίονος κατασκευασθεῖσι τείχεσι. Gu. ἀντὶ τοῦ ἔργοις τοῖς μουσικῶς γινομένοις. φασὶ γὰρ ὡς Ἀμφίων ὁ οἰκοδομησάμενος Θήβας, ὅτε διετίθει τὸν τειχισμὸν, οὐ χερσὶν ἐχρῆτο πρὸς τοῦτο, οὐδὲ ἦσαν οἱ συναιρόμενοι αὐτῷ τῆς οἰκοδομίας, ἀλλὰ τῆς αὐτοῦ μουσικῆς ἐποιεῖτο τὸ ἔργον, μέλος ἀνακρουόμενος, κἀντεῦθεν τοὺς λίθους κινῶν, καὶ κατασκευάζων τὰ τείχη. ἐγένετο δὲ τὸ τεῖχος ἑπτάπυλον, ὅσοι καὶ οἱ τῆς λύρας τόνοι. Gu. Leid. I. ὄργανα δὲ λέγει τὰ ἔργα, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον, ὡς ἔχει καὶ τὸ τοῦ Σοφοκλέους "ξουθοῦ μελίσσης κηρόπλαστον ὄργανον." συνάμα δὲ Ἀμφίονι καὶ Ζῆθος κατεσκευάζετο τὸ τεῖχος. Ἑρμῆς δὲ τὴν λύραν πρῶτος εὑρὼν Ἀμφίονι δοῦναι λέγεται. Gu. Leid.

117.—130. θάρρος ἔχε· τὰ ἔνδον γὰρ καὶ τὰ ἐντὸς ἀσφαλῶς καὶ βεβαίως ἔχει ἡ πόλις. βλέπε εἰ βούλει καὶ θέλεις γνῶναι τὸν πρῶτον στρατηγόν. τίς ἐστιν οὗτος ὁ λευκὴν φέρων κόρυθα, ὅστις ἔμπροσθεν προοδοποιεῖ τοῦ στρατοῦ, κρατῶν ἀμφὶ τὸν βραχίονα ἀσπίδα πάγχαλκον. ταξίαρχος, ὦ δέσποινα· τίς καὶ ἐκ ποίου τόπου γεγονώς; εἰπὲ, ὦ γεραιὲ, τίς καλεῖται κατὰ τὸ ὄνομα; οὗτος ὀνομάζεται Μυκηναῖος τὸ γένος Ἱππομέδων βασιλεὺς, οὐχ ὅμοιος ἀνθρωπίνῃ γενεᾷ, ἀλλ' ἀνημέρῳ τινὶ καὶ θηριώδει. I.

118. ἀλλ' εἰσόρα: ὅρα τὸν προχείρως ὁρώμενον ἡμῖν ἔμπροσθεν τῶν ἄλλων. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. τὸν πρῶτον: τὸν ταξίαρχον. Gu.

119. ὁ λευκολόφας: ὁ λαμπρὰν ἔχων περικεφαλαίαν. B.M.I. ὁ

2. ξουθὰ] Corrige ξουθῆς, ut dictum ad scholion superius p. 67, 17.
5. ἀντὶ τοῦ om. Gu.
ib. μουσικῶς Gu. Leid. μουσικοῖς I.
6. ὁ om. I.
ib. οἰκοδομησάμενος] δομησάμενος Gu.
8. ἀλλὰ] ἀλλὰ διὰ Valck.
10. καὶ om. I.
11. δὲ om. Leid.
12. ξουθοῦ] Immo ξουθῆς: vid. ad p. 67, 17.
13. συνάμα] σὺν ἅμα Gu.
14. κατεσκευάζετο] κατεσκεύαζε Gu.
ib. Ἑρμῆς] Quod hic dicitur, Amphioni dedisse lyram Mercurius, tradiderat forsan Antimenidas apud schol. Apoll. Rhod. 1, 741. τὴν λύραν δοθῆναι Ἀμφίονι ὑφ' Ἑρμοῦ, nam ὑπὸ Μουσῶν ipsi datam Pherecydis erat sententia ibidem memorata. VALCK.
27. περικεφαλαίαν] τὴν περικεφαλαίαν M.

λευκὸν τὸ ἐπανάστημα τῆς περικεφαλαίας ἔχων. Gu. ὁ λευκὴν ἔχων τὴν κόρυθα. Gr.

120. πρόπαρ ὃς ἀγεῖται: ὅστις ἔμπροσθεν ἡγεῖται τοῦ στρατοῦ ὁλόχαλκον ἀσπίδα περὶ τὸν βραχίονα βαστάζων. B.M.I.

πρόπαρ: ἀντὶ τῆς πρό. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἔμπροσθεν. Gu. ὃς ἀγεῖται στρατοῦ: ἤγουν ὃς προηγεῖται τοῦ στρατοῦ. Gr. Florr. iidem.

122. κουφίζων: βαστάζων. B. κούφως αἴρων. Gr. Fl. iidem. βαστάζων, ἀναφέρων. Gu.

123. λοχαγός: ταξίαρχος, ἡγεμών. B.I. λοχαγὸς λέγεται ὁ ταξίαρχος, εἷς τῶν ἑπτὰ λοχαγῶν. "ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτὰ πύλαις" Σοφοκλῆς ἐν Ἀντιγόνῃ. A.C.M.

τίς: τὸ μὲν τίς ζητεῖ τὸ ὄνομα, τὸ δὲ πόθεν τὸν τόπον Gr. Cant. τίς ἐστιν ὤφειλεν· τὸ γὰρ τίς καὶ μόνον δῆλον ὅτι τὸ ὄνομα ζητεῖ, ὥστε τὸ ὀνομάζεται ἀδολεσχίαν ἔχει. Gr. Florr. iidem. λόχος ἡ παράταξις καὶ ἡ ἐνέδρα. B. rec.

125. οὗτος Μυκηναῖος: οἱ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασί. Μυκηναῖος οὖν ἐστιν, οἰκεῖ δὲ παρὰ τὴν Λέρνην, τὴν ἐν Μυκήναις πηγήν, ὅ ἐστι τὴν ἐν Ἄργει. A.B.C.I.

οὗτος Μυκηναῖος: οὗτος Ἱππομέδων ἄναξ ὀνομάζεται, Μυκηναῖος μὲν κατὰ τὸ γένος, οἰκεῖ δὲ τὰ Λερναῖα νάματα, ἀντὶ τοῦ περὶ τὰ νάματα τῆς Λέρνης. ἔστι δὲ Λέρνη πηγὴ ἐν τῷ Ἄργει. τὸ ἑξῆς οὕτως· οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος, Ἱππομέδων ἄναξ, ἵνα τὸ αὐδᾶται πρὸς τὸ Ἱππομέδων ῥᾳδίως ἀποδίδοιτο τῇ συνεπείᾳ τοῦ λόγου. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. αὐδᾶται γένος: ὀνομάζεται κατὰ τὴν πατρίδα. Gr. λέγεται καὶ φημίζεται. Gu.

126. Ἱππομέδων: ὃς ἦν Ταλαοῦ υἱός, Ἀδράστου δὲ ἀδελφός. Gu. Ἀρίσταρχος, τοῦ Ἰολάου τοῦ Βίαντος τοῦ Ἀμυθάονος τοῦ

3. στρατοῦ M. στρατοπέδου B.I.
11. γὰρ om. C.
12. Ἀντιγόνῃ] 145.
18. Ἄργος φασί. Μυκηναῖος οὖν C. Ἄργος φασί. φησὶν οὖν ὅτι Μυκηναῖος B.I. ἄργος φησὶν εἶναι μυκηναῖος A.
ib. παρὰ C. περὶ A.C.I.
19. Μυκήναις] μυκήνῃ C.
ib. Ἄργει] πηγήν addunt B.I. Post Ἄργει repetitur hoc scholion (praefixo λερναία) scriptum ut in B.I.
20. οὗτος—Λέρνης] Haec sunt etiam in Leid.
ib. ὀνομάζεται—μὲν om. Mosq.
22. Λέρνης] δίρκης Mosq.
28. ἀρίσταρχος A.M. ἀριστάρχῳ T. Recte Ἀντίμαχος p. 78, 17.
ib. τοῦ (τοῦ om. A.) Ἰολάου—

Κρηθέως τοῦ Ἕλληνος τοῦ Διὸς παῖς, Ἱππομέδοντος Πολύδωρος ἢ Δημοφῶν. A.M.T.

Λερναῖα: ἀπὸ μέρους τὸ Ἄργος· Λέρνη γὰρ κρήνη καὶ πόλις τοῦ Ἄργους. A.B.M.I. Λέρνη πηγὴ Ἄργους. Λερναῖα δὲ ἀπὸ μέρους. Λέρνη γὰρ πηγὴ Ἄργους. Gu.

ἒ ἒ, ὡς γαῦρος: ὁ φοβερὸς, ἐπηρμένος τῷ σώματι καὶ διὰ τοῦ σχήματος ἐμφανίζων τὸ αὔθαδες τῆς ψυχῆς. Ἄλλως. τὸ ἑξῆς, ἒ ἒ, ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν, ἀστερωπὸς ἐν γραφαῖσι, γίγαντι γηγενέτᾳ προσόμοιος, οὐχὶ πρόσφορος ἁμερίῳ γέννᾳ. B.M.I. σοβαρός. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἐπηρμένος. Gu. ἀλαζών. Fl. 33.

128. γηγενέτᾳ: ὅτι ἀπὸ τῆς γῆς οἱ Γίγαντες ἀνεφύησαν, ὡς ὁ μῦθος ἔχει τῶν Ἑλλήνων. Gr. Leid.

129. ἀστερωπός: ἀστεροειδὴς τὸ σῶμα καὶ τὴν ἐσθῆτα γραπτός. τοὺς Γίγαντας πρὸς τὸ φοβερὸν αὐτῶν γράφουσιν. ἴσως οὖν καὶ αὐτὸς κατάστικτον ἔχει τὴν πανοπλίαν. τὸ δὲ ἑξῆς, γραπτῷ γίγαντι παραπλήσιος. διὰ μέσου δὲ τὸ ἀστερωπὸς ἔθηκε, δηλῶσαι θέλων τὸν ὄμμα λαμπρὸν ἔχοντα ὁμοίως ἀστέρι. Ἄλλως. λαμπρὸς ἐν ζωγραφίαις, ἢ ἀστεροειδὴς καὶ ποικίλος ἐν ταῖς γραφαῖς τῆς ἀσπίδος· εἰσὶ γὰρ κατάστικτα τὰ ὅπλα. A.B.M.I.

ἐν γραφαῖσιν: ἐν τῷ τύπῳ καὶ χαρακτῆρι τοῦ προσώπου, ἢ τῶν ὅπλων (κατάστικτα γὰρ καὶ ποικίλα ταῦτ' εἶχεν), ὃ καὶ κρεῖττον.

Ἕλληνος] Leg. τοῦ Ταλαοῦ——τοῦ Κρηθέως, τοῦ Αἰόλου, τοῦ Ἕλληνος Talai filium nominasse quosdam narrat etiam Apollod. 3, 6, 3. cf. Soph. Oed. C. 1383. cf. ad v. 150. MATTH.

3. Λερναῖα] ἄλλως B.

ib. κρήνη καὶ πόλις B.M. κρήνη (omisso καὶ πόλις) A. πόλις καὶ πηγὴ I.

6. ὁ φοβερὸς om. B.I.

ib. Verba ἐπηρμένος—φοβερὸς εἰσιδεῖν habet etiam A. In C. ἐπηρμένος—ἑξῆς ἂν ὡς γαῦρος φησί:—

ib. διὰ τοῦ σχήματος] $δ^{τ}$ σχήματα M. In A. διὰ τὸ σχῆμα ἐμφανεία γὰρ αὔθαδες.

7. τὸ ἑξῆς] οὖν add. M.

ib. ἒ ἒ A.M. ἒ ἒ B., om. I. In A. ἒ ἒ ὡς γαῦρος. τὸ ἑξῆς οὖν ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν:—

8. γραφαῖσι] γραφῆισι B.

9. γέννᾳ B.M. γένει I. Post γέννᾳ vel γένει in B.I. sequitur scholion v. 129. ἀστερωπὸς—κατάστικτα ὅπλα.

13. γραπτός] $γρ^{a}$ M.

14. αὐτῶν] αὐτῷ I.

ib. γράφουσιν om. A.M.

16. τὸν B. τὸ A.M.I.

17. λαμπρὸν] λαμπρῶς A.

ib. Ἄλλως om. A., sed praefigit scholio superiori ἀστεροειδὴς—ὁμοίως ἀστέρι, quod post alterum ponit.

ib. λαμπρὸς—ἢ om. B.I.

19. ἔστι] φέρει A.

20. ἐν τῷ] ἤγουν ἐν τῷ Leid.

οὐδὲ γὰρ ἠδύνατο τὴν τοῦ προσώπου μορφὴν τούτου θεάσασθαι, ἐσκευασμένου τοῖς ὅπλοις. Gu. Leid.

προσφορος ἀμερίῳ γέννᾳ: ὅμοιος. B.M. τῇ ἀνθρωπίνῃ φύσει οὐχ ὅμοιος, ἀλλ' ἀνημέρῳ τινὶ καὶ θηριώδει γηγενεῖ ἐοικώς. A.B. ἀνθρωπίνῃ. M. ὅμοιος, προσφέρων, προσεοικὼς τῇ τῶν ἀνθρώπων γενέσει καὶ φύσει· ἀμέριοι γὰρ ἀπὸ τοῦ πρὸς ἡμέραν ζῆν. Ἄλλως. οὗτος, φησὶν, ἀνήμερος καὶ θηριώδης φαίνεται, οὐκ ἐοικὼς ἀνθρώπῳ, ἀλλ' ἀνημέρῳ τινὶ γηγενεῖ. A.T.

131. ἐξαμείβοντ': διερχόμενον. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. παρερχόμενον. B. Gu.

132. ἄλλος ἄλλος: θαυμαστικὸς ὁ ἀναδιπλασιασμός. B.M.I. ἄλλῳ, φησὶ, τρόπῳ πεποίκιλται οὗτος, καὶ οὐχ ὥσπερ ἐκεῖνος. ἡ δὲ δευτέρα ἐπαγωγὴ τοῦ ἄλλος ὡς ἂν ἐπὶ θαυμάζοντός ἐστι. A.M.T. Fl. 33. ἡ δευτέρα ἐπαγωγὴ τοῦ ἄλλος πλείστου θαυμασμοῦ ἔμφασιν ἔχει. Gu. τρόπος: ὁ τρόπος τῶν ὅπλων ἄλλως ὑπάρχων. M. ἤγουν ἡ κατασκευὴ τῶν ὅπλων, ἡ διακόσμησις. Gu.

133. παῖς μὲν Οἰνέως: Οἰνέως τοῦ Πορθάονος τοῦ Ἀγήνορος τοῦ Ἄρεως καὶ Εὐρυμεδούσης τῆς Αἰτωλοῦ. οἱ δὲ τὸν Ἀγήνορα Πλευρῶνος τοῦ Ἐνδυμίωνος τοῦ Ἀεθλίου, τοῦ Διὸς καὶ Πρωτογενείας τῆς Δευκαλίωνος, μητρὸς δὲ Περιβοίας τῆς Ἱππονόου τοῦ Οἰκλέους τοῦ Ἀστακοῦ τοῦ Ἑρμοῦ καὶ Ἀστάβης τῆς Πηνειοῦ. A.M.T.

134. Ἄρη δ' Αἰτωλόν: ὡς ἔχοντος αὐτοῦ ἐπὶ τῆς ἀσπίδος τὸν περὶ τοῦ συὸς πόλεμον. Καλλίμαχος

1. οὐδὲ] οὐδεὶς Leid.
ib. μορφὴν τ.] τ. μορφὴν Leid.
5. προσφέρων om. A.
6. γενέσει καὶ om. A.
7. φαίνεται om. A.
11. θαυμαστικὸς B.M. θαυμαστὸς I.
12. καὶ om. M.
13. ἄλλος] ἄλλος ἄλλος M.
ib. ὡς ἂν om. Flor.
ib. ἐπὶ θαυμάζοντός ἐστι Matth. pro ἐπιθαυμάζοντός γε.
19.—22. Alteram Agenoris genealogiam sequitur Apollod. 1. 7, 6. 7. ex quo inter Πλευρῶνος et τοῦ Ἐνδυμίωνος excidisse videtur τοῦ Αἰτωλοῦ. Priorem qui praeter hujus scholii auctorem secutus sit non reperio. MATTH.
ib. Ἄρεως] ἄρεος A.
20. δὲ Περιβοίας om. A.
21. Οἰκλέους scripsi pro Ἰοκλέους, de quo vitio dixi ad Sophoclis fragm. 415 b. in ed. Oxon. tertia p. 95. Conf. etiam schol. v. 173.
ib. ἑρμοῦ A. ἐρμοῦ M. ἕρμου T.
ib. Ἀστάβης] Nomen suspectum. ἀτάβης A.
23. ἔχοντος] ἔχοντα M. ὡς ἔχοντος —Αἰτωλὸν Ἄρηα om. C.
ib. ἐπὶ om. I.

εἶμι τέρας Καλυδῶνος, ἄγω δ' Αἰτωλὸν Ἄρηα.

τινὲς δὲ Ἄρη τὴν τῶν ὅπλων σκευήν. θέλει δὲ εἰπεῖν ὅτι ἐγχωρίως καθώπλισται ὡς οἱ Αἰτωλοί· τὸ δὲ στέρνον ἀντὶ τοῦ ὅλου σώματος εἶπεν. οἱ δὲ τὴν τῶν πολεμίων ἐπιθυμίαν καὶ τὴν ἐπιστήμην, ὡς τῶν Αἰτωλῶν ἄριστα πολεμούντων. A.B.C.M.I.

τὰ δὲ ὅπλα Αἰτωλά, ἐπεὶ τῆς Ἀσιάτιδος ἔχει. M. τὸ ὄνομα ἀντὶ τοῦ σκευὴν ὅπλων Αἰτωλικήν. Gr. Flor. 5. 6. 9. 21. 56. 59. 76. ἐν στέρνοις: ἀντὶ τοῦ ἐν ὅλῳ τῷ σώματι. Iidem.

οὗτος ὁ τᾶς Πολυνείκεος: οὗτός ἐστιν, ὦ γέρον, ὃς ὁμόγαμος καὶ ἀνὴρ τυγχάνει τῆς ἀδελφῆς τῆς νύμφης τοῦ Πολυνείκους, ἀντὶ τοῦ ὃς ἔχει τὴν ἀδελφὴν τῆς γυναικὸς Πολυνείκους, ὅς ἐστι σύγγαμβρος Πολυνείκους. Ἀργεία δὲ ἐλέγετο ἡ γυνὴ Πολυνείκους, ἀφ' ἧς Θέρσανδρος, Δηϊπύλη δὲ ἡ τοῦ Τυδέως, ἀφ' ἧς Διομήδης. M.T.

135. οὗτος ὁ τᾶς Πολυνείκεος: οὗτός ἐστιν, ὦ γέρον, ὁ τῆς αὐταδέλφης τῆς γυναικὸς τοῦ Πολυνείκους—ἀνὴρ ὤφειλεν· ὁ δὲ λέγει σύγγαμβρος, ἀποδιδοὺς τὸν λόγον πρὸς τὸν Πολυνείκην· ὁ γὰρ τῆς αὐταδέλφης τῆς γυναικὸς αὐτοῦ ἀνὴρ δηλονότι σύγγαμβρος αὐτοῦ ἐστιν. Gr. Mosq.

οὗτος ὁ τᾶς Πολυνείκεος: Ἀργεία μὲν ἐλέγετο ἡ γυνὴ τοῦ Πολυνείκους, ἀφ' ἧς Θέρσανδρος, Δηϊπύλη δὲ ἡ τοῦ Τυδέως, ἀφ' ἧς Διομήδης. ἔχων δὲ Ἄδραστος τὸν δοθέντα αὐτῷ χρησμὸν, ὡς λέοντα

1. εἶμι Bentl. ad Callim. fragm. p. 522. εἰμὶ A.B.I. εἰ μὴ M. "Potuit versus in *Hecale* sedem invenire; nobili namque venationi Theseus interfuit: *Hujus opem Calydon, quamvis Meleagron haberet, Sollicita supplex petiit prece.*" VALCK.

ib. Ἄρηα] ἄρην A. et B., sed hic sic ut ν postmodo ab scriba additum videatur. ἄρνα M.

2. δὲ Ἄρη—σκευὴν] μὲν ἄρην—κατασκευὴν C.

ib. ἐγχωρίως καθώπλισται] ἐγχώριος καθόπλισται M.

3. ὡς om. C.M.

4. τῶν πολεμίων] Grammaticus scripserat, opinor, τῶν πολεμικῶν. apud scriptorem antiquum τὰ πολέμια neminem offenderent qui quidem legerit ad Lucianum notata vol. 1. p. 380. VALCK.

ib. τὴν ἐπιστήμην] τὴν om. A.C.

6. τὸ ὄνομα om. Florentini.

8. ἀντὶ τοῦ om. Florentini.

10. τοῦ πολυνείκους A.M. τῆς πολυνείκους T.

ib. ἀντὶ τοῦ ὃς A.M. ἀντὶ ἧς T.

11. ὃ] ὃ M. ὅς ἐστι—Πολυνείκους om. A.

12. ἡ γυνὴ A.M. ἡ om. T.

15. ὤφειλεν—αὐτοῦ ἐστιν] Haec pars scholii est etiam in Leid. sic scripta, ὤφειλεν ὧδε λέγειν σύγγαμβρος etc.

20. Θέρσανδρος] θέσανδρος Gu.

καὶ κάπρον ταῖς αὐτοῦ θυγατράσι συζεύξειν, ἐπὶ μιᾷ τῶν ἡμερῶν ἐξελθὼν εὗρε Τυδέα *καὶ* Πολυνείκην *περὶ κοίτης μαχομένους πρὸ τῶν πυλῶν, καὶ νομίσας τούτους εἶναι τοὺς παρὰ τοῦ χρησμοῦ ἢ ἀπὸ τῶν ἐνδυμάτων, ἢ ἀπὸ τοῦ μάχεσθαι, ποιεῖται γαμβρούς.* Gu.

136. *αὐτοκασιγνήτας: τῆς αὐτῆς ἀδελφῆς, τουτέστιν ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ μητρὸς τῆς αὐτῆς. ἀντὶ τοῦ ὁ ἀνήρ.* A.B.M.T.

137. *ὁμόγαμος κυρεῖ: ἀντὶ τοῦ σύμβιος, παρὰ τὸ ὁμοῦ καὶ ἐπίσης ἄνδρα τε καὶ γυναῖκα τῆς συνουσίας μετέχειν. ἐγάμει δὲ* Δηϊπύλην *ὁ* Τυδεύς, *ὁ δὲ* Πολυνείκης *'Αργείαν.* A.B.C.M.I. *ὁ* Ἄδραστος *εἶχε θυγατέρας δύο· καὶ τὴν μὲν μίαν, τὴν 'Αργείαν, εἶχεν ὁ* Πολυνείκης, *τὴν δ' ἑτέραν ὁ* Τυδεύς, *ἤγουν τὴν* Δηϊπύλην. C.

138. *ὡς ἀλλόχρως: ἴσως ὅτι ἐξηλλαγμένοι οἱ Αἰτωλοὶ περὶ τὰς ὁπλίσεις, καταστίκτους αὐτὰς ἔχοντες, καθάπερ καὶ τὴν ὑπόδεσιν, ὥστε τὸν δεξιὸν μὲν ὑποδεδέσθαι πόδα, γυμνὸν δὲ ἔχειν τὸν ἀρι-*

5. *αὐτῆς ἀδελφῆς*] *αὐταδέλφης* A. B. Sic etiam M. infra post *Τυδεὺς δὲ 'Αργείαν* repetens, *ὁ τῆς αὐταδέλφης τοῦτ' ἐστι ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ μητρὸς τῆς αὐτῆς νύμφης.* In A. in fine paginae (fol. 71 b.) scholion partim evanidum est,..... | .... *ἡ δὲ τυδέως δηιπύλ...ὅτι οὗτος ἐστὶν ὁ ὁμευνέτης τῆς δηιπύλης τῆς αὐταδέλφης τῆς νύμφης αὐτοῦ....*

6. *ἀντὶ τοῦ* (*τοῦ* om. B.T.) *ὁ* (*ὁ* om. B.)] Haec ad voc. *ὁμόγαμος* spectant. In A. est *πατρὸς καὶ τῆς μιᾶς μητρὸς οὗτός ἐστιν ἀνήρ* :—

7. *ὁμόγαμος κυρεῖ ἀντὶ τοῦ σύμβιος* M. *ὁμόγαμος δὲ ἀντὶ τοῦ σύμβιος* B. *ὁμόγαμον δὲ ἀντὶ τοῦ σύμβιον* I. In A. *ὁμόγαμος κυρῇ ἕρμαιον παρὰ τὸ* etc. In C. *σύμβιος παρὰ τὸ ἐπίσης* etc.

ib. *καὶ ἐπίσης*] *καὶ τὸ ἐπίσης* A.M.

8. *ἄνδρα τε καὶ*] *τὸν ἄνδρα καὶ τὴν* A.

9. *Δηϊπύλην—'Αργείαν* C. *δηϊπύλην, τυδεὺς δὲ ἀργείαν* B.M.I. *δηϊπύλην, ὁ δὲ πολυνείκης ἀργείαν* A.

12. *ὡς ἀλλόχρως*] In M. *σακεσφόροι*, in B. *σακεσφόροι γὰρ πάντες.*

ib. *ὅτι* om. M.

13. *τὴν ὑπόδεσιν* A.B.M. *τοῖς ὑποδήμασιν* I.

14. *ὥστε τὸν* om. B.I. *ὥστε καὶ τὸν* M.T. *ὥστε ἴσως* A. omisso *τόν*.

ib. *τὸν δεξιὸν—*] Tametsi nihil horum codex praebet Aug. snnt tamen ista non vnlgaris bonitatis : qnod enim scribit schol. Aetolos sic ad praelia procedere solitos ut, tecto pede dextro, sinistrum nudum habnerint, nititur Euripidis e Meleagro verbis, describentis quo quisque habitu convenerint ad aprum Calydonium capiendum : venisse dicuntur Thestii filii,

τὸ λαιὸν ἴχνος ἀτάρβυλοι ποδός,
τὸν δ' ἐν πεδίλοις, ὡς ἐλαφρίζον γόνυ
ἔχοιεν, ὃς δὴ πᾶσιν Αἰτωλοῖς νόμος.

Virgilius de Hernicis origine Pelasgis Aen. 7, 689. —— *vestigia nuda sinistri Instituere pedis; crudus tegit altera pero.* Haec ex Euripide transtulisse Virgilium nos docet Macrobius Saturn 5, 18. cui debemus Euripidis Meleagri fragmentum, vitiis non vacuum, cujus

στερόν. A.B.M.T.I. *Ἄλλως. καλῶς εἶπεν αὐτὸν μιξοβάρβαρον· οἱ γὰρ Αἰτωλοὶ πάντες ὅπλοις ὁπλίζονται ὡς Ἕλληνες, ἀκοντίζουσι δὲ ὡς βάρβαροι.* A.B.C.M.T.I. *ἴσως γὰρ τότε ἐν τοῖς Θηβαϊκοῖς χρόνοις οἱ μὲν Ἕλληνες ὅπλοις ἐκέχρηντο, οἱ δὲ βάρβαροι ἀκοντίζειν ἠπίσταντο, ὕστερον δὲ καὶ τὸ ἀκοντίζειν μεμαθήκασιν Ἕλληνες.* A.B.M.T.I.

ἀλλόχρως: ἀλλοιόσχημος τοῖς ὅπλοις. B.M. *τινὲς δὲ ἀλλόχρωτά φασιν εἰρῆσθαι αὐτὸν διὰ τὸ λόγχην ἔχειν καὶ μὴ δόρυ.* Fl. 33.

139. *σακεσφόροι: ἀσπιδηφόροι.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

140. *λόγχαις: εὔστοχοί εἰσι πρὸς τὸ ἀκοντίζειν τὰς λόγχας.* M.

141. *αἰσθάνῃ: γινώσκεις.* Gr. Fl. iidem. *καταλαμβάνεις.* Gu. *σαφῶς: ἀληθῶς, ἀκριβῶς.* Gu.

μιξοβάρβαρος: ἐν τέλει γὰρ οἰκοῦντες τῆς Εὐρώπης οἱ Αἰτωλοὶ Ἑλληνικῶν τε καὶ βαρβαρικῶν ἅπτονται φρονημάτων· ἢ ἐπεὶ δοκοῦσι βαρβαρικὸν φρόνημα ἔχειν, διὰ τὸν κατ' ἀλλήλων πόλεμον. καὶ Ὅμηρος "*Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι ἀμφὶ πόλιν Καλυδῶνα.*" A.B.M.I.

μιξοβάρβαρος: μεμιγμένος δοκῶν τὸ γένος ἐξ Ἕλληνος καὶ βαρ-

ista partem faciunt; praeterea tragicum eo reprehendentis Aristotelis verba, quod Aetoli contra non laevum, sed dextrum pedem nudum habere debuerint: *δεῖ γάρ, οἶμαι,* (verba sunt e Philosophi lib. 2. de Poëtica deperdito) *τὸν ἡγούμενον ἔχειν ἐλαφρόν, ἀλλ' οὐ τὸν ἐμμένοντα.* Plataeënses, sed ut firmins vestigiis insisterent iter noctu facturi, procedebant *τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι, ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν,* ut scribit Thucydides 3, 22. VALCK.

1. *Ἄλλως* om. C.I. In A.B. hoc scholion legitur post *μενεχάρμαι* (schol. ad v. 141.)

ib. *καλῶς] καλῶς γὰρ* C. *καλῶς δὲ* I.

ib. *εἶπεν αὐτὸν] αὐτὸν φησὶ* C.

ib. *οἱ γὰρ] ὅτι οἱ* I.

2. *ὅπλοις* (*καὶ ὅπλοις* A.C.) addidi ex A.M.

ib. *ὁπλίζονται] ὁπλίζουσιν* A.

ib. *ὡς* (*οἱ* add. C.) *Ἕλληνες* om. I.

3. *ἴσως γὰρ] ἴσως καὶ* A.

4. *χρόνοις] χοροῖς* T.

ib. *ἐκέχρηντο] ἐχρήσαντο* T.I.

5. *μ. Ἕλληνες] Ἕλληνες μ.* I.

7. *ἀλλοιόσχημος] ἀλλοιοχήμ̄* (i. e. *ἀλλοιοσχήμων*) B.

15. *οἰκοῦντες* post *τῆς Εὐρώπης* B.I.

ib. *οἱ* om. M.I.

17. *τὸν—πόλεμον* A.M. *τοὺς—πολέμους* B.I.

ib. *καὶ* (*ὡς καὶ* A.) *Ὅμηρος]* Il. 9, 525.

18. *μενεχάρμαι* om. A. in lacuna.

ib. *ἀμφὶ π. K.* addidi ex A.

20. *Ἕλληνος—ὕστερον] ἐξ ἑλλήνων*

βάρου. ὡς μὲν γὰρ βάρβαρος ἀκόντιον ἔφερε καὶ ἀσπίδα, ὡς δὲ Ἕλλην δόρυ καὶ σπάθην καὶ θώρακα καὶ κόρυθα· ὕστερον δὲ καὶ Ἕλληνες ἀκοντίοις ἐχρήσαντο. Gu. Leid. *μεμιγμένῃ ὁπλίσει χρώμενος Ἑλληνικῇ καὶ βαρβαρικῇ.* Gu. *κατὰ τὴν σκευὴν τῶν ὅπλων μεμιγμένος Ἕλλην καὶ βάρβαρος.* Gr.

142. *σημεῖ—ἀσπίδων: παρὰ τὸ Ὁμηρικὸν*

ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ.

ὁ δὲ νοῦς, ἃ τότε ἰδὼν σημεῖα ἐπιγινώσκω νῦν ἐξ αὐτῶν τοὺς ὡπλισμένους. A.B.M. *ἐγνώρισα: ἀντὶ τοῦ γνωρίζω.* Gr.

143. *σπονδάς: εἰρήνην.* B.M. *τὰς ἐπὶ τῇ διαλλαγῇ ἀγγελίας.* Gr. Cant.

145. *ἀμφὶ μνῆμα τοῦ Ζήθου: ἐπίσημος γὰρ αὐτοῦ ὁ τάφος ὡς κτίστου τῆς πόλεως.* A.M. *Ἄλλως. κοινὸς μὲν ἀμφοῖν ὁ τάφος Ζήθου καὶ Ἀμφίονος, συλληπτικῶς δὲ εἶπε. τινὲς δέ φασι τὸν Ἀμφίονα... ταῖς Προιτίσι.* A.B.M.T.I. *περᾷ: διαβαίνει.* M. *διέρχεται.* Gr.

ἀμφὶ μνῆμα τοῦ Ζήθου: οὗτος ὁ Ζῆθος, ὡς ἔφαμεν, τειχιστὴς ὢν τῶν Θηβῶν, μεγάλου καὶ ἐπισήμου τάφου ἠξιώθη. Gu. I. *περὶ τὸ μνῆμα τὸ τοῦ Ζήθου καὶ τοῦ Ἀμφίονος· εἷς γὰρ ἦν ἀμφοτέρων τάφος.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

146. *καταβόστρυχος: πυκνοὺς καθειμένος βοστρύχους.* Gr. Cant. *δασύθριξ.* Fl. 33. *δασύτριχος.* Gu.

καὶ βαρβάρων. ὡς μὲν γὰρ β. ἀκόντιον (*ἀκόντια* Leid.) *ἔφερεν, ὡς ἕλλην ἀσπίδα, ὕστερον* Gu.

6. *παρὰ τὸ Ὁμηρικὸν*] *παρὰ ὁμήρῳ* A. Est Il. 5, 182.

8. *ὁ δὲ* (*δὲ* om. A.) *νοῦς* om. B., in quo haec adscripta sunt versui 144.

13. *Ἄλλως* addidi ex M.

ib. *κοινὸς*] *κοινῶς* M.

ib. *ἀμφοῖν* post *ὁ τάφος* A.

14. *τινὲς δὲ—Προιτίσι* om. A.

ib. Post *Ἀμφίονα* asteriscum cum aliquot literarum lacuna posuit I., nullum defectus indicium est in M. T. In B. post *ἀμφίονα* aliquot literae obliteratae. Tum sequitur *ταῖς προιτίσι*, quibus verbis carent M.T.I. In M. post *ἀμφίονα* sequitur *καταβόστρυχος: τοῖς βοστρύχοις* etc., in B. et I. scholion ad *γοργός τ' εἰσιδεῖν*, in T. *ταύτην μελανίων* etc. (ad v. 150.) "*χωρὶς τεθάφθαι*, vel simile quid deesse Barnesius suspicabatur: *Ζήθῳ μνῆμα καὶ Ἀμφίονι ἐν κοινῷ γῆς χώματι* memorat etiam Pausanias 9, 17, 3. Antiquus forte grammaticus hic Aeschyli meminerat: quod enim Euripides Zethi vocat monumentum, Amphionis dicitur Aeschylo Sept. 528. *τύμβον κατ' αὐτὸν Διογενοῦς Ἀμφίονος.* de eodem uterque loquitur Parthenopaeo." VALCK.

16. *ὡς ἔφαμεν*] Leid. *ὡς ἔφη*, vetus nempe scholiasta, cujus adnotata recentior excerpebat e libris antiquis: vid. schol. ad v. 115 in fine. VALCK. *ἔφη* ex *ἔφημεν* corruptum.

17. *μ.—ἠξιώθη*] *καὶ μ.—ἠξίωται* Gu.

καταβόστρυχος: τοῖς βοστρύχοις, τοῖς πλοκάμοις κατάκομος, καὶ τοῖς ὄμμασι καταπληκτικός· τὸ γὰρ κατὰ πλῆθους ἐμφαντικόν. A.M.T. πυκνοὺς καθειμένος βοστρύχους. Gr. συναπτέον τὸ ὄμμασιν γοργὸς εἰσιδεῖν. B.M. νεανίας: νεανίας ὡς τὸ ἰδεῖν. M. καὶ ἰδεῖν τοῖς ὄμμασι γοργὸς νεανίας. Gr.

146. *γοργός τ' εἰσιδεῖν*: γοργονώδης, φοβερὸς, καταπληκτικός. A.B.M. Ἄλλως. γοργονῶδες ἀποβλέπων τοῖς ὄμμασιν, ἅμα καὶ τῶν βοστρύχων παρεχόντων τοῖς ὀφθαλμοῖς τὸ γοργονῶδες. A.B.M. T.I. καταπληκτικὸς, ἀπὸ μεταφορᾶς τῆς Γοργοῦς. Gu.

148. *λοχαγός*: στρατηγός. ὡς: ἀντὶ τοῦ λίαν. ὑστέρῳ: ἀντὶ τοῦ ὄπισθεν, κατόπιν. M. ἀκολούθῳ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

149. *ἀμφέπει*: ἀντὶ τοῦ ἐπακολουθεῖ αὐτῷ ὄχλος πολὺς ὀπισθόπους. τινὲς δὲ ἐπὶ κατάρας αὐτὸ δέχονται, οἷον ἐσχάτῳ ποδὶ καὶ μηκέτι ὑποστρέφοντι, ἵν' ᾖ, ὡς ὄχλος νιν ἀμφέπει ἐπὶ ἀπωλείᾳ. A. B.M.I. πανταχόθεν ὡπλισμένος ἐπακολουθεῖ. M. ὡς πάνοπλος ὄχλος, ἤγουν λαὸς, περιέπει αὐτὸν ἀκολούθῳ ποδί. Gr.

150. *Παρθενοπαῖος*: ὡς μὲν Ἀντίμαχός φησι Ταλαοῦ τοῦ Βίαντος τοῦ Ἀμυθάονος τοῦ Κρηθέως τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διὸς, μητρὸς δὲ Λυσιμάχης τῆς Κερκυόνος τοῦ Ποσειδῶνος· ὡς δὲ Ἑλλάνικος, Μειλανίωνος τοῦ Ἀμφιδάμαντος τοῦ Ἐπόχου τοῦ Ἀργήπου τοῦ Κηφέως τοῦ Ποσειδῶνος, μητρὸς δὲ Ἀταλάντης τῆς Ἰάσου. A. M.T. *Ἀταλάντης γόνος*: ταύτην Μελανίων ἔγημε τῇ τέχνῃ τῶν

6. φοβερὸς, κ. A.M. κ. φοβερός B.
7. Ἄλλως addidi ex A.M.
ib. γοργονῶδες] γοργῶδες I.
ib. ἅμα καὶ] καὶ ἅμα καὶ I. In B. literae inter ὄμ et μα καὶ obliteratae, sed ut satis spatii sit literis μασι καὶ ἅ.
8. παρεχόντων M.T. παρειλίττων B I.
ib. τὸ γοργονῶδες] τὸ δεινόν A.
10. ἀντὶ τοῦ om. B.I.
17. Ἀντίμαχος] ἀμφίμαχος M. Vid. ad p. 71, 28.
ib. φησι Matth. ἰάσονος φησὶ M.T. Verba ὡς—Ἀμυθάονος obliterata in A.
ib. Ταλαοῦ] τοῦ λαοῦ M. In ἰολάου corruptum in scholio v. 126. "Parthenopaeum Talai filium commemorat Apollod. 1, 9, 13. Pausan. 2, 20, 5. Conf. schol. Soph. Oed. Col. 1385. Quae sequuntur ex Hellanico etiam ab aliorum narrationibus abhorrent." MATTH.
20. Μειλανίωνος A. μειλινίωνος M. μειλίωνος T. Correctum ex Apollodoro 3, 9, 2, 9. In scholio proximo Μελανίων (μειλανίων A.) Epici (velut Musaeus 154. Nonn. Dion. 30, 318.) Μειλανίωνα dixerunt, in oratione prosa Μελανίων praeferendum videtur, quo etiam Aristoph. Lys. 785. usus est. Utriusque formae exempla v. in Thesauro vol. 6. p. 719.
ib. Ἀργήπου] Nomen suspectum.
21. τῆς addidit Matth.

μήλων. A.M.T. *Ἄλλως. αὕτη Ἰάσου μὲν θυγάτηρ, Μελανίωνος δὲ γυνὴ, Ἀρκὰς τῷ γένει. ἔστι δὲ καὶ ἄλλη Σχοινέως θυγάτηρ, Ἱππομένους γυνὴ, Βοιωτική.* A.B.M.T.I. *ἥτις ἦν Μαινάλου θυγάτηρ.* Gu.

151. *ἀλλά νιν: ἀλλ' αὐτὸν ἀπολέσειεν ἡ Ἄρτεμις, ἡ μετὰ τῆς μητρὸς αὐτοῦ κυνηγετοῦσα. εἰκότως δὲ τὴν Ἄρτεμιν κατ' αὐτοῦ ἐπικαλεῖται, ὡς θυμουμένην κατὰ τῆς Ἀταλάντης, ἐπεὶ πρότερον τὴν παρθενίαν ἠγάπα, ὕστερον δὲ τῷ Μειλανίωνι γαμηθεῖσα κατεφρόνησε τῆς Ἀρτέμιδος. αὕτη δ' ἐστὶν ἡ καὶ Μελεάγρῳ συγκυνηγετήσασα.* A.B.M.

ἀλλά νιν: εἰκότως Ἄρτεμιν Ἀντιγόνη κατὰ τοῦ Παρθενοπαίου ἐπιβοᾶται, ὡς θυμουμένην κατὰ τῆς τούτου μητρὸς Ἀταλάντης· ἱέρεια γὰρ οὖσα πρότερον τῆς θεοῦ καὶ παρθενίᾳ ζῆν αἱρουμένη ἔφθαρται Μειλανίωνι, καὶ ὀργῆς ὑπὸ τῆς Ἀρτέμιδος πλείστης πεπειραμένη ἀπηξίωται τῆς πρὸς αὐτὴν ὑπηρεσίας. Gu. Leid. *ἀλλ' εἴθε ἡ Ἄρτεμις ἡ κατὰ τὰ ὄρη μετὰ τῆς μητρὸς αὐτοῦ διατρίβουσα ὀλέσειεν αὐτὸν τόξοις δαμάσασα.* Gr. Cant. *ἁ κατ' ὄρη: ἡ κατὰ τὰ ὄρη, ὅ ἐστιν ἡ Ἄρτεμις.* M.

152. *ἱεμένα: ὁρμωμένη.* M. *διατρίβουσα.* Gr. *ὁρμωμένη, πορευομένη.* Gu. Mosq.

154. *σὺν δίκῃ δ' ἥκουσι γῆν: μετὰ τοῦ δικαίου δὲ ἦλθον εἰς τὴν γῆν τήνδε.* Gr.

1. *Ἄλλως* addidi ex A.M.

ib. *αὕτη*] *αὕτη ἐστὶν ἡ* B.I. *αὕτη ἐστὶν* A.

ib. *Ἰάσου*] Hujus Atalantae pater erat *Iasus*, ab aliis *Iasius* et *Iasion* dictus. Qui hic illic nomen illud attrectarunt homines eruditi non animadverterant, quod docuit Hemsterh. in schol. ad Plutum Aristoph. p. 207. triplicem istam in hujusmodi nominibus obtinere formam: nonnulla protulit Gavellus in Miscell. Nov. vol. 4. p. 226. conf. Kuehnius in Diog. L. 3, 3. Partem veri vidit Eustathius ad Il. B. p. 218, 13. *Ταλαὸς,—ἐξ οὗ Ταλαΐδης· καὶ Ταλαΐων, ὅθεν ὁ Ταλαϊονίδης.* hujus observati non recordabatur ad Il. A, p. 10, 46. Il. Δ, p. 382, 50. Il. N, p. 905, 5. vid. Etym. M. in v. *Ἀνθεμίδης.* VALCK.

ib. *θυγάτηρ*] *παῖς* I.

ib. *Μελανίωνος* A.B.M. *μελανιῶνος* T. *Μειλανίωνος* Barnes.

ib. *δὲ* om. M.T.

2. *Ἀρκὰς τῷ γένει* om. I.

ib. *καὶ* om. M.T.

3. *Βοιωτική*] *βοιωτιακή* T. *γυνὴ Βοιωτική* hic om. A., sed habet infra ubi hoc scholion repetitur post v. 155.

6. *αὐτοῦ*] *αὐτῆς* A.

8. *Μειλανίωνι*] *μειλανείωνι* M.

ib. *γαμηθεῖσα*] *μιγεῖσα* A.

9. *ἡ καὶ Μελεάγρῳ συγκυνηγετήσασα*] *ἡ συγκυνηγήσασα μελεάγρῳ* M.

155. ὃ καὶ δέδοικα: διὸ καὶ εὐλαβοῦμαι μὴ τὸ δίκαιον σκοπήσαντες οἱ θεοὶ ἀπολέσωσιν ἡμᾶς τοὺς μὴ θεὸν φοβουμένους. A.B.M. T.I. ὅ: ᾇ, διό. Gr.

μὴ σκοπῶσ': ἀντὶ τοῦ ἵνα μὴ σκοπήσωσι, τουτέστιν ἵνα μὴ προνοήσωνται οἱ θεοὶ τοῦ δικαίου. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

156.—162. ποῦ ὑπάρχει ὃς ἐγένετο ἐμοὶ ἐκ μιᾶς μητρὸς ἐν πολυπόνῳ καὶ πολυωδύνῳ μοίρᾳ καὶ τύχῃ. ὦ φίλτατε γέρον, εἰπὲ ποῦ ἐστιν ὁ Πολυνείκης. I. ἐκεῖνος πλησίον τοῦ τάφου τῶν ἑπτὰ παρθένων τῆς Νιόβης παρίσταται τῷ Ἀδράστῳ. ὁρᾷς; ὁρῶ κατά τινα τρόπον χαρακτῆρα τοῦ προσώπου ἐκείνου καὶ στέρνα ἐξωμοιωμένα τοῖς στέρνοις ἐκείνου. Gr. Cant.

156. ποῦ δ' ὅς: παρὰ τὸ Ὁμηρικὸν

δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν.

δὶς δὲ παρέλαβε τὸ ποῦ, τὴν σπουδὴν τῆς κόρης παριστῶν. πολυπόνῳ δὲ μοίρᾳ, ἤτοι κακομοιρίᾳ· τῷ γὰρ ἐπιθέτῳ διέστειλε τὸ τῆς μοίρας ὄνομα ὂν τῶν μέσων. A.B.M.I.

ποῦ δ' ὅς: ποῦ δέ ἐστιν ὃς ἐκ τῆς αὐτῆς ἐμοὶ μητρὸς ἐγένετο, ἤγουν ἐκ τῆς μητρὸς ἥτις καὶ ἐμὲ ἔτεκεν. Gr. τὸ διπλοῦν που τὴν προθυμίαν τῆς κόρης παριστᾷ, ἣν εἶχεν ἰδεῖν τὸν ἀδελφὸν Πολυνείκη. Gu.

158. Πολυνείκης: Πολυνείκης ὁ Οἰδίποδος τοῦ Λαΐου τοῦ Λαβδάκου τοῦ Πολυδώρου τοῦ Κάδμου τοῦ Ἀγήνορος τοῦ Ποσειδῶνος καὶ Λιβύης τῆς Ἐπάφου καὶ Διὸς καὶ Ἰοῦς τῆς Ἰνάχου. M.

159. ἑπτὰ παρθένων: καὶ Σοφοκλῆς ἐν Νιόβῃ ἑπτά φησιν αὐτὰς

1. ὃ καὶ δέδοικα] Lemma om. B. M.I. In A. μὴ σκοπῶσ' ὀρθῶς θεοί.

ib. διὸ καὶ] καὶ om. A.M. Verba καὶ εὐλαβοῦμαι—ἀπολέσωσιν ἡμᾶς sunt etiam in Gu. In C. μὴ τὸ δ. σ. ἡμᾶς ἀπολέσωσιν οἱ θεοί C.

ib. διὸ καὶ εὐλαβοῦμαι] διὸ εὐλαβοῦμαι καὶ δέδοικα M.

ib. τὸ δίκαιον] τοῦτο δίκαιον I.

2. τοὺς μὴ θ. φ. om A.B.I.

12. Ὁμηρικόν om. M. Est Il. 3, 236.

13. δοιὼ] δύω I.

ib. κοσμήτορε λαῶν om. M.

14. σπουδὴν] ἐμφαίνων M., omisso, ut opinor, παριστῶν.

ib. πολυπόνῳ δὲ μοίρᾳ ἤτοι κακομοιρίᾳ] σὺν δυστυχίᾳ πολλῇ. ἄλλως. κακομοιρίᾳ M. Postrema haec κακομοιρίᾳ—μέσων sunt etiam in Fl. 33. et Gu.

16. ὄνομα ὂν τῶν μέσων M. Fl. 33. Gu. ὂν τῶν μέσων B. ὂν τὸν μέσο (sic) I.

20. Λαβδάκου] λαμβδάκου M.

22. Ἰνάχου] His in M. adjuncta est Amphiarai genealogia, quam v. ad v. 173. Polynicis genealogia repetitur ab schol. ad v. 247.

εἶναι καὶ τοὺς ἄρρενας. B.M. Ἄλλως. ὁ Ἀριστόδημος οὐδαμοῦ φησιν ἐν ταῖς Θήβαις τῶν Νιοβιδῶν εἶναι τάφον, ὅπερ ἐστὶν ἀληθές. ὡς αὐτοσχεδιάζειν οὖν ἔοικεν Εὐριπίδης. περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτός φησιν Εὐριπίδης ἐν Κρεσφόντῃ

καὶ δὶς ἕπτ' αὐτῆς τέκνα
Νιόβης θανόντα Λοξίου τοξεύμασιν.

ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβῃ καὶ Ἀριστοφάνης δὲ ἐν δράματι Νιόβης ὁμοίως ἑπτὰ αὐτὰς λέγουσιν, εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας. Τιμαγόρας δὲ ἐν τοῖς Θηβαϊκοῖς φησιν ὡς κακῶς πάσχοντες ὑπὸ τῶν περὶ Ἀμφίονα οἱ σπαρτοὶ ἀνεῖλον αὐτοὺς λοχήσαντες, ἀπιόντας εἰς Ἐλευθερὰς ἐπὶ πατρικὴν θυσίαν, τὴν δὲ Νιόβην εἴασαν ζῆν διὰ Πέλοπα. ἄλλοι δὲ ἄλλως ἱστοροῦσι περὶ αὐτῆς. ὁ μὲν γὰρ Φερεκύδης φησὶν ἔχειν αὐτὴν παῖδας ἓξ, Ἀλαλκομενέα, Φηρέα, Εὔδωρον,

1. ἄρρενας B. ἄρσενας M.

ib. Ἄλλως addidi ex M. qui ἄλλως ἀντίγονος ἀριστόδημος etc. De Aristodemo v. ad v. 1113.

2. φησιν hoc loco M., φησὶ post Θήβαις ceteri.

3. Εὐριπίδης] ὁ εὐριπίδης A.B.

4. φησὶν hoc loco M., post ἐν K. ceteri.

ib. Κρεσφόντῃ] κρεοφόντῃ B. κρεοφάντῃ T. κρεσφῶντι Fl. 33. κλεοφόντῃ I. In A. a m. rec. infra σοφοκλῆς ἐν νιόβῃ ἑπτὰ ἄρρενας καὶ ἑπτὰ θηλείας παῖδας παρθένους τὴν νιόβης εἶναι καὶ εὐριπίδης ἐν κρεσφόντι. θανεῖν δὲ αὐτοὺς ἐν λοξίου τοξεύμασιν, τὴν δὲ νιόβην λίθον ὁρᾶσθαι δακρύουσαν.

5. ἕπτ'] ἑπτὰ A.B. ζ̄ M. "Hunc locum non legerat Eustathius ad Il. Ω. p. 1506, 41. nostri Phoenissarum memor: apud Aelianum V.H. 12, 36. Λάσος δὶς ἑπτὰ λέγει. Leonidas ἑπτὰ δὶς memorat Anthol. 3, 7, 5. Nostra quomodo locum invenire potuerint in isthoc tragici dramate manifestum erit Meropes e Cresphonte verba comparanti, quae Plutarchus servavit Mor. p. 110 D. in quibus caussae nihil erat cur ἄλλαι pro ἀλλά scriberetur a Grotio in Excerpt. p. 391." VALCK.

7. ὁμοίως A.B. ὅμως I. Recte A. B. nisi ὁμοίως delendum potius est, quum statim sequatur ὁμοίως. Literae ὅμως καὶ Αἰσχύλος ἐν in M. legi non possunt.

ib. δὲ om. A.B. Scribendum Ἀριστοφάνης ἐν Δράμασιν ἢ Νιόβῳ, ut dixi ad Arist. Fragm. p. 607.

8. αὐτὰς λέγουσιν (λέγουσιν om. A. B.) εἶναι δὲ ἑπτὰ] φησὶν εἶναι M.

9. ὑπὸ—σπαρτοὶ obliterata in M.

ib. ὑπὸ τῶν περὶ Ἀμφίονα οἱ σπαρτοὶ] οἱ περὶ τὸν ἀμφίονα οἱ σπαρτιᾶται T.

11. Ἐλευθερὰς Barnes. pro ἐλευθέραν.

ib. ἐπὶ] καὶ ἐπὶ M.

ib. θυσίαν Valcken. pro οὐσίαν. Corrupte in T. εἰς πάτριουσίαν (sic).

12. Φερεκύδης] φερεκύδης δὲ M. in quo praecedentia ἄλλοι—ὁ μὲν γὰρ omissa.

13. ἔχειν αὐτὴν M.T. αὐτὴν ἔχειν A.B.I. Reliqua scholii pars fere tota obliterata in M. ut haec tantum legi possint, λαμίππην—ἐπιγραφῇ, tum ἀναστυκράτειαν ξάνθος ὁ λύδιος ἐκ φιλοξένου τοῦ ἀσσυρίου ὃς ᾤκει ἐν σιπύλῳ.

ib. παῖδας—Κλυτίαν] παῖδας ἐξαλαλκομενέος δύσιπον, ξάνθον, ἀργεῖον,

Λύσιππον, Ξάνθον, Ἀργεῖον, θυγατέρας δὲ ἕξ, Χιόνην, Κλυτίαν, Μελίαν, Ὤρην, Λαμίππην, Πελοπίαν. Ἑλλάνικος δὲ ἐν τῇ ἐπιγραφῇ Ἀτλαντίδος ἄρσενας τέσσαράς φησιν, Ἀρχήνορα, Μενέστρατον, Ἀρχαγόραν,......θυγατέρας δὲ τρεῖς, Πελοπίαν, Ὠγυγίαν, Ἀστυ-

θυγατέρας δὲ κιόνην, κλυτίαν T. Χιόνην est a Barn. pro Κιόνην, quod est in A.B.I.

p. 81. l. 13. Ἀλαλκομενέα] Nescio cur Ἀλκομενέα Kingius dederit. Credo equidem in codice ms. breve scholion invenisse contractum ex veteri, qnale margo subministrat codicis Leid. in hoc scholio medio leguntur sequentia: φασὶ δὲ τὰ μὲν τῶν ἀρρένων ὀνόματα, Ἀλκομενέα, Φηρέα, Εὔδωρον, Λύσιππον, Ξάνθον, Ἀργεῖον· τὰ δὲ τῶν θηλειῶν, Κιόνην, (Sic et edd. Χιόνην scripsit Barnes.) Κλυτίαν, Μελίαν, Αἴρην, Λαμείππην, καὶ Πελοπίαν. Priores verum dederant nomen Ἀλαλκομενέα: apud Etymologum p. 56, 17. pro Ἀλαλκομεναῖς, in codice Dorvilliano scribebatur perperam Ἀλκομεναῖς. Pago Boeotiae nomen dederat indigena dictus Ἀλαλκομενεὺς, secundum Pausan. 9. 33, 5. et Stephanum Byz. conf. Observ. Misc. 2. p. 289. Ceterum haec quidem Niobidarum Pherecydea nomina, quantum commemini, nuspiam alibi reperiuntur, praeter ultimum nomen Pelopiac, quod inter quatuordecim, ab his diversa, prostat apud Apollodorum. VALCK.

1. θυγατέρας] καὶ θυγατέρας A.B.

2. ἐν τῇ ἐπιγραφῇ Ἀτλαντίδος] Scriptum forsan antiquitus: ἐν τῇ ἐπιγραφομένῃ Ἀτλαντίδι vel Ἀτλαντιάδι· sic saepe libri citantnr, ἐν τῇ ἐπ. vel ἐν τοῖς ἐπιγραφομένοις. Scripserat Hellanicus τῶν Ἀτλαντίδων, septem filiarum Atlantis, sive Pleiadum sororum, posterorumque historiam; huic operi nomen inditum Ἀτλαντὶς vel Ἀτλαντιάς· apud Harpocrat. in Ὁμηρίδαι citatur Ἑλλάνικος ἐν τῇ Ἀτλαντιάδι. sic Valesius docte restitnit, operisque materiem indicavit p. 140, designans hunc nostrum locum et scholia in Homeri Il. 18, 486. ubi, eum vulgatur Ἑλλάνικος ἐν τῷ πρώτῳ τῶν Ἀτλαντιδῶν· Lugduno-Batavus Homeri codex exhibet: ἐν τῷ ά τῶν Ἀτλαντικῶν· scribendum τῶν Ἀτλαντίδων, sive potius τῆς Ἀτλαντιάδος. In Eratosth. Catast. c. 24. Ἀτλαντίδων vel Ἀτλαντιάδων recte corrigit Muncker. ad Hygini P. A. 2, 7. Atlantidum nna fuit Alcyone; hujus et Neptuni f. Hyrieus; hic proavus Amphionis; hujus e Niobe liberos Hellanicus in Atlantide recensuerat. VALCK.

3. τέσσαρας A.B. δ' I.

ib. Ἀρχήνορα — Ἀρχαγόραν] ἀρχίνορα—ἀρχιγόραν T. In I. asteriscus lacunae index ante ἀρχαγόραν, in B. lacuna septem vel octo literarum post ἀρχαγόραν. Excidit quarti nomen filii. "Tribus unum duntaxat simile compositum nomen Δαμασίχθων, Ovidio notum Ibidis v. 583., habet Apollodorus. Puellarum junguntur apud Hyginum nomina Fab. 69. Astynome, Astycratia, Ogygia." VALCK,

4. δὲ om. A.

ib. Πελοπίαν om. I.

ib. Ὠγυγίαν] ὠγυῖαν B.I. ὠγύαν A.T. αὐγυίαν Fl. 33. Correxit Barnesius. "Ogygia Apollodoro quoque memorata. Haec si portae Thebanae nomen dedit, non miror a Graeculis confictum Ὁμολωΐδος nomen, quod tanquam unius filiarum Niobae legitur in schol. ad Phoen. 1126. et ad Aeschyli Sept. 576. Νηΐδος meminit schol. ad Phoen. 1111." VALCK.

κράτειαν. Ξάνθος δὲ ὁ Λύδιος δέκα καὶ δέκα ἐκ Φιλόττου τοῦ 'Ασσυρίου, ὃς ᾤκει ἐν Σιπύλῳ, ὃς ἀνῃρέθη ἐν κυνηγεσίῳ ὑπὸ ἄρκτου. A.B.M.T.I.

160. 'Αδράστῳ: *εἰκότως τούτῳ παρίσταται καὶ τοῦτον θεραπεύει, δι' οὗ τὴν εἰς τὴν πατρίδα κάθοδον προσεδόκα αὐτῷ γενέσθαι.*

1. *δέκα καὶ δέκα*] Ubi hunc dicitur numerum Hesiodus tradidisse apud Apollodor. 3. p. 145. quod additur, *'Ηρόδοτος δὲ δύο μὲν ἄρρενας, τρεῖς δὲ θηλείας*, (Cuperum non offendit Observ. p. 341.) sic, nisi fallor, corrigendum est: *'Ηρόδωρος δὲ δ' μὲν ἄρρενας, γ' δὲ θηλείας.* ut eumdem Herodorus numerum posuerit quem Hellanicus in Atlantide. VALCK.

ib. *καὶ δέκα* om. T.

ib. *ἐκ Φιλοξένου τοῦ 'Ασσυρίου* libri. Digna mehercule res erat in qua historicus probatae fidei *Xanthus Lydius* testem nescio quem Philoxenum Assyrium evocaret! Apage, sodes, Philoxeni nomen; quod sibi notissimum peregrino nomini forte jam olim a sciolo fuerat hic substitutum: corrigendum suspicor: *ἐκ Φιλόττου τοῦ 'Ασσυρίου·* Philottum istum non tanquam testem citarat, sed *Niobae* dixerat Xanthus *maritum*, hac etiam parte diversus ab aliis, qui liberos Nioben ex Amphione suscepisse prodiderant: scholiasta noster supra, *Φερεκύδης φησὶν αὐτὴν ἔχειν παῖδας ϛ'·*—hic, *Ξάνθος δὲ*, inquit, *ὁ Λύδιος* (nempe *φησὶν αὐτὴν ἔχειν*) *δέκα καὶ δέκα ἐκ Φιλόττου τοῦ 'Ασσυρίου, ὃς ᾤκει ἐν Σιπύλῳ.* Nititur ista suspicio teste tamen idoneo Parthenio *περὶ* E. Π. c. 33. *διαφόρως καὶ τοῖς πολλοῖς ἱστορεῖται καὶ τὰ Νιόβης· οὐ γὰρ Ταντάλου φασὶν αὐτὴν γενέσθαι, ἀλλ' 'Ασσάονος μὲν θυγατέρα, Φιλόττου δὲ γυναῖκα·* liberorum Niobae pater ter in isto capite dicitur *Φίλοττος.* capiti pracfiguntur ista: *ἱστορεῖ Ξάνθος Λυδιακοῖς.* Si non haec jam nimia viderentur, pergerem hariolari, fortasse primitus patris Niobae hic quoque nomen a Xantho positum *ἐκ Φιλόττου θυ* (i. e. *θυγατέρα*) *οὖσαν 'Ασσάονος, ὃς ᾤκει ἐν Σιπύλῳ.* VALCK.

2. Post *Σιπύλῳ* in B. duorum versuum et dimidii est lacuna, et versuum quidem quorum quisque tot literarum capax est quot sunt verborum proximorum *ὃς ἀνῃρέθη—ἄρκτου*, quae omissa in I. ego addidi ex A.B.M.T. et Fl. 33. "In Gu. hoc est scholion, idemque in Leid. teste Valck. *Νιόβη παίδων θηλειῶν ἓξ καὶ ἀρρένων τοσούτων καταστᾶσα μήτηρ, διότι πρὸς Λητὼ ἐμεγαλαυχήσατο, εὐδαιμονεστέραν ἐκείνης ἑαυτὴν εἶναι λέγουσα,* (*δύο ἐχούσης παῖδας* addit Leid.) *ὑπὸ τῶν ὕστερον Λητοῖ παίδων, 'Αρτέμιδός τε καὶ 'Απόλλωνος* (*ὑπὸ τῶν παίδων Λητοῦς 'Απ. καὶ 'Αρτ.* Leid.) *βέλεσι τρωθέντα τὰ τέκνα ἀπώλεσε, καὶ Ζεὺς θρηνοῦσαν οἰκτείρας εἰς λίθον μετάγει. φασὶ δὲ τὰ μὲν τῶν ἀρρένων ὀνόματα 'Αλκομενέα* (sic), *Φηρέα, Εὔδωρον, Λύσιππον, Ξάνθον, 'Αργεῖον, τὰ δὲ τῶν θηλειῶν Κιόνην, Κλυτίαν, Μελίαν, Αὔρην, Λαμίππην* (Leid. *Αἴρην, Λαμείππην*) *Πελοπίαν. ἄλλοι δὲ φασὶν, ὧν καὶ Εὐριπίδης, ὡς ἑπτὰ θηλείας καὶ ἑπτὰ ἄρρενας ἔτεκεν.* Hujus priora usque ad *μετάγει*, et postrema *ἄλλοι δὲ φ.* in contextu, reliqua in nota dedit Valck. Idem simile schol. Aug. cod. affert, *λέγεται γὰρ ὅτι ἡ Νιόβη εἶχε παῖδας ἓξ ἄρρενας καὶ θηλείας, ἐξ ὧν τοὺς ἄρρενας ἐφόνευσεν ὁ 'Απόλλων, τὰς δὲ θηλείας ἡ Ἄρτεμις, ὅτι ἐκαυχήσατο ἔχειν πολύπαιδας καὶ καλλίπαιδας ὑπὲρ τὴν Λητὼ τὴν αὐτῶν μητέρα τὰς θυγατέρας. καὶ ἅπαντας ἐτάφησεν ἡ μήτηρ Νιόβη εἰς ἓν μνημεῖον.* et addit: ultima, si quis ita velit, corriget; modo forma recentior *ταφῆσαι* relinquatur intacta." MATTH.

5. *εἰς*] *ὡς* I.

A.B.C. Gu. I. Ἄδραστος υἱὸς Λυσιμάχης τῆς Κερκυόνος καὶ Ταλαοῦ τοῦ Ἀγήνορος τοῦ Καλυδῶνος τοῦ Πλευρῶνος τοῦ Μώλου τοῦ Ἐνδυμίωνος τοῦ Ἀεθλίου τοῦ Διός. H.M.

πλησίον: ἐκεῖνος πλησίον τοῦ τάφου τῶν ἑπτὰ παρθένων τῆς Νιόβης παρίσταται τῷ Ἀδράστῳ. Gr. περισσὸν τὸ πλησίον· τὸ γὰρ παρίσταται τὸ πλησίον ἵσταται δηλοῖ. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq.

161. ὁρῶ δέ πως: ἀντὶ τοῦ τρόπῳ τινί. B.M.

162. τύπωμα: ἀπεικόνισμα. M. ἐξεικασμένα: ὡμοιωμένα. B.M.

163.—167. ἀνεμώκεος εἴθε: εἴθε ἐξήνυσα τοῖς ποσὶν, ἤγουν ἠδυνήθην, τελέσαι δρόμον νεφέλης ταχείας διὰ τοῦ ἀέρος πρὸς τὸν ἐμὸν ἀδελφὸν, τὸν φυγάδα τὸν ἄθλιον, περιέβαλον δὲ διὰ χρόνου τὰς ἐμὰς ὠλένας τῇ δέρῃ αὐτοῦ τῇ φιλτάτῃ. Gr. Cant.

ἀνεμώκεος: ὀξυτάτης, ταχείας. M. ταχείας, ἢ τῆς ἀνέμῳ κινουμένης νεφέλης ἴσως. διὰ γὰρ ἀνέμου κινοῦνται. τὸ δὲ ἑξῆς, εἴθε δρόμον νεφέλας ἐξανύσαιμι ποσὶ δι' αἰθέρος πρὸς ἐμὸν ὁμογενέτορα, φυγάδα μέλεον, περὶ δὲ ὠλένας βάλοιμι τῇ φίλῃ δέρῃ διὰ χρόνου. αὕτη δὲ ἡ σύνταξίς ἐστιν, ἐὰν μὴ ἔγκειται τῷ ἐδαφίῳ τὸ "ὡς ἴδω" ἐὰν δὲ κεῖται, οὕτω συντακτέον, χρόνῳ φυγάδα μέλεον ὡς ἴδω. A.B.H.M.I.

164. ἐξανύσαιμι: πληρώσαιμι. M.

165. περὶ δ' ὠλένας: περιβάλλοιμί τε τὰς χεῖρας διὰ χρόνου. M.

166. βάλοιμι χρόνῳ: περιέβαλον δὲ διὰ χρόνου. Gr. ἢ εἰς τὸ χρόνῳ ὑποστικτέον. Gu.

167. μέλεον: ἄθλιον. M.

168. ὡς ὅπλοισι: ὡς εὐπρεπὴς, ὦ γέρον, ἐστὶν, ἤγουν εὔστολος

2. Μώλου] μόλου M. μένου H.

3. Ἀεθλίου] μελίου M.

6. ἀντὶ τοῦ om. M.

9. ἐξήνυσα et ἤγουν e Gu. addidi. Prius necessarium erat ob seq. περιέβαλον. Glossa etiam est in Gr. ἐξανύσαιμι ἀντὶ τοῦ ἐξήνυσα, et a Gu. additum ἠδυνήθην τελέσαι. MATTH.

13. ἀνεμώκεος: ταχείας—τὸ δὲ ἑξῆς] Haec ex A.M. addidi. In H. est ταχείας—νεφέλης. ἴσως γὰρ ἀνέμῳ κινοῦνται. τὸ ἑξῆς—. Priora τῆς ἀνέμῳ—νεφέλης habet etiam Flor. 33. In Gr. est ταχείας, in Gu. ἢ τῆς ἀνέμῳ—νεφέλης. ἴσως γὰρ ἀνέμῳ κινεῖται.

15. ποσὶν M. ποδὶ ceteri.

ib. δι' om. M.

17. χρόνου B.H.M. χρόνου γὰρ I.

ib. αὕτη δὲ om. M. δὲ om. H.

ib. τῷ ἐδαφίῳ (*textui*) addidi ex H.M. in quibus corrupte τὸ ἐδαφιῷ.

ib. τὸ ὡς ἴδω H. τὸ εἰσίδω M. τὸ ὡς ἴδον I.

18. δὲ κεῖται M. κεῖται H. δὲ ἔγκειται B. δὲ ἔγκειται τὸ ὡς ἴδον I.

ib. οὕτω] οὐ H.M.

ἐν ὅπλοις χρυσοῖς φλεγέθων, ἤγουν λάμπων, ὁμοίως ταῖς πρωϊναῖς ἀκτῖσι τοῦ ἡλίου. Gr. Cant.

169. ἑῴοις: ταῖς ἑωθιναῖς βολαῖς τοῦ ἡλίου ἐοικώς. αὗται γὰρ χρυσίζουσιν. B.M.I. φλεγέθων: λάμπων. M.

170.—174. ἥξει εἰς τούσδε τοὺς δόμους ἠσφαλισμένος σπονδαῖς, ὥστε πληρῶσαί σε χαρᾶς. οὗτος δὲ, ὦ γεραιὲ, τίς ὑπάρχει, ὃς ἵππους λευκοὺς ἡνιοχεῖ ἐπιβεβηκώς; οὗτός ἐστιν ὁ μάντις Ἀμφιάραος· ζῶα δὲ ἐν τῷ ἅρματι αὐτοῦ ἐπὶ τῷ σφαγιασθῆναι καὶ ῥεῦσαι τὸ αἷμα αὐτῶν προσφιλῶς τῇ γῇ. Cant.

171. ἔνσπονδος: μετὰ φιλίας, φίλος. M. τὸν Ὁμηρικὸν Μενέλαον μιμεῖται ὁ Εὐριπίδης, ὑπόσπονδον Πολυνείκην ἄγων εἰς τὰς Θήβας, ὡς ἐκεῖνος εἰς τὴν Ἴλιον εἰσῆλθε καταθησόμενος τὸν πόλεμον. A.B.H.M.I. φίλιος, εἰρηναῖος, εἰρηνικὸς, μετὰ εἰρήνης. Gu.

πόθεν κυρεῖ: τυγχάνει. M. ἢ τὸ κυρεῖ περισσὸν ἢ τὸ πόθεν. Gu. ὑπάρχει. Gr.

172. ἅρμα λευκόν: λευκὸν τὸ ἅρμα φησὶ διὰ τοὺς ἵππους· ἐκ γὰρ τῶν ἵππων τὸ ἅρμα λέγει. A.B.M.I. διὰ τὸ ἔχειν λευκοὺς ἵππους. Gu.

173. Ἀμφιάραος Οἰκλέους τοῦ Ἀντιφάτου τοῦ Μελάμποδος τοῦ Ἀμυθάονος τοῦ Ἕλληνος τοῦ Διὸς, μητρὸς δὲ Ὑπερμνήστρας τοῦ Θυέστου τοῦ Ἄρεως. M. ἡνιοστροφεῖ: ἡνιοχεῖ, ἐλαύνει. M. διεξάγει. Gu.

βεβώς: ἐπιβεβηκώς. M. Gr. βαίνων, καθήμενος. Gu.

174. σφάγια δ' ἅμ' αὐτῷ: σφάγια μὲν τὰ ἱερεῖα, ῥοαὶ δὲ αἱ σπονδαί. ἢ οὕτως· ἂν τὸ αἷμα τῆς γῆς ῥοαὶ γίνεται, ἢ ὧν τὸ αἷμα

1. φλεγέθων ἤγουν om. Cant.

3. αὗται γὰρ χρυσίζουσιν om. I.

10. τὸν—Εὐριπίδης] τὸν ἑλληνικὸν μιμεῖται ὁ Εὐριπίδης μενέλαον H.

ib. Ὁμηρικὸν] δὲ addunt B.I. in quibus haec adjuncta sunt scholio v. 169. Post μενέλαον in B. quindecim circiter literarum lacuna.

11. ὁ εὐριπίδης A.M. ὁ om. ceteri.

ib. Πολυνείκην] τὸν πολυνείκην A.

12. εἰσῆλθε] ἦλθε M.

14. κυρεῖ in textu om. Gu.

16. τὸ om. M.

ib. φησὶ] λέγει H., om. A. in quo post ἵππους a manu rec. adscriptum ἢ ὅτι ἐκ τοῦ ἀφροῦ ἐγένετο λευκόν.

ib. ἐκ γὰρ τῶν—λέγει om. A.H.M. Post λέγει B. pergit εἰκότως δὲ—(schol. v. 177.)

18.—20. Ἀμφιάραος—Ἄρεως] Hoc scholion in M. adjunctum scholio v. 156.

ib. Οἰκλέους] Ἰοκλέους M. Conf. ad schol. v. 133.

23. ἱερεῖα] ἱερὰ I.

ib. αἱ om. B.C. H.I.

24. ἢ οὕτως—τάττεται] ἢ ἓν τὸ αἷμα ῥέει παρὰ τὴν γῆν C. qui pergit τὸ ἐπίθετον τῆς γῆς etc.

ib. τῆς—τὸ αἷμα om. A.H.M.

συμβαίνει παρὰ τὴν γῆν ἐκχεῖσθαι. τὸ γὰρ φιλεῖν καὶ ἐπὶ τοῦ συμβαίνειν τάττεται. A.B.C.H.M.T.I.

σφάγια δ' ἅμ' αὐτῷ: ἤγουν ζῷα δὲ ἐν τῷ ἅρματι αὐτοῦ ἐπὶ τῷ σφαγιασθῆναι καὶ ῥεῦσαι τὸ αἷμα αὐτῶν προσφιλῶς τῇ γῇ. ὅτι δὲ ἐν τῷ ἅρματι αὐτοῦ ἔφερεν ὁ Ἀμφιάραος ζῷα ἕτοιμα εἰς σφαγὴν, ἵνα, ὅτε δοκεῖ αὐτῷ καλὸν, ἀποσφάξῃ καὶ μαντεύηται δι' αὐτῶν, δῆλον ἀφ' ὧν λέγει ἔμπροσθεν "εἰς δὲ Προιτίδας πύλας ἐχώρει, σφάγι' ἔχων ἐφ' ἅρμασιν Ἀμφιάραος." Gr. Cant. Leid. σφάγια λέγει ἢ ἐσφαγμένα ἱερεῖα πρὸ αὐτοῦ ὄντα, δι' ὧν ἐμαντεύετο, ἤ, ἐπειδὴ μάντις ἦν, σημεῖα τῆς ἑαυτοῦ τέχνης γεγραμμένα ἱερεῖα εἶχεν ἐπὶ τοῦ ὅρματος. κρείττων δὲ ἡ πρόσθεν ἔννοια. Gu.

ἅμ' αὐτῷ: σύν. ἤγουν ἐπάνω τοῦ ἅρματος ὑπάρχουσιν. Gu.

φιλαιμάτου: τὸ ἐπίθετον τῆς γῆς ἐπὶ τὰ σφάγια μετήγαγεν. οἱ δὲ γράφουσι γῆς φιλαιμάτου, οἱ δὲ τὸ τέλειον φιλαιμάτοιο λέγουσιν. A.B.C.H.M.T.I. ὁ νοῦς, ἅτινα σφάγια ῥοαὶ φιλαίματοί εἰσι τῆς γῆς, ἡδομένης ἐπὶ τῶν σφαγίων, ἢ αἱ εἰωθυῖαι δι' αἱμάτων γίνεσθαι. Ἄλλως. τὰ σφάγια τῶν ἱερείων αὐτῷ τῷ Ἀμφιαράῳ ἢ διὰ τὸ εἶναι αὐτὸν μάντιν, ἢ πολεμικῶν φίλα, καὶ αἱ ῥύσεις τῶν αἱμάτων προσφιλεῖς εἰσιν αὐτῷ ἐπὶ τῆς γῆς. A.H.M.

175. λιπαροζώνου: εὐδαίμονος. M. εὐπρεπεστάτου. M.I. μεγαλοζώνου, τουτέστι τοῦ πλουσίου εἰς φαῦσιν. Gu. Fl. 33. τουτέστιν ἔχοντα πολλὰς ζώνας· τὸ γὰρ λιπαρὸν οὕτω δηλοῖ, ἤγουν πολυφώτου καὶ εὐπρεπεστάτου. Gu.

2. τάττεται] Pergunt B.M.I. ἄλλως. τὸ ἐπίθετον τῆς γῆς etc.

6. ὅτε] ὃν Valck.

ib. ἀποσφάξῃ καὶ μαντεύηται] σφάξῃ καὶ μαντεύσοιτο Gr.

7. ἔμπροσθεν] 1109.

ib. εἰς δὲ Gr. εἴς τε Cant. Leid.

13. τὸ om. I.

ib. τὰ om. H.

ib. οἱ δὲ] οἱ μὲν H.

14. γῆς φιλαιμάτου] τοῖς φιλαιμάτου C. τὴν γῆν φιλαιμάτην A. γῆν φιλαίματον H.

ib. φιλαιμάτοιο] φιλαιμάτιοι (sic enotatum) M. Perabsurda grammatici alicujus opinio φιλαιμάτοι pro φιλαιμάτοιο idque ante consonantem dictum esse, quum ne φιλαιμάτοι' quidem cum elisione ante vocalem dici possit. In Gu. ex hoc scholio haec sunt excerpta τὸ ἐπίθετον—μετήγαγεν. οἱ δὲ γράφουσι γῆς φιλαιμάτοιο.

15. ὁ νοῦς, ἅτινα—] Prima scholii verba sunt etiam in Gu. et Flor. 33. ἅτινα σφάγια ῥ. φ. εἰσὶ τῆς γῆς, ἡδομένης (ἡδόμεναι Flor.) ἐπὶ τῷ σφαγίῳ.

16. ἡδομένης] ἡδομένῃ H.

ib. εἰωθυῖαι] εἰθυῖαι A. εἰθῆαι M.

18. αἱ ῥύσεις] αἱρέσεις M.

19. εἰσιν] εἶναι H.

θύγατερ Ἀελίου: Ἡσίοδός φησιν ἀδελφὴν Ἡλίου εἶναι τὴν Σελήνην,

> Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
> γείνατο.

Αἰσχύλος δὲ καὶ οἱ φυσικώτεροι θυγατέρα, παρόσον ἐκ τοῦ ἡλιακοῦ φωτὸς μεταλαμβάνει ἀμέλει καὶ πρὸς τὰς ἡλιακὰς ὑποστάσεις μεταμορφοῦται ἡ σελήνη. A.B.C.H.M.T.I.

Κατὰ μὲν τὴν μυθικὴν ἱστορίαν ἀδελφὴ Ἡλίου Σελήνη· (ἄμφω γὰρ ἐκ Λητοῦς καὶ Διὸς) κατὰ δὲ τὸν φυσικὸν λόγον θυγάτηρ, ἐκεῖθεν ὥσπερ ἐκ πηγῆς ἀρυομένη τὸ φῶς. Gu. Leid.

177. ὡς ἀτρεμαῖα κέντρα: εἰκότως ἡσυχῇ καὶ σωφρόνως ἐλαύνει ὁ Ἀμφιάραος. οἶδε γὰρ ὡς μάντις τὰ ἀποβησόμενα. A.B.C.H. Gu. I.

ὡς ἀτρεμαῖα κέντρα: λίαν ἡσύχως καὶ εὐτάκτως τὴν μάστιγα ἔνθεν κἀκεῖθεν φέρων τοῖς πώλοις ἰθύνει αὐτοὺς δηλονότι, ἤγουν εἰς ὀρθὸν ἄγει. Gr. Cant. ἀτρεμαῖα: πάνυ ἥσυχος. M. κέντρα: μάστιγας. I. ἀντὶ τοῦ μάστιγα. Gr. σώφρονα: ἀντὶ τοῦ σωφρόνως. M. Gr.

179. ἰθύνει: μεταφέρων ἀπ' εὐθείας ἄγει. M. κυβερνᾷ. I.

ποῦ δ' ὃς τὰ δεινά: ποῦ δέ ἐστιν ὁ Καπανεύς, ὃς κατὰ τῆσδε τῆς πόλεως τὰς δεινὰς ὕβρεις ὑβρίζει; Gr. Cant. ἐφυβρίζει: ἐπαπειλεῖ, ὑβρίζει. Gu. πόλει: τῆς πόλεως. Gu. ἀπειλεῖ. M. μετὰ ὕβρεως ἀπειλεῖ τὰ χαλεπὰ τῇ πόλει. I.

181. Καπανεύς: Καπανεὺς Ἱππονόου τοῦ Ἀναξαγόρου τοῦ Ἀρ-

1. Ἡσίοδος] Theog. 371.
ib. εἶναι om. A.B., τὴν om. M.
3. Θεία δ' Valck. pro θείαν τ' "Hesiodi loco utitur etiam schol. Apoll. Rh. 4, 54. Ad sequentia conf. Menag. ad Diog. L. 7. 145." VALCK.
ib. Σελήνην om. C.
4. γείνατο om. A.I.
5. θυγατέρα] φασὶν ὅτι θυγάτηρ C. T.
6. ὑποστάσεις B.C.T. ἀποστάσεις I.
8. Σελήνη] ἡ σελήνη Leid.
11. εἰκότως] δὲ add. B.I. in quibus hoc scholion sequitur post ἅρμα λέγει (ad v. 172.) In C. hoc loco legitur cum lemmate καὶ σώφρονα πώλοις.
ib. ἡσυχῇ καὶ] καὶ ἡσυχῇ C., omisso σωφρόνως.
ib. ὁ Ἀμφιάραος om. Gu.
12. οἶδε—τὰ ἀποβησόμενα] ᾔδει—τὸ ἀποβησόμενον καὶ ὡς ἀποθανούμενος. καὶ διὰ τοῦτο οὐκ ἐσόβει τοῖς ἵπποις ὥσπερ οἱ ἄλλοι Gu.
14. ἀτρεμαῖα] ἀτρεμία (vitiose pro ἀτρεμαῖα) Gu. etiam in textu.
23. ἀναξαγόρου M. ἀναξαγόρα C. H.T.
ib. Ἀργείου] ἄργου C.T. "Ἀργεῖος

γείου τοῦ Μεγαπένθους τοῦ Προίτου τοῦ Ἄβαντος τοῦ Λυγκέως τοῦ Αἰγύπτου, μητρὸς δὲ Λαοδίκης τῆς Ἴφιος τοῦ Ἀλέκτορος. A.C. H.M.T.

Μετὰ τοῦ Ἀδράστου ἑπτὰ λοχαγοὺς οὗτος ὁ ποιητὴς ἀριθμεῖ, ὁ δὲ Αἰσχύλος, ὅτι τοῦτον οὐκ ἀριθμεῖ, διὰ τοῦτο τὸν Ἐτέοκλον τοῖς ἓξ συναριθμεῖ. Gu. προσβάσεις τεκμαίρεται: τὰς πύλας σκέπτεται. I.

προσβάσεις: τὰς εἰσβάσεις λέγει καὶ τὰς πύλας. B.H.M.T. Fl. 33. Ἄλλως. τὰς ἑπτὰ κλίμακας τῶν πύργων, δι' ὧν εἰς τὸ τεῖχος ἀνέρχονται. A.H.M.T. Fl. 33. εἰσόδους. Gr. ἀναβάσεις, ἐξοχὰς, προβολὰς ἢ πύλας. Gu. τεκμαίρεται: καταμανθάνει, σημειοῦται, διασκέπτεται. M. σκοπεῖ. Gr. σημειοῦται. Gu.

181.—185. φεῦ, ὦ Νέμεσις, Δίκη, καὶ Διὸς μεγαλόηχοι βρονταὶ, καὶ φῶς κεραύνιον, καυστικὸν, σὺ κοιμίζοις καὶ ταπεινοῖς τὴν κενοδοξίαν τὴν ὑπεράνορα καὶ ὑψηλήν. I.

183. ἰώ: ἐπὶ ἀγανακτήσεως. Gr. Νέμεσις: παρ' Ἕλλησι θεὰ τιμωρουμένη τοὺς μεγαλαύχους. Gu. Bar. τουτέστιν, ὦ θεὰ νεμεσῶσα καὶ τιμωροῦσα τοὺς ἀλαζόνας. Gu. Fl. 33. ὦ δίκη. Gr. θυγάτηρ τῆς Νυκτός. Gu. βαρύβρομοι: βαρύηχοι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. μεγαλόηχοι. M. Gu.

184. κεραύνιόν τε φῶς: ὦ κεραυνοῦ φῶς. προαναφωνεῖ δὲ τὰ συμβησόμενα αὐτῷ. M. Gu. Fl. 33. σύ τοι: πρὸς ἐκεῖνον ἀπο-

vocatur Pausaniae 2, 18, 4. Secundum Diodor. 4, 68. non avum, sed patrem habuit Anaxagoras Megapenthen." VALCK.

2. ἴφιος τοῦ M.T. ἰφίτου C.H. " Restituere non dubitavi sinceram lectionem Ἴφιδος τοῦ Ἀλέκτορος· qui Sthenelo Capanei filio reliquerit imperium, Ἶφις, ὁ Ἀλέκτορος, τοῦ Ἀναξαγόρου, memoratur Pausaniae 2, 18, 5. Apud Apollod. 3, 6, 2. Polynices abiisse dicitur πρὸς Ἶφιν τὸν Ἀλέκτορος. In Euripidis Supplicibus prodit in scenam v. 1034. Iphis Euadnes pater; Euripidem sequuti plerique (dissentit enim Hyginus) nobilissimam Capanei conjugem Euadnen Iphidis filiam dixerunt. Si patrem eumdem habuit Capanei mater Laodice, materteram ille duxerat uxorem; nec sine exemplo: idem traditur de Diomede et Iphidamante: Eustathius in Il. A. p. 776, 33. σημειοῦνται οἱ παλαιοὶ ὅτι ὅμοιος ὁ γάμος τοῦ τε Διομήδους καὶ τοῦ νεήλυδος τούτου Ἰφιδάμαντος· ἀμφότεροι γὰρ μητρὸς ἔγημαν ἀδελφάς." VALCK.

ib. Ἀλέκτορος] ἀλεκτρυόνος M.

14. κοιμίζοις King. κοιμίζεις Barnes. νομίζεις I.

21. φῶς] φ" (i. e. φησὶ) M.

ib. προαναφωνεῖ] πρoανεῖ (sic) M.

ib. δὲ om. Gu.

στρέφεται. Gr. Fl. 5. 6. 9. 56. 59. 76. ἀποστροφὴ πρὸς Καπανέα. Fl. 21. ὦ Νέμεσις. Gu.

185. *μεγαλανορίαν*: μεγαλοφροσύνην, ἢ μεγαλορρημοσύνην, οἱονεὶ μεγαληγορίαν, ὑπερηφάνειαν. B.M.I. ἔπαρσιν, ἀλαζονείαν. Gr. Cant. ὑπερηφανίαν, μεγαλαυχίαν, μεγαλοφροσύνην, κενοδοξίαν. Gu. *ὑπεράνορα*: ὑπερήφανον. Gr. ὑπὲρ ἄνθρωπον. Gu. *ὑπεράνορα κοιμίζεις*: τὸν ὑπερήφανον ἄνδρα καταβάλλεις. M. ταπεινοῖς. M. κοιμίζοις: τὸ κοιμίζοις εἰ μὲν ο καὶ ι γράφεται, μερικόν ἐστι πρὸς μόνον τὸν Καπανέα· εἰ δὲ ε καὶ ι, καθόλου. οἷον σὺ τὴν ὑπερηφανίαν κοιμίζεις, καὶ οὗτος, τοιοῦτος ὤν, κατενεχθήσεται. Gu. Leid. κοιμίζεις: ἔχεις. Gr. Mosq.

186. *ὅδ' ἐστίν*: λείπει τὸ ἐπαγγέλλεται. ὁ δὲ νοῦς, οὗτός ἐστιν ὁ τὰς Θήβας δορὶ καὶ πολέμῳ παραδώσειν αἰχμαλώτους ταῖς Μυκηναίων καὶ ταῖς Ἀργείων γυναιξὶν ἀπειλῶν, ἀποκαταστήσειν τε ἐν Λέρνῃ καὶ τῇ Ἀμυμώνῃ τῇ γενομένῃ ἐκ τῆς τοῦ Ποσειδῶνος τριαίνης ἐπαγγελλόμενος αὐτὰς ὥστε ὑδρεύσασθαι ἐκ τούτου δούλας γενομένας. H.M.T. τὸ ἑξῆς οὕτως, ὅδ' ἐστὶν ὃς ἐπαγγέλλεται πολέμῳ δουλείαν περιβάλλων αἰχμαλωτίδας γυναῖκας δώσειν Μυκήναισι Λερναίᾳ τε τριαίνᾳ τοῖς Ποσειδῶνος καὶ Ἀμυμώνης ὕδασι. διὰ γὰρ τὴν μίξιν τὴν Ποσειδῶνος καὶ Ἀμυμώνης πολύϋδρον γέγονε τὸ Ἄργος. τὸν Ὁμηρικὸν δὲ Ἕκτορα ἐμιμήσατο, φάσκοντα πρὸς Ἀνδρομάχην

καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης.—A.B.H.T.I.

3. ἢ addidi ex B. καὶ A.
ib. μεγαλορρημοσύνην] μεγαλορημοσύνην B.M.
ib. οἱονεὶ] ἤγουν I.
4. ὑπερηφάνειαν om. B.I.
12. λείπει] διὰ A.
ib. ἐπαγγέλλεται] ἐπαγγέλεται M.
ib. ὁ δὲ νοῦς] δὲ om. A.H.T.
ib. οὗτος] οὕτως M.
13. παραδώσειν] ἐπαπειλούμενος addit H.
ib. ταῖς μυκηναίων καὶ ταῖς ἀργείων A.M. ταῖς μυκηναίαις καὶ ταῖς ἀργείαις T. ταῖς μικηναίων καὶ ἀργείων H.
14. γυναιξὶν ἀπειλῶν A.M. γυναιξὶν ἀπειλεῖ T. ἀπειλῶν vel ἀπειλεῖ om. H.
15. τοῦ om. A.H.
16. ἐπαγγελλόμενος] ἐπαγγελόμενος A.M.T. ἐπαγγε^{ελ}λόμενος H.
ib. τούτου] τούτων A.
17. τὸ ἑξῆς] τὸ δὲ ἑξῆς H.T.
ib. οὕτως om. I.
18. γυναῖκας—Μυκήναισι] θηβαίας—μυκήναις καὶ A.
20. τὴν Ποσειδῶνος] τοῦ ποσειδῶνος A.H.
21. δὲ om. H. In A. est τὸ δὲ ὁμηρικόν. Locus Homeri Il. 6, 457.
ib. Ἀνδρομάχην] τὴν ἀνδρομάχην A.
23. φορέοις Μεσσηΐδος] φέροις μεσηΐδος H. Sequentia ad v. 188. Ποσειδωνείοις adscripta sunt, sicut in

Ἄλλως. τινὲς οὕτω· λείπει ὁ καί, καὶ εἰσὶ τὰ κτητικὰ ἀντὶ τῶν πρωτοτύπων, ἵν' ᾖ Ποσειδῶνος καὶ Ἀμυμώνης ὕδασι. B.H.I.

ὅδ' ἐστίν: οὗτός ἐστιν ὃς ἀπειλεῖ δηλονότι δώσειν τὰς Θηβαίας γυναῖκας διὰ τοῦ πολέμου αἰχμαλώτιδας ταῖς Μυκήναις καὶ τῇ Λερναίᾳ τριαίνῃ, ἀντὶ τοῦ τῇ Λέρνῃ τῇ πηγῇ τῇ ἀναδοθείσῃ τῇ τριαίνῃ τοῦ Ποσειδῶνος, λέγω τοῖς ὕδασι τοῖς Ἀμυμωνίοις, ἤγουν τῆς Ἀμυμώνης, (ἥτις ἐστὶν ἡ αὐτὴ τῇ Λέρνῃ, τοῖς Ποσειδωνίοις, ἤγουν τοῖς ὑπὸ τοῦ Ποσειδῶνος ἀναδοθεῖσι, πήξαντος αὐτόθι τὴν τρίαιναν, ὅτε ἀπήρχετο συγγενησόμενος τῇ Ἀμυμώνῃ, ἀφ' ἧς δηλονότι καὶ Ἀμυμώνη ἡ πηγὴ ὠνομάσθη) δουλείαν περιβαλὼν τῇδε τῇ γῇ δηλονότι. Gr. Cant. Mosq.

186. Μυκήναισι: λείπει τὸ ἐπαγγέλλεται. M.

187. ὃς δορὶ Θηβαίας: ἀπειλεῖ δηλονότι ἐπαγγέλλεται. Gu. διὰ τοῦ πολέμου τὰς Θηβαίας γυναῖκας. Gr.

188. Τριαίνᾳ: Τρίαινα τόπος Ἄργους, ἔνθα τὴν τρίαιναν ἔπηξεν ὁ Ποσειδῶν συγγενόμενος τῇ Ἀμυμώνῃ, ὅπου καὶ πηγὴ ἀνεδόθη καὶ τὴν ἐπίκλησιν ἔσχεν ἐξ Ἀμυμώνης. εἰπὼν οὖν τριαίνᾳ ἐπεξηγήσατο διὰ τοῦ Ποσειδανίοις Ἀμυμωνίοις. A.B.C.H.M.I. Ἀμυμώνῃ τῇ

Flor. 33.: in H. τινὲς οὕτω· λείπει ὁ καί· εἰσὶ γὰρ τὰ κτητικὰ (in Flor. τινὲς λέγουσι καὶ Ἀμυμωνίοις· εἰσὶ γὰρ τὰ κτητικά) et in fine addit ὕδασι, quod recepi. MATTH. Cum H. consentit A.M. Rettuli ad v. 188.

p. 89. l. 23. Ὑπερείης. Ἄλλως om. B.

2. ὕδασι om. B.I.

6. Ἀμυμωνίοις ἤγουν τῆς et mox ἥτις ἐστιν—ἡ πηγὴ ὠνομάσθη om. Cant. Verba ἤγουν τῆς Ἀμ. ἥτις—ὠνομάσθη ad voc Ἀμυμωνίοις v. 189. adscripta leguntur in Flor. 5. 6. 9. 56. 59. 76.

15. Τρίαινα τόπος (ἐνταῦθα δὲ τόπος I.)] Hoc scholion recentioris grammatici additamento ab initio auctum est in C., τρίαινά ἐστι τὸ δόρυ (οὗ addit Valck.) τὸ ἓν σίδηρον ὀρθὸν, τὸ δὲ ἕτερον στρεβλόν· ἐνταῦθα δὲ τόπος etc. "In eodem codice est gl. interlineare τὸ λεγόμενον καμάκιον. Sic *fuscinam* vocabant recentiores: vid. Ducangii Glossar. s. v. Καμάκη." VALCK.

ib. ἔνθα] ἔνθεν A.

ib. ἔπηξεν] ὀρθὴν ἔπηξεν B. ὀρθὴν ἔστησεν I.

16. συγγενόμενος] συγγινόμενος A. B.M.I.

ib. ὅπου (ἐξῆς M.) καὶ πηγὴ ἀνεδόθη, ἐξ ἧς τὴν (correxi ἀνεδόθη καὶ τὴν) ἐπίκλησιν A.H.M. καὶ εὐθὺς κατ' ἐκεῖνον τὸν τόπον ὕδωρ ἀνέβλυσεν ὃ καὶ τὴν ἐπίκλησιν B.C. καὶ εὐθὺς κατ' ἐκεῖνο ὕδωρ ἀνέβλυσεν, ὃ καὶ τὴν ἐπίκλησιν I.

17. εἰπὼν — Ἀμυμωνίοις A.H.M. Pro his in B.C.I. haec leguntur, ἦν δὲ καὶ ἑτέρα κρήνη ἐν (ἐν om. I.) λέρνῃ. ἀμφότεραι δὲ τοῦ ἄργους εἰσίν. εἰπὼν οὖν τριαίνα (τριαίνῃ B.C.) ἐπεξηγήσατο διὰ τοῦ ποσειδανίοις ἀμυμωνίοις (ποσειδωνείοις ἀμυμωνείοις B.C.)

18. Ποσειδανίοις Ἀμυμωνίοις] ποσειδωνείοις ἀμυμωνείοις A.B.C.

ἡρωΐνη μέλλων Ποσειδῶν συγγίνεσθαι ὀρθὴν ἔπηξε τὴν τρίαιναν. καὶ εὐθὺς κατ' ἐκεῖνον τὸν τόπον ὕδατα ἀνέβλυσεν. ὃ καὶ γέγονε κρήνη αὐτόθι ὁμωνύμως τῇ Ἀμυμώνῃ. ἣν δὲ καὶ ἑτέρα κρήνη. ἀμφότεραι δὲ τοῦ Ἄργους εἰσίν. A.H.M.

Τριαίνᾳ: ἥνπερ ἐποίησεν ὁ Ποσειδῶν ἀναδοθῆναι διὰ τὴν Ἀμυμώνην, ἤγουν τῆς Ἀμυμώνης τῆς πηγῆς, ἥτις ἡ αὐτή ἐστι τῇ Λέρνῃ. Ἀμυμώνης τῆς Δαναοῦ θυγατρὸς ἀπερχομένης εἰς Λέρνην ἀρύσασθαι, ἰδὼν καὶ εἰς ἔρωτα Ποσειδῶν καταστὰς ἥρπασέ τε αὐτὴν καὶ ἐμίγη, ἐν ᾧ δὲ τόπῳ ἐμίγη τήν τε τρίαιναν ἔπηξε καὶ πηγὴ ἀνεδόθη, ἐξ Ἀμυμώνης λαβοῦσα τοὔνομα. εἰπὼν δὲ τὸ τριαίνῃ ὥσπερ ἐπεξηγεῖται διὰ τοῦ Ποσειδωνείοις Ἀμυμωνείοις ὕδασιν. Gu. Bar. Λερναίᾳ τε δώσειν: ἀντὶ τοῦ τῇ Λέρνῃ τῇ πηγῇ τῇ ἀναδοθείσῃ τῇ τριαίνῃ τοῦ Ποσειδῶνος. Gr.

188. Ποσειδωνίοις Ἀμυμωνίοις: τινὲς οὕτως· λείπει ὁ καί (εἰσὶ γὰρ τὰ κτητικὰ ἀντὶ τῶν πρωτοτύπων), ἵν' ᾖ Ποσειδῶνος καὶ Ἀμυμώνης ὕδασιν. A.B.H.M.I.

Ἀμυμωνίοις: Δαναοῦ θυγατέρες Ἵππη, Ἀμυμώνη, Φῦσα. A.

190.—192. μήποτε: τὸ ἑξῆς· εἴθε μήποτε τήνδε τὴν δουλοσύνην, ἤγουν τὴν δουλείαν, τλαίην, τουτέστιν ὑπομείναιμι. Gr.

192. ἔρνος: κλάδος, τέκνον. Gr.

193. ὦ τέκνον, εἴσβα δῶμα: εἴσελθε εἰς τὸν οἶκον. I.

194. ἐπεὶ πόθου: ἐπειδὴ εἰς κόρον ἦλθες ὧν ἔχρῃζες εἰσιδεῖν. A.B. H.M.T. Ἄλλως. ποθοῦσα γὰρ εἰς τέρψιν ἦλθες. A.H.M.T. Fl. 33.

195. τέρψιν: ἀπόλαυσιν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

196. ὄχλος γὰρ ὡς ταραγμός: τὸ ἑξῆς, ὡς ταραγμὸς εἰσῆλθεν εἰς τὴν πόλιν, ὄχλος γυναικῶν χωρεῖ εἰς τὰ βασίλεια· ἵν' ᾖ ὁ νοῦς

1. ἔπηξε A.M. ἐπέδειξε H.

2. ὕδατα ἀνέβλυσεν (ἀνέβλησεν H.) A.H. ὕδασιν ἀνέλαβεν M.

3. αὐτόθι A.M. αὐτόθεν H.

ib. ἣν δὲ A. Aberat δέ.

5. ἥνπερ—τῇ Λέρνῃ hic om. Gu. Sed supra versum habet (ad ποσειδωνείοις) ἤγουν ἅπερ ἐποίησε ποσειδῶν ἀ. δ. τ. ἀ. et Gr. (ad ἀμωμωνίοις) ἤγουν —ἐστι τῇ λέρνῃ.

7. Δαναοῦ—ἀπερχομένης] κάδμου—ἀπελθούσης Bar. Κάδμου est in marg. Leid.

14. Ποσειδωνίοις] ποσειδωνείοις M.

ib. Ἀμυμωνίοις addidi. Conf. ad p. 89, 23.

17. Φῦσα] φύσα A.

23. Ἄλλως om. Fl. 33.

25. ὡς ταραγμός: τὸ ἑξῆς, ὡς (γὰρ add. B.) B.M. ὡς: ἐπεὶ γὰρ A.I.

26. Verba ἵν' ᾖ ὁ νοῦς om. Valck. nimirum quia King. haec omiserat, quippe qui priora ἐπεὶ γὰρ—βασί-

παραγενομένων τῶν Ἀργείων καὶ πολεμούντων τοῖς Θηβαίοις, ὄχλος γυναικῶν εἰς τὰ βασίλεια παραγέγονεν. λέγει δὲ τὰς τοῦ χοροῦ γυναῖκας, αἵτινες νεωστὶ ἦσαν ἀπὸ Φοινίκης ἐλθοῦσαι. ἔνιοι δὲ στίζουσιν εἰς τὸ "πόλιν" καὶ τὸ "χώρει" παροξύνουσι, καὶ οὕτως ἐξηγοῦνται· ὅτι γὰρ ὄχλος καὶ ταραγμὸς εἰσῆλθεν εἰς τὴν πόλιν, χώρει πρὸς δόμους τυραννικοὺς, καὶ μένε ὅπου αἱ γυναῖκες· φιλόψογον γὰρ χρῆμα θηλειῶν ἔφυ· ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ὅτι. A.B.M.I.

ταραγμός: παρὰ τοῦ Ἀργείου στρατεύματος. Gu.

198. φιλόψογον: φιλολοίδορον. M. Gr. Cant. χρῆμα—θηλειῶν: τὸ—τῶν. Gr. χρῆμα θηλειῶν: ἤγουν αἱ γυναῖκες, περιφραστικῶς. Gr. Cant.

199. ἀφορμάς: προφάσεις. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. λόγων: ὑποθέσεων. Gu.

201. ὑγιές: ἀληθές. Gr. Fl. 5. 6. 9. 21. 33. 56. 59. 76.

202.—215. Τὴν θάλασσαν τῆς Τύρου λιποῦσα ἦλθον ἐξαίρετον ἀνάθημα τῷ Λοξίᾳ, ἤγουν τῷ Ἀπόλλωνι, ἀπὸ χερρονήσου τῆς Φοινίκης, δούλη τῶν οἰκημάτων τοῦ Φοίβου, ὅπου ὑπὸ τοῖς ἀκρωτηρίοις τοῖς χιονοβλήτοις τοῦ Παρνασοῦ ἐκληρώθην οἰκῆσαι, νηῒ πλεύσασα κατὰ τὸν πόντον τὸν Ἰόνιον, Ζεφύρου σφοδρῶς πνεύσαντος ἐν τῷ ἀέρι κάλλιστα κελαδήματα ὑπὲρ τῶν πεδίων τῆς Σικελίας τῶν πολυκάρπων, ἐκ τῆς ἐμῆς πόλεως ἐκλεχθεῖσα ἐξαίρετος τῷ Λοξίᾳ. Gr. Cant. Mosq.

Τύριον οἶδμα: ὁ χορὸς ἐκ Φοινισσῶν. ἐπειδὴ οἱ Ἀγηνορίδαι ποιήσαντες τὴν Φοινίκην νῆσον ἐπραίδευσαν καὶ αἰχμαλώτους ἔλαβον

λεια in parenthesi, reliqua in scholiis posuit. Uterque antea εἰσῆλθε τὴν πόλιν, haud dubie quia tale quid sive in Bar. sive in Cant. legerat, quod suppeditant Gr. Florr. 5. 6. 9. 21. 59. 59 76. πλῆθος γὰρ γυναικῶν ἔρχεται πρὸς τοὺς βασιλικοὺς δόμους, ἐπεὶ ταραγμὸς εἰσῆλθε τὴν πόλιν. Quae sequuntur: λέγει δὲ τὰς—ἐλθοῦσαι in Gu. sunt inter lineas scripta. MATTH.

1. παραγενομένων] παραγεναμένων M.

2. τοῦ (τοῦ om. M.) χοροῦ] τυχούσας A.

4. τὸ alterum om. M.

20. κάλλιστα κελαδήματα] κάλλιστον κελάδημα Gr. Mosq.

ib. τῶν πολυκάρπων] τῆς πολυκάρπου Mosq.

21. ἐξαίρετος Mosq. ἐξαίρετα Gr. Cant.

ib. Λοξίᾳ] ἀναθήματα add. Cant.

23. Τύριον οἶδμα om. A., praefigit vero ἄλλως, quia hoc scholion proximo est praepositum.

24. ἐπραίδευσαν] Recentiorem scholii auctorem prodit verbum novitium πραιδεύειν, de quo dixit Ducangius Gloss. p. 1210.

τὰς γυναῖκας τὰς τοῦ χοροῦ ἐπιλέκτους ἔπεμψαν τῷ Ἀπόλλωνι· πρὸ δὲ τῆς πομπῆς εὐθὺς συνήχθη κατ' αὐτῶν πόλεμος. διὰ δὲ τῶν Θηβῶν ἀποστείλαντες ἠξίωσαν τοὺς Θηβαίους συγγενεῖς ὄντας ἐκπέμψαι τῷ θεῷ εἰς Δελφούς. λέγει οὖν ταῦτα ὁ χορὸς τῷ Πολυνείκει. H. M.T. Ἄλλως. τοῦτο τὸ μέλος στάσιμον λέγεται· ὅταν γὰρ ὁ χορὸς μετὰ τὴν πάροδον λέγῃ τι μέλος πρὸς τὴν ὑπόθεσιν ἀνῆκον ἀκίνητος μένων, στάσιμον λέγεται τὸ ᾆσμα. πάροδος δέ ἐστιν ᾠδὴ χοροῦ βαδίζοντος ᾀδομένη ἅμα τῇ ἐξόδῳ, ὡς τὸ "σῖγα σῖγα λευκὸν ἴχνος ἀρβύλης τίθετε." ἔδει δὲ, φασὶν, ἀπὸ πολιτίδων, ἢ συγγενίδων τῆς Ἰοκάστης τὸν χορὸν εἶναι, αἵτινες ἔμελλον παραμυθήσασθαι αὐτὴν ἐπὶ τοῖς συμβᾶσιν. ἐπίτηδες δὲ οὐκ εἰσὶν ἐγχώριαι αἱ ἀπὸ τοῦ χοροῦ, ἀλλὰ ξέναι καὶ ἱερόδουλοι, ὅπως ἐν τοῖς ἑξῆς ἀδεῶς ἀντιλέγοιεν πρὸς τὴν Ἐτεοκλέους ἀδικίαν· "οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς." ἀεὶ γὰρ ὁ χορὸς παρρησιαζόμενος τοῦ δικαίου προΐσταται. πῶς οὖν ἔμελλον τὸν βασιλέα ἐλέγχειν, εἰ ὑπ' αὐτοῦ ἐβασιλεύοντο; A.B.H.M.T.I. Τύριον: πόλις Φοινίκης. M.

202. Τύριον οἶδμα: δέον ἐκ Θηβαίων γυναικῶν συνιστάμενον τὸν χορὸν Ἰοκάστην παραμυθεῖσθαι ἐπὶ τοῖς συμβᾶσιν, ἐπίτηδες οὐκ ἐξ ἐγχωρίων, ἀλλ' ἐκ ξένων συνέστηκεν, ὅπως ἀδεῶς ἀντιλέγοιεν τῇ Ἐτεοκλέους πλεονεξίᾳ, ὥστε πῶς ἔμελλον τὸν βασιλέα ἐλέγχειν,

1. τὰς τοῦ] τὰς om. A.H.T.
2. δὲ τῶν Θ.] τῶν θ. δὲ A.
4. Πολυνείκει] πολυνείκη A.
5. Ἄλλως addidi ex M. τύριον οἶδμα praefixum in A.
ib. μέλος] μέρος H.M.
ib. γὰρ om. A.
6. λέγῃ] λέγει I.
ib. πρὸς τὴν ὑπόθεσιν ἀνῆκον] ἀνῆκον τῇ ὑποθέσει I.
7. μένων] μὲν A.
ib. λέγεται] καλεῖται I.
ib. τὸ ᾆσμα om. I.
ib. ἐστιν] λέγεται H.
8. ἐξόδῳ] Immo εἰσόδῳ.
ib. ὡς τὸ] Orest. 140.
ib. Alterum σῖγα om. B.I.
ib. λευκὸν] λεπτὸν H. (non A.) I.
9. τίθεται A.M.: unde τίθετε correxi. τιθεῖτε B.I., om. H.
ib. φασὶν] Verbum φασὶν indicium praebet alterius annotationem contrahentis. VALCK. φ' (i. e. φησὶν) B.
ib. πολιτίδων] συμπολιτίδων B.I.
ib. συγγενίδων] συγγενῶν H.
10. τὸν χορὸν εἶναι (εἶναι τὸν χορὸν H.) om. I.
11. τοῖς συμβᾶσιν—ἀντιλέγοιεν om. H.
ib. δὲ addidi ex A.B.M.
ib. ἀπὸ addidi ex A. (qui αἱ omittit) M.T.
12. ξέναι καὶ ἱερόδουλοι] ξένοι καὶ ἱερόδημοι A.M.T.
14. παρρησιαζόμενος] παρρησιασάμενος I.
15. ὑπ' αὐτοῦ ante ἐβασιλεύοντο habent A.M. post ἐβασιλεύοντο B.T.I., om. H.
17. τὸν om. Gu.
20. ὥστε πῶς] ὥσπερ I.

εἴπερ ὑπ' αὐτοῦ ἐβασιλεύοντο; διὰ τοῦτο Φοίνισσαί εἰσιν αἰχμαλώτιδες, Ἀγηνοριδῶν πεπορθηκότων Τύρον καὶ τὰς ἐκκρίτους αὐτῶν Ἀπόλλωνι πεπομφότων, ἃς καὶ ἀκροθίνια Εὐριπίδης λέγει Λοξίᾳ. ἀπερχόμεναι οὖν διὰ τῶν Θηβῶν ἐκεῖσε ἠναγκάσθησαν εἰς Θήβας ἐπιμεῖναι διὰ τὸν ἐπιστάντα πόλεμον τῶν Ἀργείων. Gu. Leid. I.

οἶδμα: τὸ κῦμα, τὸ πέλαγος. M. τὸ πέλαγος. ἀκροθίνια δὲ κυρίως μὲν αἱ τῶν καρπῶν ἀπαρχαὶ, παρὰ τὸν θῖνα, ὅ ἐστι τὸν σωρὸν τῆς ἅλω, καταχρηστικῶς δὲ οὕτως λέγονται καὶ αἱ ἀπαρχαὶ τῆς λείας. A.B.H.M. Gu. I.

204. Φοινίσσας ἀπὸ νάσου: οὐ νῆσος, ἀλλ' ἤπειρος ἡ Φοινίκη παράλιος. κατεχρήσατο τοίνυν τῇ φράσει. τινὲς δὲ Φοινίσσας νήσου τῆς Τύρου· νησιάζεται γάρ. οἱ ἀπ' Ἀγήνορος καταγόμενοι, συγγένειαν ἔχοντες πρὸς τοὺς περὶ Ἐτεοκλέα, ἃς ἔλαβον αἰχμαλώτους τὴν Τύρον ἑλόντες ἀπέστειλαν αὐτῷ, ἵνα εἰς Δελφοὺς ἀποσταλῶσι διὰ τοῦ Ἐτεοκλέους ἀναθήματα τῷ θεῷ. ἐπεὶ οὖν ἄδηλον ἦν πόθεν ἐληλύθεισαν αὗται, πεποίηκε τὴν κατ' αὐτὰς τύχην ἀπαγγεῖλαι. A.B.C.H.M.I.

Φοινίσσας ἀπὸ νάσου: οὐ νῆσος ἡ Φοίνισσα, ἀλλὰ παράλιος μόνον. ἀγνοοῦντες τοίνυν τινὲς πῶς τοῦτο Εὐριπίδης φησὶ νῆσον τὴν Φοίνισσαν ἀπατώμενοι λέγουσι. τὸ δέ ἐστι τοιοῦτον· ἔβαν ἀπὸ τῆς νήσου τῆς Τύρου. ἡ δὲ νῆσος τῆς Φοινίσσης ἐστί. δῆλον δ' ἐντεῦθεν· αὐτὸς γὰρ ὁ χορὸς τοῦτο παριστᾷ λέγων "Τύριον οἶδμα προλιποῦσα," καὶ μετὰ ταῦτα ἐπιφέρων "Φοινίσσας ἀπὸ νάσου." Gu.

1. αἰχμαλώτιδες] Frequens in libris accentus: rectus est αἰχμαλωτίδες.

2. πεπορθηκότων Gu. ἐκπεπορθηκότων Leid. I.

3. ἀπόλλωνι Gu. τῷ ἀπόλλωνι Leid. I.

4. ἀπερχόμεναι οὖν] ἀπερχόμενος δὲ ὁ χορὸς Gu., licet sequatur ἠναγκάσθησαν.

6. τὸ πέλαγος. ἀκροθίνια δὲ κυρίως μὲν αἱ (αἱ om. B.) τῶν] ἀκροθίνια λοξίᾳ: ἀκροθίνια κυρίως αἱ τῶν H.M. Gu.

8. τῆς ἅλω] τῆς ἅλ B. τῆς ἅλωνος H. Gu. τοῦ ἅλωνος A.

ib. οὕτως (οὕτω A.) om. B. Gu. I.

ib. καὶ om. A.H.

10. Φοινίκη παράλιος. κ.] φοίνιξ. παραλόγως κ. Fl. 33.

12. νήσου] ἀπὸ νήσου C.

ib. τῆς Τύρου] Vid. Hemst. ad Lucian. vol. 1. p. 87. VALCK.

13. σ. ἔχοντες — ἀπέστειλαν] ἃς ἔλαβον αἰχμαλωτίδους ἔχοντες σ. τοὺς περὶ ἐ. ἀπέστειλαν αὐτῷ τὴν τύρον λαβόντες C.

14. αὐτῷ] αὐτοὺς A.

ib. ἵνα—ἀναθήματα] ἵνα δι' αὐτοῦ τοῦ ἐτεοκλέους εἰς δελφοὺς ἀποσταλῶσιν ἀναθήματα I.

15. διὰ τοῦ] διὰ τὰ A.

16. αὗται ex C.H. pro αὐτάς.

ib. κατ' αὐτὰς] κατ' αὐτοῦ M.

ἵν' ὑπό: ὅπως ὑπὸ ταῖς ἐξοχαῖς ταῖς χιονιζομέναις τοῦ Παρνασσοῦ ταχθήσωμαι οἰκῆσαι. I. ὅπου. Gr. ὅπου, ἤγουν ἐν τοῖς οἰκήμασι. Fl. 33. *δειράσι*: ὑπὸ ταῖς ἐξοχαῖς. M. τοῖς ἀκρωτηρίοις. Gr. ἐξοχαῖς. Gu. *νιφοβόλοις*: χιονιζομένοις. B. χιονιζόμενος οἰκήσω. M. τοῖς χιονοβλήτοις. Gr. τοῖς ὑπὸ χιόνος βαλλομένοις διὰ τὸ ὕψος. Gu.

207. Παρνασοῦ: τῶν Δελφῶν, ἀπὸ Πάρνηθος βασιλέως. τοῦ ὄρους ἐγγύς. Gu.

κατενάσθην: τινὲς ἀντὶ τοῦ καταναςθήσομαι. καὶ Σιμωνίδης ἐν ἰάμβοις

τί ταῦτα διὰ μακρῶν λόγων ἀνέδραμον;

ἀντὶ τοῦ ἀναδραμεῖν μέλλω. ἐγὼ δὲ οἶμαι οὕτως εἶναι· ὅπου ἐν Φοινίκῃ κατετάχθην οἰκῆσαι τὸν Παρνασσὸν τῇ ἐλάτῃ πλεύσασα. A.B. H.M.T.I.

208. Ἰόνιον κατὰ πόντον: διαπορεῖται πῶς λέγουσιν αἱ κατὰ τὸν χορὸν ἀπὸ Φοινίκης εἰς Δελφοὺς πλεύσασαι κατὰ τὸν Ἰόνιον πόντον καὶ Σικελίαν γεγονέναι, καὶ ταῦτα Ζεφύρου πνεύσαντος καὶ ἐναντιουμένου τῷ πλῷ. δεῖ οὖν τὸ ἑξῆς ἀκούειν, Τύριον οἶδμα λιποῦσα ἔβαν ἐλάτᾳ πλεύσασα δικώπῳ. λοιπὸν τὴν αἰτίαν τοῦ κώπαις αὐτὰς, καὶ μὴ οὐρίᾳ, πεπλευκέναι, ἀποδιδόασι τὴν τοῦ Ζεφύρου πνοὴν, ὃς ἐκ

1. ὅπως—ταχθήσωμαι] ὅπου—ταχθήσομαι Valck.

3. ὑπὸ ταῖς ἐξοχαῖς] Praecedit in M. gl. ad Φοίβῳ δούλα (v. 205.) οἷον πρὸς τᾶρ... δούλη τοῦ ἡλίου.

4. χιονιζομένοις] Immo χιονιζομέναις, et mox ταῖς—βαλλομέναις.

9. τινὲς addidi ex A.M. τινὲς δὲ est in H. In B.I. hoc scholion sequitur post ἀπαρχαὶ τῆς λείας (v. 203.) hoc modo καὶ τὸ κατενάσθην ἀντὶ τοῦ καταναςθήσομαι (καταναστήσομαι I.) etc.

ib. καταναςθήσομαι] κατευνασθήσομαι H.

ib. ἐν om. H.

11. διὰ] τῶν I.

12. εἶναι] ἐστὶν I. Neutrum est in M.

ib. ἐν] ἐμ M.

13. τῇ ἐλάτῃ πλεύσασα om. I.

15. διαπορεῖται] διαπυροῦσι I.

ib. λέγουσιν] λέγει H. In A. prima scholii verba evanida.

16. εἰς Δελφοὺς om. H.

ib. πλεύσασαι] πλεῦσαι I. ἐκπλεύσασα Havu.

18. ἔβαν A.B. ἔβην ceteri.

19. πλεύσασα δικώπῳ addidi ex A.B.H.T.

ib. λοιπὸν (λιπὸν I.) om. H. et (qui priorem tantum scholii partem usque ad εἰς Ἑλλάδα habet) Gu.

ib. αὐτὰς] αὐταῖς A.T.

20. οὐρίᾳ] οὐρίαν M.T. ὅρια A.H. οὐρίως Gu.

ib. ἀποδιδόασι] ἀποδίδωσι Gu.

ib. τὴν—πνοὴν] τῇ—πνοῇ Gu. I.

ib. τοῦ addidi ex T.

τῶν δυτικῶν πνέων ἀντιβαίνει τοῖς ἀπ' ἀνατολῆς ἐπὶ τὰ δυτικὰ ἐρχομένοις, ὅ ἐστιν ἀπὸ Συρίας εἰς Ἑλλάδα. ἐλάτῃ τοίνυν ἔπλευσα τοῦ Ζεφύρου κατὰ τὸν οὐρανὸν πνεύσαντος καλλίστῳ κελαδήματι ὑπεράνω τῶν Ἰονίων καὶ τῶν ἀκαρπίστων πεδίων τῆς Σικελίας, ἅπερ εἰσὶ δυτικά. ἀκάρπιστα δὲ πεδία οἱ μὲν τὰ πολύκαρπα, οἱ δὲ τὰ θαλάσσια πεδία, ὅ ἐστι τὰ ἄκαρπα, ὥς που καὶ ἀτρύγετος λέγεται. ἔνιοι δὲ Ἰόνιον πόντον ἀκούουσι τὸ κατ' Εὔβοιαν πέλαγος τὸ περὶ Ἰονίαν πόλιν Εὐβοίας, ἣν ἔκτισεν Ἴων ὁ Ξούθου, βασιλεύσας ἔτη κζ', ἵν' ᾖ, ἐλάτᾳ πλεύσασα τὸν Ἰόνιον κατὰ πόντον τοῦ Ζεφύρου πνεύσαντος, ὑπεράνω τῶν ἀκαρπίστων πεδίων τῆς Σικελίας. Σικελίαν δὲ εἶναι μικρὰν νῆσον μεταξὺ Χαλκίδος καὶ Αὐλίδος. ταύτην δὲ ἄκαρπον εἰρῆσθαι, παραβαλλομένην τῇ μεγάλῃ νήσῳ καὶ πολυκάρπῳ Σικελίᾳ. οἱ δέ φασιν Αἰσχύλῳ αὐτὸν ἕπεσθαι οἰομένῳ πάντα πόντον Ἰόνιον λέγεσθαι ὃν ἀλωμένη ἐπῆλθεν ἡ Ἰώ· ὅθεν καί, ὡς ἐναντίου ἀνέμου πνέοντος τοῖς ἀπὸ Φοινίκης πλέουσι, κώπῃ πεπλευκέναι φασίν, ἢ καὶ πνεύσαντος ἤδη τοῦ Ζεφύρου καὶ πεπαυμένου, ὅτε γαληνὸν τὸ πέλα-

1. τοῖς ἀπ' ἀνατολῆς] τοῖς ἀπ' ἀνατολῶν Gu. τοῖς ἀπὸ ἀνατολῆς B.I. τὴν ἀπὸ ἀνατολῶν H. τὴν ἀνατολὴν M. In A. est ὃς ἐπεὶ ἐκ τῶν δυτικῶν πνέων ἀντιβαίνει τὴν ἀπὸ ἀνατολῶν ἐπὶ τὰ δυτικὰ ἐρχομένοις etc.

ib. ἐρχομένοις A.B. quod haud dubie etiam in M. fuit, in quo hoc vocabulum obliteratum est. ἐρχομένην Gu. πλέουσι I.

2. ὅ] ὅς I.

3. ὑπεράνω] ὑπὲρ ἄνω A.I.

4. Ἰονίων] ἰωνίων B.I.

ib. καὶ τῶν] καὶ om. A.

ib. τῆς Σικελίας om. I.

5. πεδία addidi ex A.M.

6. ὥς που—λέγεται obliterata in M. In A.H.T. est ὅπου καὶ ἀτρύγετος λέγεται ἡ θάλασσα. "Homerus aliquoties πόντον ἐπ' ἀτρύγετον dixit: hujus usum respiciens scripsisse videtur: ὡς καὶ Ὅμηρος πόντον ἀτρύγετον λέγει." VALCK. ἀτρύγετον I.

ib. ἔνιοι] οἱ A.H.

7. Ἰόνιον] ἰώνιον B.

ib. πόντον om. I. et ut videtur M. qui πέλαγος om. verbis proximis partim obliteratis.

ib. ἀκούουσι] λέγουσι I.

ib. Ἰονίαν] ἰωνίαν B. τὴν ἰονίαν A.

8. ἔτη—ἐλάτᾳ] ἔτι κζ. Ἔτι. ἐλάτα I.

ib. κζ'] κϛ' H.M.T.

9. τὸν om. om. A.B.

ib. τοῦ Ζεφύρου] τοῦ om. A.

10. ὑπεράνω] ἐπάνω A.

ib. τῆς Σικελίας] τῆς om. A.

ib. δὲ εἶναι A.B.M. δέ φασιν εἶναι I. et fortasse T. In H. est σικελία δέ ἐστι μικρὰ νῆσος et εἴρηκε pro εἰρῆσθαι.

11. Χαλκίδος καὶ Αὐλίδος] αὐλίδος καὶ χαλκίδος A.

13. Αἰσχύλῳ] Pron. 845.

ib. ἕπεσθαι—ἐπῆλθεν obliterata in M.

ib. πόντον A.H. τόπον B.I.

ib. Ἰόνιον] ἰώνιον A.

14. ἐπῆλθεν] περιῆλθεν H.T.

ib. Ἰώ] ἰνώ A.B.I.

γος ἦν ἐν ἐαρινῇ ὥρᾳ. ὁ δὲ Κράτης φησὶν αὐτὰς δηλοῦν τὴν ὥραν καθ' ἣν ἐκομίσθησαν εἰς τὴν Ἑλλάδα, τὴν μετὰ Ζεφύρου πνοὰς, τοῦ φαινομένου κατὰ τὸν Ἰόνιον κόλπον. σημαίνει οὖν τὸν ἐαρινὸν καιρόν. οἱ δὲ λέγουσι τοὺς ἀπὸ Συρίας εἰς τὴν Ἑλλάδα εἰσβάλλοντας τὸν Ἰόνιον πόντον περᾶν. A.B.H.M.T.I.

ἐλάτᾳ: τῇ κωπηλασίᾳ. M. Gu.

209. περιρρύτων: τῶν σφοδρῶς ῥεομένων, ἢ κύκλῳ χεομένων. ἀκάρπιστα δὲ πεδία τὴν θάλασσάν φησιν. ἱππεύσαντος δὲ ἐπεὶ πεζεύειν αἱ νῆες δοκοῦσιν ὀχήματος τρόπον, ὡς καὶ Ἴων,

ὅταν δὲ πόντου πεδίον Αἰγαῖον δράμω.

καὶ Αἰσχύλος Νηρεῖσι

δελφινοφόρον πεδίον πόντου
διαμειψάμεναι.

A.B.C.H.M.T.I. Ἄλλως. τὸ ἑξῆς τοῦ λόγου, ἐπλεύσαμεν ἐλάτῃ Ζεφύρου πνεύσαντος ἄνωθεν ἐξ αἰθέρος διὰ τοῦ σφοδροτάτου πελάγους

1. ἦν hoc loco A.B.M., post γαληνὸν I.

ib. ἐαρινῇ ὥρᾳ scripsi pro ὥρᾳ εἰαρινῇ. In M. est εἰαρινῇ ὥρᾳ, in A. ὥρῃ εἰαρινῇ, ut est apud Homerum.

ib. φησὶν—ὥραν] φησὶ πανταχόθεν αὐτοῦ δηλοῦντος τὴν ὥραν T. φησὶν ἀντιδηλοῦν τὴν ὥραν H.

2. ἐκομίσθησαν] ἐκυλίσθησαν A.

5. πόντον] κόλπον A.

7. Lemma περιρρύτων est in B.C. fuitque haud dubie in M. in quo prima scholii verba usque ad χεομένων nunc legi nequeunt. ἀκαρπίστων est in I.

ib. τῶν om. C.

ib. ἢ A.B.C.H. καὶ I.

ib. κύκλῳ om. I. In Gu. gl. est κύκλῳ περιρρεομένων.

ib. χεομένων] κεχυμένων C.

8. Addidi ἱππεύσαντος δέ.

9. πεζεύειν H.T. ζεύγειν C. ἱππεύειν I. Quod servavit Valck. cum hac annotatione "Vide Gatakeri Adv. Misc. 2, 17. fine. Cum equis etiam naves comparantur: Cornutus de N. D. c. 22. p. 195. καθάπερ ἵπποις ταῖς ναυσὶ χρώμεθα. Plautus Rudente 1. v. 10. *Nempe equo ligneo per vias coeruleas estis vectae:* hinc nata fuit fabula de Bellerophontis equo."

ib. αἱ νῆες] αἰγεῖ (sic) C.

ib. δοκοῦσιν] Quae inter δοκοῦσι et καὶ αἰσχύλος leguntur obliterata in M.

ib. ὡς A.B.C. οὕτω I.

ib. Ἴων] λέγεται addit C.

10. δράμω] δράκω A.B.C.

11. Νηρεῖσι] νιρίσι C. Attica scriptura Νηρῆσι est.

12. δελφινοφόρον Barnes. δελφινόφορον M. δελφίνορον B. (vocabulo inter duos versus diviso, quorum alter ab ρον incipit) et C.T. δελφινορὸν I. δελφινόρον A. δελφήνηρον H.

ib. πεδίον om. C. Aeschylus non dubitandum quin πόντου πεδίον scripserit, quod Valck. posuit.

ib. πόντου] πῶς I.

13. διαμειψάμεναι de choro Nereidum dictum esse monet Valck. διαμειψάμενος C.

τῆς Σικελίας περὶ τὸ στενὸν, ὅ ἐστι τὸ Ἰόνιον πέλαγος, εἰς ὃ ἐμβάλλουσιν οἱ ἀπὸ Συρίας εἰς Ἑλλάδα ἀπιόντες. A.

210. ὑπὲρ ἀκαρπίστων: ὑπεράνωθεν πολυκαρπίστων. M.

211. Ζεφύρου πνοαῖς ἱππεύσαντος: ἀπὸ τοῦ οὐρανοῦ σφοδρῶς πνεύσαντος. καλῶς δὲ τὸ ἐξ οὐρανοῦ αὐτὸν λέγει πνεῖν, ἐπεὶ ἐν ὕψει κεῖται ἡ Σικελία. A.H.M.T. Ἄλλως. σφοδρῶς καταπνεύσαντος ἐξ ὕψους τὸ κάλλιστον ἑαυτοῦ πνεῦμα. κάλλιστον δέ φησιν αὐτὸν ἔχειν πνεῦμα, εἰ καὶ ἐναντίον τῷ χορῷ γέγονεν, ὅτι ἡδύς ἐστιν ὁ Ζέφυρος θέρους ὥρᾳ πνέων εἰς εὐρωστίαν. καὶ Ὅμηρος

ἀλλ' αἰεὶ Ζεφύροιο λιγυπνείοντος ἀήτας,
Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους.

τὸ φύσει οὖν κάλλιστόν φησιν, οὐ τὸ ἑαυταῖς κάλλιστον· ἐναντίον γὰρ ἦν. A.B.H.M.T.I. ἱππεύσαντος: δραμόντος. M.

214. ἐκπροκριθεῖσ': ἐκλεχθεῖσα. Gr. ἐπιλεχθεῖσα. M. ἐπιλεχθεῖσα ἐγὼ ἐκ τῆς ἐμῆς πόλεως ὡς καλλίστευμά τι καὶ ἄγαλμα τῷ Λοξίᾳ. ὡς πρὸς τὸ σημαινόμενον δὲ ἀπέδωκεν· ἐκ πολλῶν γὰρ ὁ χορός. A.H.T.

215. καλλιστεύματα: ἐπίλεκτα δῶρα. B.M.

3. πολυκαρπίστων] πολυκάρπων gl. in Gr.

5. δὲ τὸ ἐξ M. δὲ ἐξ T. δὲ καὶ τὸ ἐξ H. In A. καλῶς δὲ λέγει τὸ ἐξ οὐρανοῦ αὐτὸν πνεῖν etc.

ib. ἐπεὶ] ἐπεὶ καὶ H.

6. Ἄλλως om. B.I.

ib. σφοδρῶς] Lemma ἱππεύσαντος praefixum in B "Una saepe vox his in scholiis praefigitur diversarum interpretamentis: hunc in modum ista scribi potuerant: ἱππεύσαντος] σφοδρῶς καταπνεύσαντος. ἐν οὐρανῷ] ἐξ ὕψους. κάλλιστοι κελάδημα] τὸ κάλλιστον (ἐξ) ἑαυτοῦ πνεῦμα, (εἰ) καὶ ἐναντίον τῷ χορῷ γέγονεν· voculas ἐξ et εἰ vulgatis interserendas suspicor." VALCK. In Gu. haec interpretamenta supra voces illas adscripta sunt. In C. haec, ἱππεύσαντος: πνεύσαντος. ἐν οὐρανῷ: διὰ τοῦ ἀέρος. κάλλιστον κελάδημα: πνεῦμα κατὰ τὸν καιρὸν τοῦ θέρους τῇ ῥώμῃ τῆς πόλεως.

7. κάλλιστον δέ φησιν αὐτὸν ἔχειν πνεῦμα, εἰ om. I.

ib. φησιν αὐτὸν] αὐτόν φησιν B.

8. ἐναντίον] ἐναντίος T. ἐναντίως A.

ib. ἡδύς ἐστιν ὁ] ἡ δύσις ὁ I. ἡδύς τίς ἐστιν ὁ B.

9. θέρους ὥρᾳ πνέων A.M. πνέων ὥρᾳ θέρους ceteri.

ib. εἰς] πρὸς H.T.I.

ib. καὶ (καὶ om. T.I., ὡς est in B. ὡς καὶ A.) Ὅμηρος] Od. 4, 567.

10. λιγυπνείοντος] λιγὺ πνείοντος A. B. λιγυπνέοντος M.

ib. ἀνθρώπους] ἀνθρώποισι M. ἀνθρώποισιν A.

12. φησιν] Scribi poterit φασιν, quia sequitur ἑαυταῖς· poterit tamen et illud retineri. VALCK.

ib. οὐ τὸ] αὐτὸν H.M., om. A.

ib. ἑαυταῖς] εὐχ ἑαυτῷ H. ἑαυτὸν A.

15. ὡς—Λοξίᾳ habet etiam Fl. 33.

ib. ὡς καλλίστευμά τι καὶ ἄγαλμα] ὥστε καλλιστεύματα καὶ ἀγάλματα T.

16. δὲ om. H.

216.—219. ἦλθον δὲ εἰς τὴν γῆν τῶν ἀπὸ τοῦ Κάδμου, ἐνθάδε πεμφθεῖσα ἐπὶ τοὺς πύργους τοῦ Λαΐου τοὺς ὁμογενεῖς, ἤγουν ἐπὶ τὴν πόλιν τοῦ Λαΐου τὴν συγγενεῖς ἄρχοντας ἔχουσαν τῶν ἀρχόντων τῆς Φοινίκης. Gr. Cant. Mosq. Καδμείων: ἐνταῦθα εἰς τὴν τῶν Καδμείων γῆν ἀποσταλεῖσα, εἰς τοὺς οἴκους τοῦ Λαΐου καὶ τούτου τοὺς παῖδας συγγενεῖς ὄντας τῶν κλεινῶν Ἀγηνοριδῶν· τῶν γὰρ Ἀγήνορος οἱ μὲν τὰς Θήβας ᾤκησαν, οἱ δὲ τὴν Φοινίκην, οἱ δὲ ἄλλην χώραν. M.T. Fl. 33.

217. κλεινῶν Ἀγηνοριδῶν: οἱ αὐτοὶ Καδμεῖοι καὶ Ἀγηνορίδαι, ἐπεὶ πατὴρ τοῦ Κάδμου ὁ Ἀγήνωρ. Gr. Cant. ἢ εἰς τὸ γᾶν ὑποστικτέον ἢ εἰς τὸ Ἀγηνοριδῶν. Gu.

κλεινῶν Ἀγηνοριδᾶν: τινὲς εἰς τὸ Ἀγηνοριδῶν στίζουσιν. τὸ δὲ ὁμογενεῖς ἀντὶ τοῦ συγγενεῖς ἡμῖν. Ἄλλως. ἐπὶ τοὺς ὁμογενεῖς τῶν Ἀγηνοριδῶν πύργους τοῦ Λαΐου πεμφθεῖσα ἐνθάδε. Ἀγήνορος δὲ παῖδες Κάδμος, Θάσος, Κηφεύς, Κίλιξ, Φοῖνιξ, Εὐρώπη, Φινεύς. ἐπὶ Λαΐου δὲ ἤγουν ἐπὶ τοὺς πύργους τοῦ Λαΐου πεμφθεῖσα, ὅ ἐστιν εἰς Θήβας. ἢ πύργους φησὶ τοὺς υἱοὺς τὸν Ἐτεοκλέα καὶ Πολυνείκην, ὁμογενεῖς δὲ τῶν Φοινίκων. A.B.H.M.T.I.

1. ἦλθον—Κάδμου om. Mosq. Idem et Gr. π. ἐνθάδε.

2. τοὺς ὁμογενεῖς, ἤγουν om. Cant.

4. ἐνταῦθα—] In Flor. hoc scholion cohaeret cum altero ad v. 217. edito.

12. ἀγηνοριδᾶν ex B. pro Ἀγηνοριδῶν.

13. ἀντὶ τοῦ συγγενεῖς om. M.

ib. Ἄλλως addidi ex T. In B. est ἤ.

ib. ἐπὶ τοὺς—] Ab his verbis incipit etiam hoc scholion in Fl. 33. Seqq. Ἀγήνορος—πεμφθεῖσα desunt in Havn. Pro ἐπὶ Λ. οὖν φησιν ἀντὶ τοῦ ἐπὶ πύργους Flor. tantum habet ἐπὶ τοὺς πύργους. Pro ὅ ἐστιν εἰς Θήβας Flor. et Havn. ὅ ἐστι τὰς Θ. tum ἢ πύργους φασὶ (hoc. om. Havn.) τοὺς υἱοὺς (Οἰδίποδος add. Fl.) Ἐτεοκλέα καὶ Πολυνείκην. (ἢ τοὺς πολίτας add. Fl.) MATTH.

14. τοῦ Λαΐου M. τοῦ om. ceteri.

ib. ἐνθάδε addidi ex A.B.M.

15. δὲ om. M.

ib. Κάδμος om. A.

ib. Κηφεὺς] κῖφεὺς A.

ib. Φοῖνιξ] φοίνιξ B.

16. ἐπὶ Λαΐου δὲ ἤγουν ἐπὶ τοὺς πύργους B. ἐπὶ Λαΐου ἐπὶ τοὺς (τοὺς etiam in A.) πύργους M. ἐπὶ Λαΐου οὖν φησὶν ἀντὶ τοῦ ἐπὶ πύργους I. ἐπὶ Λαΐου—ἀντὶ τοῦ om. A.

17. ἢ πύργους φησὶ τοὺς υἱοὺς τὸν B.M. τινὲς δὲ πύργους φασὶ λαΐου τὸν I. ἢ πύργους λαΐου τὸν A.

ib. τὸν et καὶ om. B.

ib. Ἐτεοκλέα] ἐτεοκλῆ I. Illud est etiam in scholio Gu. (super πύργους) ἢ τὸν Ἐτεοκλέα καὶ τὸν Πολυνείκην πύργους καλεῖ, ἢ τὰς Θήβας ἀπὸ μέρους καλεῖ.

ib. Πολυνείκην] πολυνείκ cum compendio ην significante B. Ceteri πολυνείκη.

218. ὁμογενεῖς: πρὸς τοὺς συγγενεῖς. B. συγγενεῖς, συγγενικούς. Gu.

219. πεμφθεῖσ᾽: παρὰ τῶν Ἀγηνοριδῶν τῶν ἐν τῇ Φοινίκῃ. Gu.

220. ἴσα δ᾽ ἀγάλμασι: ἀντὶ τοῦ ὁμοίως καὶ ἴσως ἀγάλμασι χρυσέοισιν, ὥσπερ τι διὰ χρυσοῦ κατεσκευασμένον ἀνάθημα, οὕτως ἐπέμφθην. B.M.I. ἐπίσης. Gr. ἢ ὁμοίως. Gu. ἀγάλμασι χρυσοτεύκτοις: ἀντὶ τοῦ οὐ τὸ τυχὸν δῶρον ἐπέμφθην. M. Gu. οἷον τρίποσι, στεφάνοις, δίσκοις καί τισιν ἑτέροις. Gu. ἀναθήμασι. Gr. χρυσοτεύκτοις: ἐκ χρυσοῦ κατεσκευασμένοις. Gr.

221. ἐγενόμαν: ἀντὶ τοῦ γενήσομαι, ἵν᾽ ᾖ ὡς τὸ κατενάσθην· ἢ λάτρις καὶ δούλη ὠνομάσθην καὶ ἐτιμήθην ἡ πᾶσα τῷ θεῷ ἀφιέρωμαι. A.B.H.M.T.I.

222. ἔτι δὲ Κασταλίας: ἔτι δέ μοι ταῦτα περιλιμπάνεται ἀτελῆ, τὸ λούσασθαι ἐν τῇ Κασταλίᾳ. A.B.M.I. Ἄλλως. λείπει οὖν, φησὶν, ἐναπολούσασθαί με τῷ τῆς Κασταλίας ὕδατι καὶ διαβρέξαι τὴν ἐμαυτῆς κόμην, ἵνα ἁγνὴ γενομένη οὕτω τοῖς θεοῖς λατρεύοιμι. B.C.H. Fl. 33. I. Κασταλία δὲ πηγὴ ἐν Πυθίᾳ, εἰς ἣν λέγουσι τὰς ἱεροδούλους παρθένους λούεσθαι, μελλούσας θεοπρόπιον φθέγγεσθαι παρὰ τῷ τρίποδι. A.B.C.H.T. Fl. 33. I. παρ-

4. ἴσα—ἀντὶ τοῦ] ἴσα δὲ ἀντὶ τοῦ B.I.

5. χρυσέοισιν] χρυσέοις A.

6. ἐπέμφθην] λάτρις add. B.

10. ἐγενόμαν] ἐγενόμην δὲ B.I. cui ἐτάχθην γενέσθαι addunt Cant. Gr. In Gu. est scholion ἢ γενήσομαι, ἢ ὠνομάσθην καὶ ἐτιμήθην. Porro in B. est gl. (super ἐγενόμαν) ἢ γενήσομαι ἢ ἐγενόμην.

ib. ἀντὶ τοῦ] ἤτοι A.I.

ib. κατενάσθην] V. 215.

11. καὶ δούλη] ἢ δούλη I. ἢ δ. καὶ λ. M.

ib. ἡ πᾶσα B.M. ἤγουν πᾶσα I.

ib. ἀφιέρωμαι] ἀφιέρομαι B.I.

13. περιλιμπάνεται] ἀπολιμπάνεται M.

14. Ἄλλως] ἐπὶ δὲ κασταλίας lemma in I. Neque hoc neque Ἄλλως in C.

15. φησὶν] φη μοι B. φασὶν H.

ib. ἐναπολούσασθαι—ὕδατι] ἐναπολούσασθαί με τῷ ὕδατι τῆς κασταλίας H. λούσασθαι ἐπὶ τῷ τῆς κασταλίας ὕδατι Fl. 33.

ib. τῷ τῆς] τῆς om. C.

16. ἐμαυτῆς] ἑαυτῆς H.

ib. οὕτω τοῖς θεοῖς] τούτῳ τῷ θεῷ C.

ib. τοῖς θεοῖς λατρεύοιμι] περὶ θεοῖς λατρεύω Fl.

18. λέγουσι — ἱεροδούλους — θεοπρόπιον] λέγεται — ἱεροδούλας — θεοτρόπιον C. " Flor. habet tantum τὰς ἱεροδ. παραλούεσθαι μ. φασὶ θ. φθ. π. τ. τρ. Havn. εἰς ἣν λούουσι τὰς ἱεροδ. παρθ. μέλλ. θ. φθ. π. τῷ τρ. MATTH. Cum H. consentit A.

19. φθέγγεσθαι παρὰ] φθέγξασθαι ἐν I.

ib. παρὰ τῷ τρίποδι] περὶ τῆς πρίδος (i. e. πατρίδος) C.

ib. παρθένιον δὲ χλιδὴν om. A.

θένιον δὲ χλιδὴν αὐτὴν τὴν Κασταλίαν φησὶ, παρόσον παρθένων μόνον ἐστὶ λουτρὸν, ἢ τὰς κόμας, αἳ κάλλος καὶ τρυφή εἰσι τῶν παρθένων. A.B.C.H.T.I. *τὸ ἐν Δελφοῖς ὕδωρ.* C. *Κασταλία ὄνομα πηγῆς ἐν Ἀντιοχείᾳ.* C.

Κασταλία πηγὴ ἐν Πυθίᾳ, παρ' ἧς ἐλούοντο αἱ ἱερόδουλοι παρθένοι, αἵτινες ἔμελλον θεοπρόπιον, ἤτοι μάντευμα, ᾄδειν παρὰ τοῦ τρίποδος. μυθεύονται δὲ ὅτι καὶ τὸ τῆς Κασταλίας ὕδωρ λάλον ἦν, πλασάμενοι τοῦτο οὐκ ἀπὸ τοῦ λαλεῖν ἐκεῖνο,—ἀδύνατον γὰρ—ἀλλ' ἀπὸ τοῦ ποιεῖν τοὺς ἄλλους μαντικοὺς καὶ λέγειν δυναμένους τὰ τῶν ἄλλων ἀγνοούμενα καὶ διασαφεῖν. τὸ αὐτὸ δὲ νόει καὶ περὶ τῆς ἐν Δωδώνῃ δρυός. Gu. Leid.

224. *δεῦσαι: ἆρα οὖν, φησὶν, ἐναπολούσασθαί με τῷ τῆς Κασταλίας ὕδατι καὶ διαβρέξαι τὴν ἐμαυτῆς κόμην, ἵνα ἁγνὴ γενομένη οὕτως τοῖς θεοῖς λατρεύοιμι. Ἄλλως. τὰς κόμας δεῦσαι Φοιβείαισι λατρείαις.* A. *λοῦσαι.* Gr. *βρέξαι.* Gu. *παρθένων γὰρ τρυφὴ τὸ λούεσθαι. ἢ παρθένιον χλιδὴν λέγει τὰς κόμας.* Gu. *λοῦσαι τὰς ἐμὰς κόμας. λέγω τὴν χλιδὴν, ἤγουν τὴν τρυφὴν τὴν παρθένιον.* Gr.

225. *Φοιβείαισι λατρείαις: ἐπὶ ταῖς τοῦ Φοίβου λατρείαις.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *τὸ Φοιβείαισι λατρείαις ἢ πρὸς τὸ δεῦσαι συντακτέον, ἢ πρὸς τὸ λάμπουσα.* Gu.

226. *πέτρα: ἰὼ πέτρα λάμπουσα πρὸς δικόρυφον σέλας, ἀντὶ τοῦ ὦ Παρνασσέ.* B. *ὦ Παρνασέ.* M. *ἤγουν ἡ ἐν Παρνασῷ.* Fl. 21.

227. *δικόρυφον σέλας: διπλοῦν.* B.M. *δικόρυφον αὐτὸν εἶπεν, ἐπείπερ ἐν ἀμφοτέραις ταῖς ἄκραις τοῦ Παρνασσοῦ εἰσιν ἱερὰ, τὸ*

praefixo *ἄλλως*. *αὐτὴν* om. C. In Gu. hoc scholion sic conformatum, *παρθένιον τρυφὴν τὴν κασταλίαν φησὶ— τῶν παρθένων.*

2. *εἰσι*] *ἐστι* I.

3. *τὸ ἐν δελφοῖς ὕδωρ* in C. est gl. super *κασταλίας ὕδωρ* scriptum. Alterum gl. *κασταλίᾳ—ἀντιοχείᾳ* infra hunc versum scriptum est, qui ultimus est folii 66ª., estque grammatici recentioris. "De fonte Castalio circa Antiochiam Bochartus egit Geogr. Sacr. 2, 1, 16. p. 430." VALCK.

5. *παρ'* Gu. *ἀφ'* Leid.

ib. *αἱ ἱερόδουλοι* Gu. *τοῦ ἱεροῦ δοῦλαι* Leid.

6. *ἤτοι*] *ἢ τὸ* Leid.

ib. *παρὰ* Gu. *περὶ* Leid.

9. *καὶ λέγειν—διασαφεῖν* om. Leid.

26. *ἐπείπερ ἐν* om. A. *ὅτι ἐν* H.

μὲν Ἀρτέμιδος καὶ Ἀπόλλωνος, τὸ δὲ Διονύσου. ἐπεὶ τοίνυν ἐν ἑκατέρᾳ πῦρ ἀνάπτεται πρὸς τὰς θυσίας, ἀναγκαίως καὶ τὸ πῦρ δικόρυφον εἶπεν, ἅτε δὴ ἐν ἑκατέρᾳ ἄκρᾳ ἀναπτόμενον. οὐκ ἀπὸ τῶν δύο δὲ κορυφῶν ἀναδίδοται αὐτόματον πῦρ, ἀλλ' ἀπὸ ἑνὸς ἄκρου, δοκεῖ δὲ τοῖς κάτω ἐκ δύο ἀναδίδοσθαι, διὰ τὸν ἐπίπροσθεν σκόπελον, καὶ ὥσπερ ἐξ αὐτοῦ ἐπιμερίζεσθαι τὸ πῦρ. A.B.H.I.

σέλας: ἐκ τῶν τόπων ἐν οἷς βακχεύει ὁ Διόνυσος. Fl. 33.

δικόρυφον σέλας: δικόρυφος ὢν ὁ Παρνασὸς ἐν μὲν τῇ μιᾷ κορυφῇ Ἀρτέμιδος ἱερὸν καὶ Ἀπόλλωνος εἶχεν, ἐν δὲ θατέρᾳ Διονύσου καὶ Σεμέλης. ὅθεν καὶ δικόρυφον σέλας καλεῖ ἀπὸ τοῦ ἐν αὐταῖς ἀναπτομένου πυρὸς εἰς τὴν τῶν θεῶν θυσίαν ὀνομάσας. φασὶ δὲ καὶ ὅτι ἄμπελος ἦν ἐν τῷ τοῦ Διονύσου ἱερῷ, ἥτις καθ' ἡμέραν ἑκάστην ἔφερε βότρυν, ἐξ οὗ ἡ σπονδὴ τῷ Διονύσῳ ἐγένετο. ἐδηλοῦτο δὲ ἐντεῦθεν ὅτι Διόνυσος πρῶτος ἐχαρίσατο τοῖς ἀνθρώποις τὴν ἄμπελον, Ἰκαρίῳ δοὺς πρώτῳ, ὥσπερ καὶ Δημήτηρ τὸν σῖτον, καὶ Ἀθηνᾶ τὴν ἐλαίαν, καὶ ἕτεροι τῶν θεῶν ἕτερα. Gu. Leid.

ὑπὲρ ἄκρων βακχείων: εἰς τὴν τοῦ Διονύσου κορυφὴν εἶναί φασιν ἄμπελον, ἥτις καθ' ἑκάστην ἡμέραν ἕνα βότρυν ἔφερεν, ἐξ οὗ ἡ σπονδὴ τῷ Διονύσῳ ἐγίνετο. οἰνάνθη δὲ λέγεται ἡ πρώτη ἔκφυσις τῶν βοτρύων. οἰνάνθας οὖν βότρυν τὸν ἐξ οἰνάνθης βότρυν προκό-

1. Ἀπόλλωνος] ἡλίου A.H. "Scholiastae verbis de Parnasso non Apollini tantum, sed et Baccho sacro Is. Vossius utitur ad Catull. p. 250. *Parnasus gemino petit aethera colle, Mons Phoebo Bromioque sacer*, Lucanus 72. Δικόρυφον πλάκα dixit Eurip. Bacch. 307. Δίλοφον πέτραν, Soph. Antig. 1139." VALCK.

ib. ἑκατέρᾳ] ἑκατέρῳ H.

2. ἀναγκαίως A. ἀνάγκῃ H. τούτου χάριν B.I.

3. ἀναπτόμενον] ἁπτόμενον I.

5. ἀναδίδοσθαι—τὸ πῦρ] ἀναδίδοσθαι τὸ ἐπίπροσθεν πῦρ, ὥσπερ καὶ ἐξ αὐτῶν ἐπιμερίζεσθαι τὸν σκόπελον A. H.

8. ὢν om. Gu.

ib. ὁ addidit Valck.

9. καὶ Σεμέλης] ἢ σεμέλης Leid.

11. τῶν θεῶν] τῶν om. Leid.

ib. φασι] φασὶν Leid., omisso δὲ καί.

13. ἐξ οὗ] ὅθεν Leid.

ib. ἐδηλοῦτο—] Cum his comparari poterit Triclinius in Soph. Antig. 1146. locum scribens ubi vitis illa reperiretur a Sophocle dici πολυστάφυλον· ὅς ἐστιν (ait) ἐν τῷ Παρνασῷ, ὡς Εὐριπίδης φησί. VALCK.

14. τοῖς om. Gu.

17. εἰς τὴν τοῦ om. A.M.

ib. εἶναί φασιν M. φασὶν εἶναι ceteri.

19. ἐγίνετο ex A.M. pro ἐγένετο.

20. οἰνάνθη—ἡ ἄμπελος] Has vocum οἰνάνθη et οἴνη ejicere maluissem interpretationes; nocent enim adnotationi minime vulgari. In hunc forte locum duae fluxerant

πτοντα. οἴνη δὲ καλεῖται αὐτὴ ἡ ἄμπελος. Σοφοκλῆς δὲ ἐν Θυέστῃ ἱστορεῖ καὶ παρ' Εὐβοεῦσιν ὁμοίαν ἄμπελον εἶναι τῆς ἐν Παρνασῷ, λέγων οὕτως

ἔστι γάς τις ἐναλία
Εὐβοιὶς αἶα, τῇδε βάκχειος βότρυς

adnotationes, quarum alteram haec confecerint, οἰνάνθη μὲν λέγεται ἡ π. ε. τ. β. οἴνη δὲ ἄμπελος. alteram sequentia, οἰνάνθας νῦν βότρυν λέγει τὸν ἐξ οἰνάνθης βότρυν προκόπτοντα. VALCK.

p. 102. l. 20. οἰνάνθη—οἴνη] οἰνανθῆ—οἰνὴ M.

ib. ἐξ om. I.

1. αὐτὴ (αὐτῇ codex) addidi ex M. αὕτη A.B.

2. Θυέστῃ] Fragm. 239.

ib. παρ' Εὐβοεῦσιν] Divinae hujus atque admirandae vitis pauci meminerunt, quorum verba, Sophocli forte profutura, subjiciam: Stephanus Byz. in Νύσαι,—δεκάτη, inquit, ἐν Εὐβοίᾳ, ἔνθα διὰ μιᾶς ἡμέρας τὴν ἄμπελον φασὶν ἀνθεῖν καὶ τὸν βότρυν πεπαίνεσθαι. Quae scribit ad Dionysium Eustathius excitarunt Berkel et Holstenius. Schol. Sophoclis in Antig. 1146. χλωρὰν ἀκτὰν interpretatur τὸ ἐν Εὐβοίᾳ ἄλσος, ἢ τὸ ἐν Παρνασσῷ· ἐν ἀμφοτέροις γὰρ, addit, τοῖς τόποις ἡ ἄμπελος, ἣ καθ' ἑκάστην ἡμέραν περὶ τὴν ἕω βότρυας φέρει, περὶ δὲ τὴν μεσημβρίαν ὄμφακας· ἐτρυγᾶτο δὲ πεπανθεῖσα περὶ τὴν ἑσπέραν. Rem supra modum admirabilem novo veteres miraculo cumulasse nos docet Eustathius ad Hom. Il. N. p. 882, 38. Αἰγὰς, inquit, ἢ τὰς ἐν Εὐβοίᾳ λέγει, ἔνθα μυθεύεται τὸ κατὰ τὰς ἐφημέρους ἀμπέλους, αἳ, φασὶν, ἕωθεν ἀνθοῦσαι πρὸς μεσημβρίαν πεπαίνουσι βότρυας, ἑσπέρας δὲ ἄκρατον χορηγοῦσι δαψιλῆ τῷ χορῷ τῶν τελουμένων τῷ Διονύσῳ, ἢ τῶν Μαινάδων, ὁσάκις ἀναλίσκονται, φασὶ, τοσαυτάκις ἐνδαψιλευόμεναι. Scholiastes antiquior ad eumdem Homeri v. 12. Il. N. rem mirificam ex Euphorione sic enarrat in editis exemplaribus: Ἄμπελοι,—ἃς καλοῦσιν ἐφημέρους, ἀνισχούσης ἡμέρας καρπὸν βλαστάνουσιν. ἄχρι δὲ τῆς ἑσπέρας οἶνον ἄφθονον ἔχουσιν· diversa quaedam et meliora, meo judicio, codex exhibet Homeri Batavus: ἀνισχούσης μὲν ἡμέρας βλαστάνουσι καρπὸν, ὥστε τρέποντας αὐτοὺς ἑσπέρας οἶνον ἄφθονον ἔχειν. haec genuina quidem, nec tamen integra: melior codex alia forte dabit, quorum sententia cum his congruat: ἀνισχούσης μὲν ἡμέρας βλαστάνουσι, [μεσούσης δὲ καρπὸν πεπαίνουσιν,] ὥστε τρέποντας—. Postremum illud τρέποντας, in Ms. repertum, exspectari non poterat a librario: *uvas in torculari calcantes*, τρέποντας, Homeri dixisse videtur interpres, poëtam suum τραπέειν hoc sensu posuisse recordatus in Od. H, 125. Eustathius, τὸ τραπέουσιν, inquit p. 276, 42. ἀντὶ τοῦ πατοῦσιν. ὅθεν φασὶ καὶ τραπηταὶ, οἱ πατοῦντες τὰς σταφυλάς. Hesychius: Τραπητὸς, ὁ οἶνος. et Τραπέοντο, ἐπατοῦντο. Praeter Hesiodum Ἀσπ. v. 301. verbum illud τραπέειν Ananius etiam adhibuit ap. Athen. 7. p. 282 B. locum egregie restituit Heringa Observ. Crit. c. 21. p. 177. conf. Casaubon. Animadv. p. 503. VALCK.

ib. τῆς] τῇ I.

4. τις om. Havn.

5. Εὐβοιὶς αἶα L. Dindorfius in Thesauro 3. p. 2201. εὐβοήσασα A. H.M.T. εὐβοΐσασα B. εὐβοίας I.

ib. τῇδε βάκχειος (βακχεῖος B.I.)] τῆδοβάκχοσρος T.

ἐπ' ἦμαρ ἕρπει· πρῶτα μὲν λαμπρᾶς ἕω
κεκληματῶται χλωρὸν οἰνάνθης δέμας,
εἶτ' ἦμαρ αὔξει μέσσον ὄμφακος τύπον
καὶ κλίνεταί γε κἀποπερκοῦται βότρυς,
δείλῃ δὲ πᾶσα τέμνεται βλαστουμένη
ὀπώρα καλῶς κἀνακίρναται πότον.—A.B.H.M.T.I.

228. βακχειῶν: περισπωμένως τὸ βακχειῶν, ἵν' ᾖ ἐκ τῶν τόπων ἐν οἷς βακχεύει ὁ Διόνυσος. B. τῶν τελετῶν καὶ ἑορτῶν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. ναῶν. Gr.

229. οἶνα θ' ἃ: καὶ ὦ ἄμπελε, ἥτις τὸν πολύκαρπον βότρυν ἀποστάζεις, ἀπὸ τῆς οἰνάνθης καθ' ἑκάστην τῷ Διονύσῳ αὐτὸν ἐκπέμπουσα. οἰνάνθη δὲ ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς. A.B. H.M.I.

οἶνα: οἰνάνθης, ἤγουν τοῦ λεπτοτάτου οἴνου διδοῦσα. Gr. οἰνάνθη ἡ πρώτη ἔκφυσις τῶν βοτρύων λέγεται. οἰνάνθας οὖν βότρυν νοητέον ἐνταῦθα τὸν ἐξ οἰνάνθης καὶ ἐκ πρώτης ἐκφύσεως ὕστερον βότρυν γινόμενον. Gu. ἢ καθ' ἑκάστην ἡμέραν στάζεις οἶνον δηλονότι τὸν ἀεὶ καρποφορούμενον. Gr. καὶ ὦ οἴνη, ἤγουν ὦ ἄμπελε, ἥτις καθ' ἑκάστην ἡμέραν στάζεις οἶνον, διδοῦσα τὸν ἀεὶ καρποφορούμενον βότρυν τῆς οἰνάνθης, τουτέστι τὸν τὴν οἰνάνθην ποιοῦντα, ἤγουν τὸν λεπτότατον οἶνον. Gr. Cant. Mosq.

232. ζάθεά τ' ἄντρα: ὦ θεῖα ἄντρα καὶ ὑψηλοὶ τόποι τῶν νυμ-

1. λαμπρᾶς ἕω (ἕωι B.)] λαβραδέω M.T. λαβράσως A. λαβρᾶς H.

2. κεκληματῶται] κεκλιμάτωται I. καὶ κεκληματῶται B. ἐκκεκλιμάτωται H.

ib. χλωρὸν Bergkius. χῶρον A.M. χῶρος B.I.

ib. οἰνάνθης Barnesius. εὐάνθης I. εὐανθὴς B. εὐανθὲς H.T.

3. ἦμαρ αὔξει μέσσον μέσον I.)] ἠμαράξει μέσον M. ἦμαρ ἄξει μ A.

ib. τύπον] τρόπον I.

4. γε] τε B., om. I. γλυκαίνεταί τε Meinekius.

ib. κἀποπερκοῦται] κἀπιπερκοῦται Nauckius.

5. δείλῃ Barnes. δείλη A.B.M. δήλη H.T. δέλη I. δείλης Meinekius.

ib. πᾶσα] πᾶσι H.T.

ib. βλαστουμένη corruptum. βλαστοῦ γονὴ ὀπωροκλάστη, κᾆτα κίρναται Meinek. in Philologo vol. 18. p. 558.

6. καλῶς ὀπώρα Barnes. pro ὀπώρα καλῶς.

ib. κἀνακίρναται Porson. ad Eurip. Med. 1. pro κἀνακιρνᾶται.

10. καὶ addidi ex A.M.

11. ἀποστάζεις] στάζεις A.M. βαστάζεις H.

ib. οἰνάνθης] οἰνάνθας B.I.

ib. καθ' ἑκάστην τῷ Διονύσῳ addidi ex A.M. Habet etiam H. qui τῷ Διονύσῳ ante καθ' ἑκάστην collocat.

12. ἔκχυσις] ἔκρυσις I. In C. nihil praeter verba, οἰνάνθη γάρ ἐστιν ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς.

φῶν. A.M. τοῦ Δελφίνου ὑπὸ τὸν Παρνασὸν δείκνυται σπήλαιον. B.M.

δράκοντος: σπήλαιόν ἐστιν ἐν τῷ Παρνασῷ δράκοντος, ὃν ἀνεῖλεν Ἀπόλλων, καὶ τὸ δέρμα αὐτοῦ παρὰ τὸν ναὸν εὕρηται, τὴν τοῦ θεοῦ παριστῶν νίκην. λέγουσι δὲ καὶ τὴν Πυθίαν οὕτω παρωνομάσθαι ἀπὸ τοῦ ἐκεῖ κατασαπέντος δράκοντος· πύθω γὰρ τὸ σήπω. οἱ δὲ ἀπὸ τοῦ πεύθω, τὸ ἐρωτῶ καὶ μανθάνω, φασὶν, ἅτε κοινὸν χρηστήριον πᾶσιν ἀνθρώποις οὖσαν, ἐρωτῶσι περὶ ὧν βούλονται καὶ μανθάνουσιν. ἦν δὲ τὸ ὄνομα τοῦ δράκοντος Δελφὶν, ὅθεν καὶ ὁ τόπος τοὔνομα ἔσχηκε, Δελφοὶ καλούμενος. Gu. Leid.

233. σκοπιὰς δὲ θεῶν φησὶ τὸ κατοπτευτήριον, τόπον οὕτω καλούμενον ἐν Παρνασσῷ, ὅθεν κατοπτεύσας Ἀπόλλων τὸν Δέλφιν κατετόξευσεν. A.B.H.M.T.I.

1. δελφίνου M. δελφινι[ου] B.

ib. σπήλαιον] Pergit M. σκοπιαὶ δὲ etc. (ad v. 233.)

3. δράκοντος] Ad hunc proximosque versus Gr. haec habet glossemata, ζάθεα] ἄγαν θεῖα. δράκοντος] τοῦ δελφῖνος, ὃν ἀνεῖλεν ὁ Ἀπόλλων. (Hoc etiam e Cant. enotavit Barn. In H. hoc est scholion: ὑπὸ τὸν Παρνασσὸν δείκνυταί τι σπήλαιον τοῦ δράκοντος. [Sic etiam A., nisi quod παρνασὸν habet, τι omittit et verba τοῦ δράκοντος obliterata sunt.] vel, ut Fl. 33. habet: τοῦ δελφῦνος (sic) —ὑπὸ τὸν Παρνασσὸν δείκνυται τὸ σπήλαιον, ὃν ἀνεῖλεν ὁ Ἀπόλλων.) οὔρειαι] ὀρειναί. θεῶν] τοῦ θεοῦ τοῦ Ἀπόλλωνος. νιφοβ. τ' ὄρος ἱερὸν] καὶ ὦ χιονόβλητον ὄρος ἱερόν. τὸν Παρνασὸν πάλιν λέγει. (Hoc est etiam in Flor. 5. 6. 9. 21. 56. 59. 76.) ἑλίσσων] ἀντὶ τοῦ ἑλισσόμενος, στρεφόμενος. (et Flor. iidem.) ἀθανάτας θεοῦ] τῆς Ἀρτέμιδος. παρὰ] κατά. γύαλα] τόπους, ναούς. (et Florr. iidem.) μεσόμφαλα] τοὺς κατὰ τὸ μέσον τῆς γῆς. Δίρκαν] ἀντὶ τοῦ τὰς Θήβας. MATTH. Aliud in A. scholion, ὦ θεῖα ἄντρα καὶ ὑψηλὸς τόπος τῶν νυμφῶν. οὗτος δὲ ὁ δράκων λέγεται εἶναι ἄρεος, ὃς ἐφυλάττετο τὰ νάματα τῷ δίρκης, verbis οὗτος—δίρκης rubro liquore deletis. Nam redeunt infra ad v. 238. ubi recte ἐφύλαττε.

ib. Παρνασσῷ] παρνασσῷ Leid.

6. πύθω] τὸ πύθω Leid.

7. καὶ om. Leid.

9. Δελφὶν] δελφίνης Leid.

ib. τοὔνομα ἔσχηκε] τὸ ὄνομα ἔσχε Leid.

11. σκοπιὰς δὲ θεῶν φησι τὸ] σκοπιαὶ δὲ τὸν M.

ib. τὸ B.H. τὸν M.I.

ib. κατοπτευτήριον] Sicuti τὸ σκοπευτήριον Apollinis in Parnasso Κατοπτευτήριον, locus in insula Samo Δεικτήριον dicebatur, Attices Ἀρητήριον. VALCK. Κατοπτήριος χῶρος vocatur ab Strabone 9. p. 423., κατοπτήριον χωρίον ab Steph. Byz. s. v. Ἀνεμώρεια et Eustathio p. 274, 42. Strabonis verba reddentibus. Πέτραν Παλλάδος κατόψιον Hippol. 30. glossator codicis Flor. explicat per τὸν κατοπτεύτριον, quod τὸν κατοπτευτήριον (intellecto τόπον) vel τὸ κατοπτευτήριον scribendum.

12. Δέλφιν] δελφῖνα M. δελφῦν B. Δελφύνην vel Δελφὸν ὄφιν Meinckius ad Callim. p. 154.

σκοπιὰς θεῶν πάλιν λέγει ὃ δικόρυφον ἄνω εἶπε σέλας πυρός. σκοπιὰ δέ ἐστιν ὁ ὑψηλὸς τόπος, ἐφ' οὗ ἀναβάς τις τὰ πόρρω διεστῶτα σκοπήσει καὶ κατοπτεύσει. Gu.

234.—238. *εἴθε καταλιποῦσα τὴν Δίρκην, τουτέστι τὰς Θήβας, γενοίμην τῆς ἀθανάτου θεοῦ, ἤγουν τῆς Ἀρτέμιδος, χορὸς ἑλισσόμενος, ἤγουν στρεφόμενος, ἄφοβος κατὰ τοὺς ναοὺς τοῦ Ἀπόλλωνος τοὺς κατὰ τὸ μέσον τῆς γῆς.* Gr.

234. *ἱερὸν ἑλίσσων: τινὲς στίζουσιν εἰς τὸ ἱερόν· τὸ γὰρ ἑλίσσων ἀντὶ τοῦ περιχορεύων. (περισσὸς ὁ τε), ἵν' ᾖ, καὶ σὺ, ὦ Ἄπολλον, περιέπων τὸν Παρνασσόν. οἱ δὲ στίζουσιν εἰς τὸ " ὄρος ἱερὸν ἑλίσσων," ἵν' ᾖ, γενοίμην χορὸς τῆς θεοῦ ἑλίσσων ἐν ταῖς χορείαις τοῦτο τὸ ὄρος.* A.B.H.M.I.

ἑλίσσων: τοῦτο πρὸς τὸ χορός νοητέον, τὸ δὲ προλιποῦσα πρὸς τὴν τοῦ χοροῦ φύσιν. Gu. *ὁ Ἀπόλλων ὁ εἱλίσσων καὶ περιερχόμενος τῆς Ἀρτέμιδος καὶ τοῦ Ἡλίου κοινὰ μυστήρια.* Fl. 33. *ἑλισσόμενος, ἤγουν στεφόμενος.* Gu. Mosq. *χορεύων.* Gu.

ἀθανάτας θεοῦ: τῆς Ἀρτέμιδος. κοινὰ γὰρ αὐτῆς καὶ Ἀπόλλωνος εἰσὶ τὰ μυστήρια. B.M.

236. *ἄφοβος: οἱ γὰρ ἱερόδουλοι οὐδένα φοβοῦνται.* B.M.I.

ἄφοβος: τοῦτο λέγει διὰ τὸ παρὰ πάντων τὰς τῶν θεῶν ἱερείας τιμᾶσθαι καὶ μηδένα κίνδυνον ὑποπτεύειν ποτέ. Gu.

237. *μεσόμφαλα: μεσόμφαλον εἶπε τὴν Πυθίαν, ἐπεὶ κατὰ τὰ κοιλώματα τοῦ ὄρους μέσον τῆς γῆς κεῖται, ἐν ᾗ οἱ Δελφοί.* M.

μεσόμφαλα γύαλα Φοίβου λέγει τὸν ἐν Δελφοῖς τοῦ θεοῦ ναὸν, μέσην τῆς πάσης γῆς ἐσχηκότα χώραν, ὡς οἱ τοῦ μύθου ἀετοὶ ἔδειξαν. γύαλα δὲ κυρίως αἱ τῶν ὀρῶν κοιλότητες. Gu. Leid. *γύαλα τὰ κοιλώματα τοῦ ὄρους. τοιαῦται γὰρ αἱ φύσεις τῶν ὀρῶν ἐν βάθει καὶ ἐν ὕψει συγκειμένων.* B. Gu. I.

8. *τινὲς* om. M., *δὲ* addit H.
ib. *τὸ γὰρ*] *τὸ δὲ* B.I.
ib. *ἑλίσσων*] *εἱλίσσων* A.I.
9. *περισσὸς*] *περισσοῦς* H. *περιττὸς* I.
ib. *ἵν' ᾖ καὶ σὺ—τοῦτο τὸ ὄρος* M. *ἵν' ᾖ γενοίμην χορὸς τῆς θεοῦ, ἑλίσσων* (*ἑλίσσων* om. A. in lacuna) *ἐν ταῖς χορείαις τὸ ὄρος. οἱ δὲ στίζουσαν εἰς τὸ ὄρος ἱερὸν* (*ἱερὸν* om. A.) *ἑλίσσων, ἵν' ᾖ καὶ σὺ ὦ* (*ὦ* om. A.) *ἄπολλον περιέπων τὸν παρνασσόν* A.B.I.
17, 18. Hoc scholion etiam in Gu. qui *κοινὰ γάρ εἰσι τῆς ἀρτέμιδος καὶ ἀπόλλωνος τὰ μυστήρια.*
25. *τοῦ μύθου*] *τοῦ* om. Gu.
26. *γύαλα*] *μεσόμφαλα* Gu.
27. *βάθει καὶ ἐν ὕψει*] *ὕψει καὶ ἐν βάθει* I.
28. *συγκειμένων*] *συγκείμεναι* Gu.

238. *Δίρκαν προλιποῦσα:* ἐκεῖ ὁ Κάδμος τὸν Δελφῖνα φονεύει προνοίᾳ τῆς Ἀθηνᾶς μετὰ λίθου. οὗτος δὲ ὁ δράκων λέγεται εἶναι Ἄρεος ὃς ἐφύλαττε τὰ νάματα τῆς Δίρκης. A.

239. *νῦν δέ μοι πρὸ τειχέων:* ὁ δὲ ἀντὶ τοῦ γάρ. κατὰ ἀνάκλασιν δὲ ὁ πᾶς λόγος προῆκται, ἔχων οὕτως· ἰὼ Παρνάσσιον ὄρος λάμπον διπλῇ λαμπηδόνι, σύ τε, ὦ αὐτόθι ἐκβλαστάνουσα ἄμπελε, θεῖά τε ἄντρα τοῦ δράκοντος, οὔρειαί τε σκοπιαὶ θεῶν, σύ τε, ὦ δέσποτα Ἄπολλον, ὃς τὸ κατανιφόμενον ὄρος ἀμφιέπεις, εἴθε χορεύσαιμί σοι καὶ τῇ Ἀρτέμιδι ἄφοβος τοῦ λοιποῦ γενομένη. νῦν γὰρ ἡμᾶς ὁ παρὼν πόλεμος ἐκφοβεῖ, καὶ δέδοικα μὴ καὶ δεύτερον αἰχμάλωτος γένωμαι. εἴθε οὖν, φησὶ, παρ' ὑμῖν γενοίμην, ἵνα ἀσφαλῶς τοῦ λοιποῦ διάξαιμι. A.B.H.M.T. Fl. 33. I. *νῦν δέ μοι:* ὡς οἰκεῖον δέχεται τὸν κατὰ τῆς πόλεως πόλεμον. Gr. Cant.

240. *θούριος μολὼν Ἄρης:* ὁρμητικός. M. ὁρμητικὸς ἐλθὼν πόλεμος. Gr. Cant.

241. *αἷμα δάϊον φλέγει:* πόλεμον κινεῖ, οἷον πόλεμον ἀκμαῖον διεγείρει τῇδε τῇ πόλει. B.M.I. *αἷμα:* φόνον. Gr. Cant. *δάϊον φλέγει:* τὸν ἀπὸ τῆς μάχης ἀνάπτει. Gr. *τῇδε τῇ πόλει:* ἤγουν κατὰ τῆσδε τῆς πόλεως. Gr. Cant.

242. *ὃ μὴ τύχοι:* εἴθε μὴ συμβαίη αὐτῇ. Gr. Cant.

243.—246. *κοιναὶ γὰρ αἱ λῦπαι τῶν φίλων,* τοῖς φίλοις δηλονότι, κοινὰ δὲ τῇ χώρᾳ τῇ Φοινίσσῃ, ἤγουν τῇ τῆς Φοινίκης, εἴ τι πείσεται ἡ ἑπτάπυργος ἥδε γῆ. Gr. Cant. Mosq.

244. *κοινὰ δ', εἴ τι πείσεται:* τὸ εἴ τι εἰπὼν ἐπάγει πληθυντικῶς τὸ κοινά, οὐκ ἔξω λόγου· τὸ γὰρ εἴ τι ἀορίστως λεγόμενον ἐπὶ πολλὰ τείνει. πολλὴ δὲ ἡ χρῆσις τούτου καὶ παρὰ τῷ πεζῷ λόγῳ. Gr. Cant. Mosq. I.

246. *Φοινίσσα χώρα:* γράφεται καὶ Φοίνισσα χώρα κατ' εὐθεῖαν,

5. δὲ om. M.
ib. ὁ πᾶς] ὁ πᾶς ὁ M.
ib. ἰὼ] τὸ I.
ib. Παρνάσσιον] παρνάσιον A.
6. θεῖά τε ἄντρα] καὶ ὦ θεῖα ἄντρα A.B. καὶ ὦ θεῖον ἄντρον H.T.
8. ὄρος] ἄντρον I.
10. καὶ δεύτερον et φησὶ om. A.H.
12. διάξαιμι] διάξοιμι A.M.
16. κινεῖ, οἷον πόλεμον ἀκμαῖον om. B.I.
17. διεγείρει] διαγείρη M.
ib. τῇδε τῇ πόλει om. M.
26. πολλὴ] πολὺ Mosq.
28. γράφεται—τὸ πείσεται] ἀπὸ θεν, ἵν' ῇ ἀπὸ κοινοῦ τὸ πείσεται M.

ἵν' ᾖ ἀπὸ κοινοῦ τὸ πείσεται· εἴ τι πείσεται ἅδε γᾶ, κοινὰ πείσεται καὶ ἡ Φοίνισσα χώρα. A.B.C.M. ὑπομενεῖ ἡ Φοινίκη χώρα ὅσα ὑπομένει ἡ ἑπτάπυργος γῆ. M.

247 κοινὸν αἷμα τὸ γένος τὸ ἐν τῇδε τῇ γῇ καὶ τῇ Φοινίκῃ. Gr. Cant. τουτέστι καὶ οἱ ἐκ Θηβῶν καὶ οἱ ἐκ Φοινίσσης ἓν εἰσι γένος, τέκνα ὄντες Ἰοῦς τῆς ἐρασθείσης μὲν ὑπὸ τοῦ Διὸς, εἰς βοῦν δὲ ἀμειφθείσης παρ' αὐτοῦ, ἵνα λάθῃ τὴν Ἥραν· διὸ καὶ κερασφόρον καλεῖ. σκόπει δέ· ἀπὸ Ἰοῦς Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Φοῖνιξ καὶ Ἀγήνωρ, οὗ Κάδμος, οὗ Πολύδωρος, οὗ Λάβδακος, οὗ Λάϊος, οὗ Οἰδίπους, οὗ Ἐτεοκλῆς καὶ Πολυνείκης. Gu. Bar. Leid.

κοινὰ τέκεα: κοινὰ τῆς Φοινίκης τέκνα Φοῖνιξ καὶ Ἀγήνωρ. B.

ὁ Φοῖνιξ καὶ Ἀγήνωρ υἱοὶ τῆς Ἰοῦς. A.C.

248. τᾶς κερασφόρου: τῆς μεταβληθείσης εἰς βοῦν κερασφόρον τῆς Ἰοῦς ὑπὸ τοῦ Διὸς ὑφορωμένου τὴν ζηλοτυπίαν τῆς Ἥρας. A.H. M.T.

τῆς κερασφόρου πέφυκεν: τῆς βοὸς γενομένης ὑπάρχει. Gr. Cant.

Ἰοῦς: λέγεται καὶ ἡ Ἰνὼ τῆς Ἰνόος καὶ Ἰνοῦς, καὶ ἡ Ἰὼ τῆς Ἰόος καὶ Ἰοῦς. Gr. Bar.

249. ὧν μέτεστί μοι πόνων: ὧν τῶν ἐκγόνων τῆς Ἰοῦς φροντίζω τῆς εὐτυχίας καὶ οἰκειοῦμαι τοὺς πόνους. A.B.M. ὧν μέτεστί μοι πόνων: ὧν τῶν πόνων μέτεστί μοι, ἤγουν μετουσία ἐστί μοι. Gr. Cant. τὸ ὧν μέτεστί μοι διπλῶς νοητέον, ἢ ὧν Θηβαίων τῶν πόνων καὶ τῶν δυστυχιῶν μέτεστί μοι ὡς συγγενεῖ, ἢ ἐπειδὴ ἄνωθεν ἔφη ὡς, ἐάν τι πείσωνται Θηβαῖοι, τούτου κοινωνεῖ καὶ ἡ Φοίνισσα, νῦν

p. 107. l. 28. καὶ addidi ex B. In A. γράψον δὲ.

ib. κατ' εὐθεῖαν Valck. πρὸς εὐθεῖαν B.C. ἀπὸ εὐθείας A.

1. ἵν' ᾖ ἀπὸ] ἵνα ἀπὸ C.

ib. ἅδε γᾶ] ἅδ' ἐγὼ A.

ib. κοινὰ et ἡ om. B.C.

2. χώρα om. A.

ib. ὑπομενεῖ] ὑπομένει M.

7. διὸ καὶ—] Sic haec conjungit Gu. quem sequi malui quam incertam auctoritatem Kingii. Is enim scholion finit verbis κερασφόρον καλεῖ, omissis verbis σκόπει δέ. tum novum scholion, tanquam e Bar. petitum, addit: λέγεται—καὶ Ἰοῦς, (quod in Gr. est et in Cant. exstare videtur) et cum hoc continuo ordine jungit ἀπὸ Ἰοῦς Ἔπαφος etc. MATTH.

8. ἀπὸ Ἰοῦς—Πολυνείκης] Genealogia ex scholio antiquiore repetita, quod v. ad v. 158. 291.

11. 12. Φοῖνιξ] φοίνιξ B.C.

14. ὑφορωμένου] ὑφορωμένης H. ὑψορῶ^{μέν} A.

ἐπιφέρει τοῦτο, ὧν πόνων καὶ δυστυχιῶν μέτεστί μοι, ἵν' ᾖ τὸ πόνων καὶ τὸ ὧν ἓν κατ' ἔννοιαν. Gu.

250.—252. *περὶ δὲ τὴν πόλιν πλῆθος πυκνὸν ἀσπιδηφόρων ἀνδρῶν ἀνάπτεται.* Gr. Cant.

250. *ἀμφὶ δὲ πτόλιν: ὁ δέ ἀντὶ τοῦ γάρ. ἀμφὶ γὰρ πόλιν τὸ νέφος τῶν ἀσπίδων φλέγει καὶ οἱονεὶ ἀστράπτει. σχῆμα δὲ τὸ σημεῖον μάχης. οἰκεῖον δὲ τῇ συννεφείᾳ τὸ ἀστράπτειν.* A.B.C. M.H.I.

251. *πυκνὸν φλέγει: λάμπει, ὅ ἐστι πῦρ.* M.

252. *σχῆμα: σύμβολον μάχης.* M. *κατάστασις.* Gr. *φονίου: ὄψιν φονευτικοῦ.* M.

253. *ἂν Ἄρης: ἣν ὁ Ἄρης γνώσεται. ὁ δὲ νοῦς, ἣν μάχην φέρων τοῖς παισὶν Οἰδίπου ὁ Ἄρης ταχέως πορευθήσεται. ἄμεινον δὲ τὸ οἴσεται, ἀντὶ τοῦ ὁρμήσει.* A.B.C.H.M.I.

ἂν: ἣν τὴν μάχην. Gr. *τάχ': ἴσως.* Gr. *οἴσεται: οἴσει.* Gr. *γνώσεται, γνωρίσῃ.* Gu. *τὸ οἴσεται εἰ μὲν ο καὶ ι γράψεις, οὕτως ἐρεῖς· ἣν μάχην ταχέως οἴσεται καὶ κομίσει καὶ ἄξει ὁ Ἄρης· εἰ δὲ ε καὶ ι, οὕτως· ἣν μάχην ταχέως γνώσεται ὁ πόλεμος, τουτέστιν ἣ ταχέως γενήσεται, πρὸς πόλεμον τοῖς Θηβαίοις καταστάντων Ἀργείων.* Gu. Bar.

254. *παισὶν Οἰδίπου: κατὰ τῶν παίδων τοῦ Οἰδίποδος.* Gr.

255. *πημονὰν Ἐρινύων: κομίζων βλαπτικῶν θεῶν βλάβην.* A.B. M. *βλάβην ἕνεκα τῶν καταρῶν τοῦ Οἰδίποδος.* Gr. Mosq.

257. *δειμαίνω: δέδοικα.* Gr.

τὰν σάν: γρ. τὰ σᾶν. M.

ἀλκάν: ἰσχύν. Gr.

5. ὁ (τὸ H.) δέ—ἀμφὶ γὰρ πόλιν addidi ex A.H.M. Verba ἀμφὶ γὰρ πόλιν sunt etiam in C.

6. τὸ νέφος —] Lemma φλέγει praefixum in I. ubi hoc scholion legitur ad v. 241. post τῇδε τῇ πόλει.

ib. φλέγει] καὶ φλέγει M.

ib. σχῆμα δὲ τὸ C. σχῆμα καὶ ceteri.

7. οἰκεῖον — ἀστράπτειν om. C. H.

12. ἣν ὁ Ἄρης om. C.

13. Οἰδίπου] οἰδίπους H.I.

ib. ὁ (ὁ om. M.) Ἄρης addidi ex A.C.H.M. καὶ ἄρης post πορευθήσεται addit B.

ib. ἄμεινον δὲ (δὲ om. C.)] ἄμεινον γὰρ οὕτως H., omissa reliqua parte scholii. ἄμεινον—ἀντὶ τοῦ ὁρμήσει om. A.

ib. οἴσεται C. εἴσεται ceteri.

14. ὁρμήσει] ὁρμήσεται C. ὁρμήσει, πορευθήσεται M.

258. τὸ θεόθεν: τὸ δίκαιον καὶ τὴν παρὰ τῶν θεῶν συμμαχίαν ἀεὶ τοῦ δικαίου προϊσταμένην καὶ τοῖς δικαίοις ἐπαξίως συνερχομένην. A.B.C.M.I.

τὸ θεόθεν: τὴν δικαιοσύνην. Gr. ἤγουν τὸ δίκαιον καὶ τὸ μετὰ θεῶν συμμαχίας ἐπιστρατεύεσθαί σε. Gu.

258. οὐ γὰρ ἄδικον: οὐ γὰρ ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα, τὸν τῆς μάχης δηλονότι, ὥρμησεν ἔνοπλος ὁ παῖς, ὃς μετέρχεται, ἤγουν ζητεῖ, ἀπαιτεῖ τοὺς δόμους, ἀντὶ τοῦ τὴν βασιλείαν. Gr. μετέρχεται δόμους, ἀπὸ μεταφορᾶς τῶν τοὺς φεύγοντας ζητούντων καταλαβεῖν. Gr. Cant. Bar. Mosq.

259. ἔνοπλος: γρ. ἔνοπλον. B.

260. μετέρχεται δόμους: ὃς ἀπαιτεῖ τὴν βασιλείαν καὶ ἐκδικεῖ. M. ἐκδικεῖ. B.

261. τὰ μὲν πυλωρῶν: τὰ μὲν θυρώματα τὰ ἐπιτετραμμένα τοῖς θυρωροῖς δι' εὐκολίας με ὑπεδέξαντο. ὅθεν καί, διὰ τὸ εὐμαρῶς καὶ εὐχερῶς με ὑποδέξασθαι τοὺς φύλακας, ὑποπτεύω μὴ δόλος τις ἐστίν. B.C.H.M.T.I.

τὰ μὲν πυλωρῶν: ἀντὶ τοῦ αἱ πύλαι, ἃς οἱ πυλωροὶ φυλάσσουσιν. Gr. ταῦτα καθ' ἑαυτὸν λέγει μετὰ τὴν τῶν πυλῶν τοῦ ἄστεος εἴσοδον. Gu.

262. δι' εὐπετείας: δι' εὐμαρείας, δι' εὐχερείας. B.M.I. διὰ

1. τὸ δίκαιον—συνερχομένην] τὸ δίκ. καὶ παρὰ τὴν τῶν θεῶν συμμαχίαν ἀεὶ προϊστάμενον, καὶ τοῖς δικαίοις ἐπεξιοῦσι σοι ἐρχομένων H. ex quo conjicio καὶ τοῖς δικαίους ἐπεξιοῦσι συνερχομένην. MATTH. In A. τὸ δ. καὶ τὴν τοῦ θείου συμμαχίαν ἀεὶ τοῦ δικαίου προϊσταμένην καὶ τοῖς δικαίοις ἐπαξίως συνερχομένην.

ib. τὴν παρὰ τῶν θεῶν] τὴν τοῦ θείου A.B.C.I.

14. θυρώματα—θυρωροῖς] πυλώματα—πυλωροῖς B.I. "Antiquus grammaticus, ni fallor, θυρώματα, recentior dederat πυλώματα, prioris corrigendi studio: ne in Homero quidem Il. X, 69. πυλαωροὺς intactos reliquerunt male corrigentes θυραωρούς· statuebant scilicet illi, πύλας μὲν ἐπὶ πόλεως, θύρας δὲ ἐπὶ οἴκου λέγεσθαι." VALCK.

ib. τὰ post θυρώματα om. C.H. τὰ μὲν πυλώματα—τοῖς πυλωροῖς etiam in A.

15. Post θυρωροῖς in M. pergitur, ὃ καὶ δέδοικα: διὸ διὰ τὴν εὐμάρειαν καὶ τὸ εὐχερῶς με ὑποδέξασθαι τοὺς φύλακας ὑποπτεύω μὴ δόλος ἐστίν. Sic etiam C.H. nisi quod pro ὃ καὶ—τὴν εὐμάρειαν habent δι' εὐπετείας: διὰ (διὰ om. H.) τὴν εὐμάρειαν et in fine μὴ δόλος τίς (sic etiam C., qui τις omittere falso dicitur) ἐστιν.

16. τις addidi ex C. H.

21. εὐμαρείας—εὐχερείας] εὐχερείας—εὐμαρείας M.

δὲ τὴν εὐμάρειαν καὶ τὸ εὐχερῶς με ὑποδέξασθαι τοὺς φύλακας ὑποπτεύω μὴ δόλος ἐστίν. A.

εἰσεδέξατο: ἤγουν εὐκόλως οἱ πυλωροὶ ἠνέῳξάν μοι τὰς πύλας, καὶ οὐκ ἐπέσχον πρὸς τὴν εἴσοδον. Gu.

263. ὅ: ἤγουν τὸ εἰσελθεῖν. Gr. ἤγουν τὸ τοὺς φύλακας εὐχερῶς καὶ εὐμαρῶς με ὑποδέξασθαι. Gu.

μήτε: γρ. μή με. M. δικτύων: νῦν τειχέων. M.

264. οὐ μεθῶσιν: οὐκ ἀφῶσιν ἄτρωτον. I. ἡ μὲν γραφὴ οὐκ ἐκφρῶσιν. οἱ οὖν ὑποκριταὶ διὰ τὸ δυσέκφορον μεταπλάττουσι τὴν λέξιν. καὶ Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων, ὅτε διαλαμβάνει περὶ τοῦ φρῶ, ταύτην τὴν χρῆσίν φησιν. B.H.I. ἀναίμακτον: ἄτρωτον. B.M.

265. ὧν: οὗ τοῦ φόβου, ὄμμα, τὴν ὄψιν, πανταχοῦ, ἀντὶ τοῦ πανταχόσε, ἄξιον στρέφειν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ὧν: οὗ. Gr. τοῦ φόβου, ἢ τῶν δικτύων. Gu.

διοιστέον: μετενεκτέον, σκοπητέον. M. ἄξιον ὑπάρχει κομίζειν, ἄξιον στρέφειν, κομιστέον. Gu.

266. δόλος: ἐνέδρα. B.M. ἀπάτη. Gu.

267. ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ: ἀνόητόν φασι τῷ ξίφει πιστεύειν, ταῖς σπονδαῖς δὲ μήπω, εἰ καὶ μόνος ὢν κρατῆσαι ἠδύνατο ἐπιβουλευόντων τοσούτων. ἀγνοοῦσι δὲ ὅτι οἱ μετὰ ἀνάγκης ἐπί τινα κίνδυνον ἐρχόμενοι οὐχὶ ἐκ τῶν ἐνδεχομένων θηρᾶσθαι τὴν

8. ἡ μὲν—ἐκφρῶσιν om. I. ἡ μὲν γραφὴ B. οἱ μὲν γὰρ A. ἄλλως. οἱ μὲν γράφουσιν H.

9. ἐκφρῶσιν] ἐφρῶσιν A.B.H. (In B. versus finitur litera ε, alter ab φρῶσιν incipit.) Correxi ex Photii glossa p. 359, 8. οὐκ ἐκφρῶσιν: οὐκ ἐξαφῶσι. Σοφοκλῆς. ubi Sophoclis nomen memoriae lapsu pro Εὐριπίδης positum videtur.

ib. μεταπλάττουσι] μεταπλάζουσι A.

10. μονοσυλλάβων ῥημάτων] μονοσυλλάβου ῥητέου (ῥῆμα addit H.) A. H. Quod ortum ex compendio non intellecto quale est in B. ῥρ, quo numerus pluralis ῥημάτων indicatur.

11. φησίν om. I. φέρει Kirchhoffius.

19. ἀνόητον (ἀνοήτως A.H.)] τὴν χρῆσιν add. I. ex fine scholii v. 264. repetitum.

ib. φασι] φησὶ A.B.M.T. δέ φησι H.

20. εἰ καὶ μόνος Matth. pro εἰ δὲ καὶ μόνος, quod in εἰδημόνως corruptum in M.

ib. ὢν om. A.

21. ἠδύνατο A.B. ἐδύνατο ceteri.

22. οὐχὶ om. A.M.

ἀσφάλειαν ἐθέλουσιν, ἀλλ' οἵαν παρὰ τοῦ καιροῦ λαμβάνουσι, καὶ οἱ ἐπ' ἐρημίας μετὰ ξιφιδίου πορεύονται, ἧττον μὲν ὡπλισμένοι τῶν ὑποπτευομένων θηρῶν, ἢ λῃστῶν, ἄμεινον δὲ τῶν ἀνόπλων. τοῦτο καὶ Πολυνείκει συνέβη· ἀναγκασθεὶς γὰρ ἐπὶ διαλλαγὰς εἰς τὰς Θήβας ἐλθεῖν ἔρχεται μέν, ἵνα μὴ δόξῃ δύσερις εἶναι, δόλον δὲ ὑποπτεύων τὴν ἀσφάλειαν κατὰ τὸ δυνατὸν ἐπορίσατο. A.B.H.M.T.I.

268. τὰ πίστ' ἐμαυτῷ: τὴν πίστιν τοῦ θαρρεῖν, ὅ ἐστι τὴν ἀσφάλειαν τοῦ θαρρεῖν. A.B.C.M.T.I. τὸ δὲ θράσους οἷον ἄρα θρασύνομαι τῷ ξίφει πιστεύων. C.M.T.

τὰ πιστά: ἤγουν τὴν πίστωσιν τοῦ θάρρους. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

τοῦ θράσους: εἰ καὶ θράσος ἐνεδειξάμην μόνος εἰς πολεμίων εἰσιὼν πόλιν, ἀλλ' ἐν χερσὶν ἔχων τὸ ξίφος, τὰ πιστὰ ἐμαυτῷ τοῦ θράσους παρέξομαι, τουτέστι, πίστιν καὶ πληροφορίαν καὶ ἀσφάλειαν ἐμαυτῷ περιποιησαίμην, ἐντεῦθεν τὸν ἐπιόντα ἀμυνόμενος. οὐκ ἀρκεῖται δὲ εἰς τοῦτο· τί γὰρ ἂν ἐποίησε μόνος πρὸς πολλοὺς μαχόμενος; ἀλλ' εὗρεν ἑτέραν καταφυγήν, τοὺς τῶν θεῶν βωμούς. Gu.

269. ὠή: ἐπίφθεγμα ἀνακλήσεως. B.M.I. Gu. ἢ κτύπον φοβούμεθα: ἀποφαντικῶς, ὄντως κενὸν ψόφον ὑφορώμεθα. A.B.C. M.T. Gu. I.

270. τολμῶσι: τολμηρὰ πράσσουσι. Gu. δεινά: φοβερά. Gr. Fl. 33.

271. ἀμείβηται: ἀλλάσσει, πορεύεται. M. φέρηται. Gr. Florr. iidem.

1. παρὰ om. M.

4. ἀναγκασθεὶς ἐπὶ—δύσερις εἶναι] Haec sunt etiam in Gu.

ib. τὰς om. A.

5. μὲν om. A.M. Gu.

6. ἐπορίσατο] In hoc scholio desinit codex Havn. hac addita nota: τέλος τῆς ἐξηγήσεως τοῦ δράματος τῶν Φοινισσῶν.

7. τὴν πίστιν] ἤγουν τὴν πίστιν C.

8. τὸ δὲ θράσους M. τοῦ θράσους παρέξομαι ceteri.

9. θρασύνομαι] θρασυνόμενον M.

18. ὠή] ὠὴ δὲ B.I. φεῦ addit Gu.

ib. Lemma ἢ κτύπον φοβούμεθα est in C.M. et omisso φοβούμεθα in A. Gu., post quod τὸν κτύπον repetunt C.T. In B.I. sine lemmate τὸν κτύπον οὖν φησιν ἀποφατικῶς ὄντως (ὄντα I.) ἤγουν τὸν κενὸν ψόφον ὑφορώμεθα.

19. ἀποφαντικῶς, ὄντως] ἀποφατικὸν ὄντως T. ἀποφαντικὸν οὕτως M. "ἀποφαντικῶς ad significationem vocis ἢ declarandam spectat." MATTH.

ib. κενὸν] τὸν κενὸν B.I. κενὸν τὸν Gu.

273. *ὑπόσπονδον μολεῖν*: μετὰ φιλίας. M. φιλικὸν, ὑπὸ ἀσφαλείᾳ σπονδῶν. Gr. Florr. iidem.

274. *ἀλκή*: βοήθεια. M. Gr. Florr. iidem. ἐγγὺς τῶν πυλῶν Ἀθηνᾶς ἱερὸν ἵδρυται, καὶ οἱ καταφεύγοντες εἰς ἱερὰ σωτηρίας τυγχάνουσιν. ἀλκὴ δὲ καλεῖται ἡ Ἀθηνᾶ κατὰ τὴν τῶν Φοινίκων γλῶσσαν. Gu.

βώμιοι γὰρ ἐσχάραι: ὥστε καταφυγεῖν ἐπ' αὐτοὺς, εἰ δέοι. τοῦτο δὲ οὐ συνῳδὸν τῷ "ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ." θρασύδειλον γὰρ τὸν Πολυνείκην παρίστησι, πρῴην μὲν φάσκοντα "ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ τὰ πίστ' ἐμαυτῷ τοῦ θράσους παρέξομαι," νῦν δὲ τοὺς βωμοὺς πλησίον εἶναί φησιν, οἷς προσφυγὼν νομίζει σωθήσεσθαι καθάπερ ἱκέτης γενόμενος. B.C.M.T.I.

βώμιοι γὰρ ἐσχάραι: ἐσχάρα μὲν κυρίως ὁ ἐπὶ τῆς γῆς βόθρος, ἔνθα ἐναγίζουσι τοῖς κάτω ἐρχομένοις· βωμὸς δὲ ἐν ᾧ θύουσι τοῖς ἐπουρανίοις θεοῖς. νῦν οὖν βώμιοι ἐσχάραι τὰ κοιλώματα τῶν βωμῶν, ἢ κατὰ περίφρασιν οἱ βωμοί. B.C.M.T.I.

βώμιοι γὰρ ἐσχάραι: ἐσχάρα ἔνθα τὸ πῦρ ἥπτετο, βωμὸς δὲ τὸ περιέχον τὴν ἐσχάραν οἰκοδόμημα. Gr. Bar. Mosq.

275. *κοὐκ ἔρημα δώματα*: τὰς ἀπὸ τοῦ χοροῦ ἑωρακώς φησι τεθαρρηκέναι. ἀσθενοῦς δὲ ψυχῆς τεκμήριον· τί γὰρ ἔμελλον αὐτῷ γυναῖκες συμβαλέσθαι πρὸς κίνδυνον; B.C.M.T.I. καὶ δώματα πάρεισιν οὐκ ἔρημα, ἀνθρώπων δηλονότι. Gr.

276. *ἐς σκοτεινὰς περιβολάς*: εἰς τὸν κουλεὸν, ἢ ὑπὸ τὴν χλαῖναν, ὃ καὶ ἄμεινον, ἵνα κεκαλυμμένον τὸ ξίφος ἔχῃ καὶ πρὸς ἄμυναν

5. ἀλκή] Ad ἀλκὴν transtulit quod de Ὄγκας nomine observavit schol. ad v. 1062.

7. εἰ δέοι B.I. ἡδέως C. (de quo falsa rettulit Valck.) M.T.

8. οὐ et δὲ om. C.

ib. τῷ (τὸ M.)] 267.

ib. τῷδε] τῷ C.

ib. θρασύδειλον——τῷδε φασγάνῳ om. M. θρασύδειλον——παρέξομαι om. C.

9. πρώην B. πρῶτον ceteri.

11. πλησίον] ἐγγὺς C.

12. σωθήσεσθαι C. σωθῆναι B.M.T.I.

13. ἐσχάρα] ἐσχάραι δὲ B.I., omisso quod in ceteris est lemmate.

ib. μὲν κυρίως M. κυρίως μὲν B.T.I. μὲν γὰρ κυρίως C. Tum τῆς om. B.C.

14. ἐναγίζουσι] ἀναγίζουσι C. ἐγγίζουσι M. σφαγιάζουσι B.I.

ib. ἐν ᾧ] ἐν οἷς C. (qui etiam βωμοῖς) M.

15. βώμιοι] βώμιαι C.

18. οἰκοδόμημα om. Gr. Mosq.

20. δὲ et γὰρ om. C.

ib. ψυχῆς] φησὶ ψυχῆς I.

ib. αὐτῷ om. M.

23. εἰς τὸν κουλεὸν gl. Gr., εἰς τὴν θήκην Gu.

24. ὃ om. I.

ib. Post κεκαλυμμένον τὸ ξίφος in B. lacuna totidem fere literarum.

ἕτοιμον. B.C.M. Gu. I. μεθῶ: βάλω. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. μεθήσω. Gu.

277. τὰς τοῦ χοροῦ πρὸ τῶν βασιλείων οἴκων οἶδεν. C.M.T.

278. ξέναι γυναῖκες: ἢ ἀπὸ τῶν ἐνδυμάτων ἢ ἀπὸ τῶν λόγων ἔγνω αὐτὰς Πολυνείκης μὴ εἶναι καθαρὰς Ἑλληνίδας. καὶ γὰρ οὐ καθάπαξ Ἑλληνικῶς ὡμίλουν, ἀλλ' εἶχόν τι τῆς πατρῴας φωνῆς. Gu. Leid.

279. πελάζετε: προσεγγίζετε. M. τὴν ἀναστροφὴν ποιεῖσθε. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq.

280. Φοίνισσα: Φοινίκη, ἤγουν ἡ Τύρος. Gu. τῆς Φοινίκης ἐστὶν ἡ πατρίς. Gr.

281. Τὸ παῖδες ἐκ παίδων ἢ ὡς τῶν παίδων ἐκείνου ἀπόγονος, ἢ τὸ παῖδες ἀντὶ τοῦ ἀπόγονος μόνον νοητέον, τὸ δὲ ἐκ παίδων ἀντὶ τοῦ ἐκ τῶν ἄλλων τῶν ἐκεῖ οὐσῶν παρθένων, οὕτως· ἔπεμψαν ἐμὲ ἐνθάδε τῷ Φοίβῳ ἀκροθίνιον τοῦ πολέμου ἐκ τῶν παίδων. Gu. παῖδες: ἀπόγονοι. Gr. δορός: τὸ ἑξῆς δορὸς ἀκροθίνιον. M. λαφυραγωγίας. B.I. πολέμου. Gr. Florr.

282. τὸ ἑξῆς, δορὸς ἀκροθίνιον ἐνθάδε με ἔπεμψαν τῷ Φοίβῳ. Gr. ἀκροθίνιον: τὴν ἐκ πόλεως τῆς λείας ἀπαρχήν. B.C.I. ἀπαρχήν. M. ἀκροθίνιον λέγεται ἡ ἐκ πόλεως λαφυραγωγία πεμπομένη δῶρον. C. m. sec.

283. μέλλων δὲ πέμπειν: σολοικοφανὲς τοῦτό ἐστιν, ἤτοι μέλλοντος πέμπειν με Οἰδίποδος ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι, ἢ οὕτως, μέλλων δὲ πέμπειν με, πρὶν ἰδεῖν τοὺς Ἀργείους ἐπιστρατεύσαντας, ἐν τοσούτῳ οἱ Ἀργεῖοι ἐπὶ τὴν πόλιν ἐστράτευσαν. B.C.M.I. μέλλων ἀντὶ τοῦ μέλλοντος, εὐθεῖα ἀντὶ γενικῆς. Οἰδίπου: ἀντὶ Οἰδίποδος.

3. τάς—οἶδεν M. ἀλλὰ τοῦ χοροῦ πρὸς τὰς βασιλείας εἰδὼς οἰκῶν C. ἄλλως. τοὺς τοῦ χοροῦ πρὸ τῶν βασιλείων εἰδὼς οἴκων T. In C.T. haec leguntur post κίνδυνον p. 113, 21.

5. ἔγνω—Ἑλληνίδας post φωνῆς habet Gu.

ib. καὶ γὰρ] ὡς Gu.

10. Φοινίκη] φοινικὴ Gu.

16. λαφυραγωγίας] Hoc non ad δορός, sed ad ἀκροθίνιον spectare e sq. scholio C. apparet. MATTH.

19. ἀκροθίνιον] δὲ addit B.

22. ἤτοι M. ἢ B.C. ἔδει γὰρ εἰπεῖν I.

ib. μέλλοντος] μελλόντων M.

23. Οἰδίποδος] οἰδίπου κλεινὸς γόνος M. ex lemmate.

ib. ἐπεστράτευσαν] ἐστράτευσαν I.

ib. μέλλων δὲ] δὲ μέλλων M. In C. μέλλων με ἰδεῖν etc.

24. πέμπειν με M. πέμψειν (sine με) B.I.

ib. πρὶν addidit Barn.

ib. ἐν—ἐστράτευσαν om. B.C.M.

25. μέλλων ἀ. τοῦ μέλλοντες etiam Gr.

ποιητικὴ δὲ ἡ κλίσις. M. ἀντὶ τοῦ μέλλοντος πέμπειν με. σύνηθες δὲ τῷ Εὐριπίδῃ τὸ σχῆμα. Fl. 33.

μέλλων δὲ πέμπειν με: λέγουσιν ἁπαξάπαντες ὡς ἡ σύνταξις αὕτη καθαρῶς σόλοικος. ἐποίησε δὲ Εὐριπίδης ἑκὼν, ὥσπερ καὶ Ὅμηρος πολλάκις. τέχνης γὰρ ὄντες ὡς ἀληθῶς ἐπιστήμονες καὶ οἷον ἀρχηγοὶ, εἰ καὶ τοῖς ὑπὲρ τέχνην ἅπαξ ἐχρήσαντο, τί θαυμαστόν; σὺ δὲ, τούτους ὡς ἠπατημένους χαίρειν ἐάσας, μὴ νόμιζε τὸ ἐπεστράτευσαν πρὸς τὸ μέλλων ἀποδοθῆναι, ὥσπερ ἐκεῖνοι οἴονται· τοῦτο γὰρ καθαρῶς σόλοικον· ἀλλὰ πρὸς τὴν ἐπανάληψιν τὸ "ἐν τῷδε." οἶσθα γὰρ ὡς, ἡνίκα ἂν ποιῶμεν ἐπαναλήψεις, ποτὲ μὲν τὴν ἀπόδοσιν πρὸς τὴν πρόσθεν ἐπιφέρομεν σύνταξιν, ποτὲ δὲ ἐναλλάττομεν ὡς ἐθέλομεν. τοῦτο οὖν κἀνταῦθα γέγονε. παραδείγματα τῆς ἐναλλαγῆς ταύτης ἄλλα τε πολλὰ καὶ ταῦτα· "παραμείψαντες δὲ τῶν ὀρῶν τοὺς ἑλιγμοὺς, ἐπεὶ φανείη τὸ ἄστυ,—τοῦτο δὲ ἐγίγνετο τῆς ἀποστάσεως ἐν ν' σταδίοις οὔσης καὶ ἑκατόν—ὁπότε οὖν ἐκλάμψειε, παρὰ μὲν τῶν ἄλλων σιγὴ ἦν." ἐνταῦθα γὰρ οὐ πρὸς τὸ παραμείψαντες ἐποίησε τὴν ἀπόδοσιν τὸ "σιγὴ ἦν," ἀλλὰ πρὸς τὰς ἐπαναλήψεις. καὶ πάλιν ὁ αὐτὸς Λιβάνιος ἐν τῷ πρὸς Ἰουλιανὸν ἐπιταφίῳ οὕτω φησί· "διεξιὼν γὰρ πολίχνιον τὸ πρῶτον ἧς παρελάμβανε γῆς στέφανόν τινα κλάδων—πολλοὺς δὲ ἐκ καλωδίων τεταμένων εἰς κίονας ἐκ τοίχων ἐξαρτῶσιν οἱ δῆμοι μετεώρους—τούτων εἷς τῶν στεφάνων, ᾧ καλλωπίζομεν τὰς πόλεις, ἐκλυθεὶς τοῦ δεσμοῦ καταβαίνων ἦν ἐν τῇ τοῦ βασιλέως κεφαλῇ καὶ ἥρμοσε." καὶ ἑτέρωθι "τὸν δὲ ἐμοί τε καὶ σοὶ φίλτατον, καὶ ᾧ μὴ χαριζόμενος αἰσχυνοίμην ἂν, Παγκράτιον, τὸν ἄρχειν ἐπιστάμενον καὶ λέγειν, καὶ ᾧ τὸ τιμᾶσθαι κατὰ τοὺς τρόπους μᾶλλον ἢ τὴν δοξαν ἐγένετο τοῦ πατρὸς, οὗτος δὲ ὁ

1. In Gu. μέλλοντος πέμπειν. εὐθεῖα ἀντὶ γενικῆς. σύνηθες τὸ σχῆμα τῷ Εὐριπίδῃ.

7. χαίρειν addidi e Gu. sicut antea ὡς ante ἀληθῶς, et paulo post πρὸς τὴν ἐπαν. τὸ ἐν τῷδε scripsi pro τὴν ἐν τῶδε. MATTH.

13. ταῦτα Gu. τάδε Leid.

14. ἐπεὶ φανείη] Sic Gu. pro ἐπεφάνη. Paulo ante idem τοῦτο οὖν κἀνταῦθα γ. pro ὡς καὶ ἐντ. γέγ. Libanii duo loca priora, indicante Valck. sunt vol. 2. p. 270. D. et 271. A. ed. Morell. Priorem in Reiskii editione non reperi; alter est vol. 1. p. 535 sq. In eo τεταγμένων est etiam in Gu. τεταμένων hic e Leid. Valck. ut in Libanio Reisk. e duobus codd. MATTH.

15. ἐκλάμψειε, παρὰ] ἐκλάψειε, περὶ Gu.

20. κλάδων] κλάδον Gu.

26. τὴν δόξαν] Sic Gu. pro τῆς δόξης, ut in epist. 259 ed. Wolfii.

Παγκράτιος ἐκέλευσέ μοι συγγνώμην αἰτεῖν ἐν τοῖς γράμμασιν." καὶ μυρία ἂν τοιαῦτα σκοπῶν εὑρήσεις. Gu. Leid.

284. μαντεῖα σεμνά: ἀντὶ τοῦ τίμια. M. ἐπὶ τὸ σεμνὸν μαντεῖον καὶ τὰς ἐσχάρας, ἀντὶ τοῦ τὸν ναὸν τοῦ Λοξίου. Gr. Λοξίου τ' ἐπ' ἐσχάρας: διαφέρει βωμὸς καὶ ἐσχάρα· βωμὸς μὲν γάρ ἐστιν ὁ εἰς ὕψος ᾠκοδομημένος καὶ ἀνάβασιν ἔχων, ἐσχάρα δὲ ἡ ἐν τετραγώνῳ περὶ γῆν βάσις βωμοῦ τάξιν ἔχουσα ἄνευ ἀναβάσεως. ἡ ἐσχάρα κυρίως τὸ πῦρ. B.I.

285. ἐν τῷδ': ἀντὶ τοῦ ἐν τοσούτῳ. M. Gr. ἐν τῷ μέλλειν πέμψαι. Gu. ἤγουν ἐν τῷ μέλλειν πέμπειν ἐμέ. Mosq. ἐπεστράτευσαν: κατὰ τῆς πόλεως ἐστράτευσαν. Gr.

286. ἀντάμειψαι: ἀνταπόκριναι, ἀνταποκρίθητι. Gu. ἀντὶ τοῦ ἀποκρίθητί μοι. M. Gr.

287. ἑπτάστομον: ἑπτάπυλον, πρὸς τὴν ἑπτάχορδον λύραν τοῦ Ἀμφίονος. Gu. εἰς τὸ ἑπτάπυλον τείχισμα. Gr. ἑπτάπυλος ἡ

Paulo ante Gu. τὸν ἐκεῖ τε καὶ σοὶ φίλτ. e quibus τε recepi. MATTH.

5. διαφέρει—] ἄλλως praefixum in B. in quo haec sequuntur post ἄμυναν ἕτοιμον in fine scholii ad v. 276. De voc. ἐσχάρα dictum in scholio v. 274.

ib. μὲν om. I. Post ἐστιν in B. decem minimum literarum lacuna in B.

7. περὶ γῆν βάσις] *Basin quadratam altaris* ἐσχάραν appellari scribit Muncker. ad Hygini Fab. 66. eam in rem excitans hic vulgata, quae Abresch. Anim. ad Aesch. 183. sic corrigenda censuit: ἡ ἐν τετραγώνῳ παρὰ γῆν βάσις, βωμοῦ τάξιν ἔχουσα. Quod apud alios passim legitur, ἡ ἐπὶ γῆς ἑστία, in Photii quoque loco, ad Hesychium prolato, restituendum videtur; hoc autem in scholio fortasse: ἡ ἐν τετραγώνῳ ἐπὶ γῆς βάσις. βωμοῦ τάξιν ἔχουσα. supra schol. ad vers. 81. Ἐσχάρα μὲν κυρίως ὁ ἐπὶ γῆς βόθρος. quibus utitur Berkel. ad Steph. Byz. in v. Βωμοί. Euripides, sive Critias, in Pirithoo χθόνιον χάσμα dixerat: duo servavit inde petitos anapaesticos Athen. 11. p. 496 B. Ἵνα πλημοχόας τάσδ' εἰς χθόνιον—χάσμ' εὐφήμως προχέωμεν. Βόθυνον vocabat Clidemus in Exegetico apud eundem 9. p. 409 F. Sacrorum ille ritus et ceremonias in isthoc opere explicuerat, non quasvis voces obscuras instar Lexicographi, quod Casaubonus arbitrabatur in Animadv. p. 697. 698. VALCK.

8. ἡ ἐσχάρα κυρίως τὸ πῦρ] Haec adhibuit Alberti ad Hesych., ἐσχάραν inter alia interpretantem τὸ πῦρ. ego mallem haec abjicerentur a veteris grammatici nota: paulo ante his in scholiis ἐσχάρα κυρίως esse dicebatur ὁ ἐπὶ γῆς βόθρος, *fovea*, cui *craticula* imponebatur: quia non aderat altare, sacra quae Manibus fiebant dicebantur Ἀποβώμια Eustathius in Od. M. p. 486, 2. Ἀποβώμια ἱερά, ὧν οὐκ ἐπὶ βωμοῦ ὁ καθαγισμὸς, ἀλλ' ἐπὶ ἐδάφους. VALCK.

9. 12. ἀντὶ τοῦ om. Gr.

15. ἡ Θήβη] ἡ om. M.

Θήβη κατεσκεύαστο, ὅτι πρὸς τὴν ἑπτάχορδον λύραν τοῦ Ἀμφίονος κιθαρίζοντος ἐτειχοδομήθη. B.C.M.I.

289. ἔτικτε: ἔτεκε. Gu. ἔτικτε ἀντὶ τοῦ ἔτεκεν. Gr.

291. ὦ συγγένεια τῶν Ἀγήνορος: Ἰοῦς Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Φοῖνιξ καὶ Ἀγήνωρ, οὗ Κάδμος, οὗ Πολύδωρος, οὗ Λάβδακος, οὗ Λάϊος, οὗ Οἰδίπους, οὗ Ἐτεοκλῆς καὶ Πολυνείκης. B.I.

τέκνων: ἀπογόνων. Gr. Cant. λείπει ὑπάρχων. B.

292. ἐμῶν τυράννων: τῶν ἐμῶν βασιλέων, ὑφ᾽ ὧν δεῦρο ἀπεστάλην. Gr. Cant.

293. γονυπετεῖς: ἐδαφιαίας. Gu. ὡς τῶν Φοινίκων διὰ γονυκλισίας τιμώντων τοὺς βασιλεῖς. B.C.M. Gu. I. γονυπετεῖς ἀντὶ τοῦ γονυπετῶς. C. ἀντὶ τοῦ γονυπετῆ προσκύνησιν προσκυνῶ σε. Gr. Cant. Mosq. ἕδρας: ἕδρα κυρίως ἡ καθέδρα· ἐπεὶ δὲ καὶ ὁ γονυπετῶν ἔοικε καθεζομένῳ, διὰ τοῦτο ἕδρας τὰς προσκυνήσεις λέγει. Gu. προσκυνήσεις. Gu. προσπίτνω: πρὸς τὸ πτῶ προσκυνῶ. Gu. πιτνῶ προσκυνῶ, πίπτω ἱκετεύων. M. ἀντὶ τοῦ γονυπετῶ σε. M. γονυκλιτοῦσα. B. σ᾽ ἄναξ: σοί, τὸ ἐντελές. B.M.

294. σέβουσα: τιμῶσα καὶ φυλάττουσα. ἢ τιμῶσα κατὰ τὸν πάτριον νόμον, ἢ φυλάττουσα τὸ ἔθος τὸ ἐκ τῆς θρησκείας. B.M.I. τὴν ἀπὸ τῆς ἐμῆς πατρίδος συνήθειαν τιμῶσα. Gr. Cant. κατὰ τὸν οἰκεῖον, τὸν ἐγχώριον, ἢ κατὰ τὸν πατρῷον νόμον. Gu.

295. ἔβας ὦ: γρ. ἔβας ἔβας ὦ, καὶ ἔστιν ἀναφώνημα ἐπὶ τοῖς χρονίως ὁρωμένοις ἀναβοώμενον. B.I. Gu. ἦλθες, ὦ Πολύνεικες, διὰ χρόνου εἰς τὴν πατρίδα. B.M. ἀφίκου, ἦλθες, ἐπορεύθης, Πολύνεικες, διὰ χρόνου, μόλις, εἰς τὴν γῆν τὴν πατρῴαν. Gu.

296. ἰὼ πότνια: σεβασμία, ἐλθὲ ἔξω δραμοῦσα, προϋπαντῶσα. Gr. Cant. πρόδρομος (sic): ἔμπροσθεν τῶν δόμων. Gu.

1. Θήβη] θήβα C. qui κατεσκεύαστο om.

ib. τοῦ om. B.C.I.

4. Ἰοῦς—Πολυνείκης] Eadem in schol. ad v. 158. 247.

19. σεβίζουσα] δὲ addit B.

ib. τιμῶσα—κατὰ τὸν] τιμῶσα φυλάττουσα, καὶ σεβίζουσα, ἢ τιμῶσά σε, κατὰ πάντα τὸν M.

20. ἢ φ.—θρησκείας om. M.

23. γρ. ἔβας ἔβας—ἐπὶ B. ἀναφώνημά ἐστιν ἐπὶ Gu. I. In M. annotatum γρ. ἐβάσ῀, i.e. ἐβάσω. Voluit γρ. ἔβας ἔβας ὦ, ut B.

25. χρόνου] χρόνων M.

297. *ἀναπέτασον*: *ἄνοιξον τὰς θύρας*. M. *ἄνοιξον*. Gu. *κυρίως ἐπὶ καταρακτῶν λέγεται τὸ ἀναπετᾶν, καὶ ἀπὸ τούτου ἁπλῶς ἐπὶ πάσης πύλης*. Gr. Cant.

298. *κλύεις*: *ἀκούεις, ὦ μῆτερ ἡ τεκοῦσα τοῦτον*. Gr. Cant.

299. *τί μέλλεις*: *τί βραδύνεις*. M. Gr. Cant. *ὑπώροφα*: *τὰ ἐστεγασμένα*. Gu. *ἀντὶ τοῦ ὑπὸ τὰς στέγας τῶν οἴκων*. B. Fl. 33. *περᾶν*: *διέρχεσθαι*. Gr. Cant. *διαβαίνειν*. Gu.

300. *θίγειν τ' ὠλέναις*: *καὶ ψαύειν ταῖς σαῖς ὠλέναις, ἤγουν ἀγκάλαις, τοῦ σοῦ τέκνου*. Gr. Cant.

301. *Φοίνισσαν, ὦ νεάνιδες*: *οἱ τούτων ἐπιλαμβανόμενοι καὶ λέγοντες, πῶς ὅτι, οὐδὲν αὐτῶν εἰπουσῶν Φοινικικῶς, φησὶν Ἰοκάστη "Φοίνισσαν βοὰν κλύουσα," ἀγνοοῦσιν ὅτι κατὰ φωνὴν ὑποτίθεται ὁ Εὐριπίδης αὐτὰς τῇ κοινολογίᾳ τῶν Φοινίκων, οὐχ οἷον βαρβαρικῶς διαλαλούσας, ἐπεὶ οὐδ' ὁ Πολυνείκης αὐτῶν ἤκουσεν, ἀλλὰ τῷ τῆς λαλιᾶς ἤχῳ ποιούσας τι τοιοῦτον ὥστε σημαίνειν ὅτι εἰσὶ Φοίνισσαι καὶ ἐμφαίνειν τινὰ χαρακτῆρα τῆς πατρίας φωνῆς*. (C.M.T.) *εἰ γὰρ καὶ Ἑλληνικῶς ἐλάλουν, ἀλλ' οὖν γε τὴν πάτριον ἔσωζον ἀπήχησιν τῆς φωνῆς, ὡς Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει*,

> *καὶ γὰρ χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με*
> *παρηγορεῖ Λάκωνος ὀσμᾶσθαι λόγου*.—A.B.C.M.T.I.

303. *ἕλκω ποδὸς βάσιν*: *ἐπείγω μου τὴν βάσιν ὑπὸ τοῦ γήρως τρομεράν*. A.B.I. *γηραιῷ*: *ἀντὶ τοῦ γεροντικῷ*. Gr. *γηραιῷ ποδὶ ἕλκω*: *ἤγουν βίᾳ ἀνύω, ἀπὸ τῶν βοῶν τῶν τὸν ζυγὸν ἑλκόντων καὶ τὴν ἅμαξαν*. Gr. Cant. Mosq. *βάσιν*: *ἤγουν πορείαν, τρομερὰν, τουτέστι τρέμουσαν καὶ οὐ βεβηκυῖαν ὑπὸ τοῦ γήρως*. Gr. Cant. Mosq.

11. *εἰπουσῶν*] *εἰποῦσα* C.
ib. *Φοινικικῶς*] *φοινικῶς* C.M.
12. *φωνὴν*] *τὴν φωνὴν* A.
13. *βαρβαρικῶς*] *βαρβαρικὸν* C.T.
14. *αὐτῶν*] *αὐτὸς* M.
ib. *τῆς* om. C.T.
15. *σημαίνειν*] *σημῆναι* A.T.
16. *καὶ* om. T.
ib. *ἐμφαίνειν*] *ἐμφαίνουσαι* A.M.T.
ib. *πατρίας*] *πατρίου* A.
ib. *εἰ γὰρ καὶ*] *καὶ* om. C.
17. *πάτριον*] *πατρῷον* M.
ib. *ἔσωζον ἀ.*] *ἀ. ἔσωζον* I.
18. *ὡς* om. M. *καὶ* C.
ib. *Σοφοκλῆς*] Fragm. 186.
ib. *ἐν* om. C.
ib. *ἀπαιτήσει*] *ἀπαιτούσης* (sic) C.
19. *αὐτὸς*] *τὸν* A.
20. *παρηγορεῖ*] *προσηγορεῖ* A.M.T. *παρη* C.
ib. *ὀσμᾶσθαι*] *ὁρμᾶσθαι* C.T. *ὁρᾶσθαι* M. *ὁρμ̂* A.
ib. *λόγου*] *λόγῳ* A.

305. *χρόνῳ*: τὸ χρόνῳ καὶ τὸ μυρίαις ἐν ἁμέραις ἐκ παραλλήλου. Gu. σὸν ὄμμα: τὴν σὴν ὄψιν ἐν παρατάσει πλείστων ἡμερῶν εἶδον. Gr. Cant.

306. ἀμφίβαλλε μαστόν: τὸν μαστὸν τῆς σῆς μητρὸς περίβαλλε ταῖς σαῖς ὠλέναις. ὁ δὲ πᾶς νοῦς, περιπτυξάμενος ἄσπασαί με. ἔστι τὸ ἀμφίβαλλε μαστόν ἀπὸ μέρους τὸ στῆθος. περίβαλλε, φησὶ, τὸ στῆθος τῆς μητρὸς ταῖς σαῖς χερσὶ, καὶ τὸ τῶν παρηΐδων σου ὄρεγμα, ἤγουν ἔκταμα, περίβαλλέ μοι. A.B.C.M.I.

ἀμφίβαλλε μαστόν: περίβαλε τὸν μαστὸν τῆς σῆς μητρὸς ταῖς σαῖς ὠλέναις. Gr. περίβαλε τὸ σὸν στῆθος. ἀπὸ μέρους τὸ πᾶν. Gu.

308. παρηΐδων τ' ὄρεγμα: τὸ ἔκταμα, τὸ ἄσπασμα τῆς παρειᾶς μου περίβαλλε ταῖς σαῖς ὠλέναις. A.C.M. Fl. 33. ἤγουν τὰς παρειὰς, περιφραστικῶς. ὄρεγμα: δόσιν, ἔκτασιν. Gu. πόρισον ὄρεγμα καὶ παροχὴν τῶν ἐμῶν παρειῶν, τουτέστι παράσχου ταῖς ἐμαῖς παρειαῖς. Fl. 21.

309. κυανόχρωτα: καὶ τὸν κυανόχρωτά σου πλόκαμον περίβαλλε τῷ τραχήλῳ μου, καὶ κατασκίαζε τοῦτον τοῖς βοστρυχώδεσί σου πλοκάμοις· ἐκ κοινοῦ γὰρ τὸ ἀμφίβαλλε· οὐ γὰρ τὸν ἑαυτῆς πλόκαμον λέγει, ὡς μικρὸν ὕστερόν φησιν ἑαυτὴν ἐξυρῆσθαι διὰ τὸ πένθος. A.B.C.M.T.I.

κυανόχρωτα: ὄρεγε ταῖς ἐμαῖς παρειαῖς καὶ τὸν πλόκαμον τῶν βοστρύχων τῆς σῆς χαίτης, ὄρεγε δηλονότι, σκιάζων τὴν ἐμὴν δέρην. Gr. Cant. Mosq.

4. ἀμφίβαλλε—ὠλέναις om. C.
ib. σῆς om. B.
ib. περίβαλλε — ὠλέναις] περίβαλε —ἀγκάλαις A.
5. ὁ δὲ] δὲ om. B.C.I.
6. ἔστι] δὲ addit Matth.
ib. ἀμφίβαλλε] ἀμφίβαλε A.M. ἀμφιβάλου C. qui pergit μ. ἀ. μέρους τῆς μητρὸς τὸ στῆθος ταῖς χερσί σου καὶ —τὸ ἔκταμα περιβάλου μοι.
ib. περίβαλλε (περίβαλε A.), φησὶ, τὸ στῆθος addidi ex A.M.
8. ὄρεγμα ἤγουν om. A.M.
ib. περίβαλλε] περίβαλε A.I.
12. τὸ ἔκταμα om. C.
13. περίβαλλε] περίβαλε C.
17. κυανόχρωτα] κυανοχρῶτα I.
18. σου om. C.
19. ἀμφίβαλλε B.I. ἀμφίβαλε C. T. περίβαλε M.
21. ὡς] ὅτι I.
ib. φησιν ἑαυτὴν ἐξυρῆσθαι A.C.M. ἐξυρῆσθαι φησὶν ἑαυτὴν B. δέ φησι ἑαυτὴν ἐξυρῆσθαι T. ἐξυρεῖσθαι αὐτὴν φησὶ I.
ib. πένθος] πάθος C.
22. πλόκαμον] τὸν μελανόχρουν add. Gu. supra versum et Mosq. Glossemata μέλανα et μελανόχρουν sunt in Gu.

σκιάζων: περικαλύπτων. Gu. δέραν: τὸν ἐμὸν τράχηλον. M. ἀντὶ τοῦ ἀγαπητικῶς περιπτυσσόμενος ἐκτενῶς ἀσπάζου τὴν μητέρα. A.B.C.M.I. λέγω τράχηλον. Gu.

310. ἰώ: ὦ Πολύνεικες. Gu. ἰὼ μόλις φανείς: ἐπιφανείς, ἐπιδημήσας. Gr. Cant.

311. ἄελπτα κἀδόκητα: ἀνέλπιστα καὶ ἀπροσδόκητα. Gr. παρ' ἐλπίδας καὶ ἀπροσδοκήτως. ὄνομα ἀντὶ ἐπιρρήματος. Gu. ὦ παρ' ἐλπίδα φανεὶς καὶ ἀπροσδοκήτως εἰς τὰς ἐμὰς χεῖρας. A.C.M.

312. τί φῶ σε: τί σοι εἴπω, πῶς προσφθέγξομαί σε; καὶ πῶς τὰ πάντα λάβω, τέρψιν παλαιὰν καὶ χαρμονὴν καὶ πολυέλικτον ἡδονὴν χερσί τε καὶ λόγοις, ἐκεῖσε καὶ τὸ δεῦρο περιχορεύουσα, ἀντὶ τοῦ περισκιρτῶσα πανταχῇ. A.B.C.M.I. ὀνομάσω σε. Gr. et gl. Gu. ἅπαντα: τὰ μέλη. Gu.

πῶς ἅπαντα: θέλουσα ἡ Ἰοκάστη ὅσην ἔσχεν ἐπὶ Πολυνείκει φανέντι ἡδονὴν παραστῆσαι πῶς ἅπαντα λάβω; φησί, τουτέστι πῶς καὶ διὰ λόγων καὶ δι' ἔργων καὶ πανταχόσε σκιρτῶσα λάβω ἡδονὴν πολύτροπον καὶ παντοίαν, δι' ἔργου καὶ λόγου καὶ σκιρτημάτων γινομένην· ταῦτα γὰρ οἱ ἀπροσδοκήτως τοὺς αὐτῶν ὁρῶντες δρᾶν εἰώθασι. τὸ δὲ παλαιὰν χαρμονάν ἀντὶ τοῦ ἧς ἐκ πολλοῦ τυχεῖν συνηυχόμην ἐπὶ τῷ σὲ ἰδεῖν καὶ προσπτύξασθαι. σκόπει δὲ τὸ ποικίλον· δέον γὰρ εἰπεῖν, πῶς ἅπαντα λάβω καὶ ἐν χερσὶ καὶ ἐν λόγοις καὶ ἐν ποσίν, ὁ δὲ οὐχ οὕτως ἐξήνεγκεν, ἀλλὰ τὸ μὲν χερσὶ καὶ λόγοις πρὸς τὸ λάβω συνῆψεν, ἐκ δὲ τοῦ εἰπεῖν ἐκεῖσε καὶ τὸ δεῦρο περιχορεύουσα τὸ ποσὶν ἐδήλωσε· ποδῶν γὰρ τὸ χορεύειν. Gu. Bar.

313. καὶ χερσίν: καὶ διὰ τῶν χειρῶν καὶ διὰ τῆς κόμης πολύστροφον ἡδὺ σκίρτημα. Gr. κόμαισι: διὰ τῆς κόμης. Mosq.

2. ἀγαπητικῶς] ἀγαπητῶς B.M.

ib. ἐκτενῶς ἀσπάζου] καὶ ἐκτενῶς ἀσπαζόμενος A., om. I. καὶ ἐκτενῶς etiam C.

7. ὦ] ἆ A.

9. εἴπω] λέγω C.

ib. πῶς—] Haec habet etiam Flor. 33. a vv. πῶς φθέγξομαί σοι, ut habet pro πῶς προσφθ. σε. tum aliud addit: Ἄλλως. πῶς κατὰ πάντα ἐκπληρώσω τὴν ἡδονὴν λόγοις καὶ ἔργοις τῇδε κἀκεῖσε. πῶς περιχορεύουσα τέρψιν λάβω τὴν πολύστροφον ἡδονήν;

ib. καὶ πῶς] καὶ om. C.

11. καὶ τὸ—ἀντὶ τοῦ περισκιρτῶσα] ὡς τὸ—ὅ ἐστι σκιρτῶσα A.

ib. ἀντὶ τοῦ περισκιρτῶσα om. C.

12. πανταχῇ] πανταχοῦ C. om. A.M. sed ad πῶς M. habet gl. κατὰ πάντα.

20. συνηυχόμην Gu. ηὐχόμην Bar.

πῶς ἂν λάβω ἀπόλαυσιν τῶν παλαιῶν εὐφροσυνῶν. Gr. *περιχορεύουσα: ἀντὶ τοῦ σκιρτῶσα.* M. *περισκιρτῶσα πολύστροφον ἡδὺ σκίρτημα καὶ διὰ τῶν χειρῶν καὶ διὰ τῆς κόμης, ἅπαντα καὶ τὸ ἐκεῖσε φέρον καὶ τὸ δεῦρο.* Gr. Cant.

314. *πολυέλικτον: πολύστροφον, πολύπλεκτον, ποικίλην, τὴν πανταχόθεν με ἔχουσαν ἡδονήν.* A.B.C.M.I. *πολύτροπον, ποικίλην, πολύστροφον.* Gu.

316. *παλαιᾶν: ἀντὶ τοῦ παλαιῶν ἡδονῶν χαρμονήν.* B.I. *ἀντὶ τοῦ παλαιῶν ἡδονῶν. αἰτιατικὴ ἀντὶ γενικῆς.* M.

318. *ἔρημον πατρῷον: σοῦ ἔρημον δηλονότι· τὴν γὰρ αὐτοῦ ἀπουσίαν ἐρημίαν τοῦ παντὸς οἴκου οἴεται.* A.B.M.I. *τὴν γὰρ τοῦ υἱοῦ ἀποδημίαν οἴεται ἐρημίαν τοῦ πατρῴου οἴκου.* Gu.

319. *φυγάς: φυγὰς διωχθεὶς τῇ ἀδικίᾳ καὶ ὕβρει τοῦ ἀδελφοῦ.* M. *ἐξόριστος ἀποπεμφθεὶς* (*ἀποδιωχθεὶς* Gu.) *ἀδελφοῦ ἀδικίᾳ* (*ὕβρει, ἀτιμίᾳ.* Gu.) Gr. Cant.

320. 321. *ἢ ποθεινός: ὁ ἢ βεβαιωτικὸς ἀντὶ τοῦ ὄντως ἐκειρόμην.* B. *ὅτε οὐκ ἦσθα ἐνθάδε, ὑπῆρχες φίλοις ὄντως ποθούμενος καὶ ἐπιζητούμενος.* Gr. Cant.

322.—326. *ἀφ' οὗ, ὦ τέκνον, καὶ τὴν ἐμὴν λευκόχροα κόμην ἐκειράμην, ἀφιεῖσα, φωνὴν δηλονότι, θρηνώδη μετὰ δακρύων, ἀμέτοχος λευκῶν ἱματίων ὑπάρχουσα, τὰ δυσόρφναια καὶ σκότια τρύχη διαδέχομαι.* Gr. Cant.

322. *ὅθεν ἐμάν: ἀφ' οὗ σὺ ἔφυγες, κείρομαι τὴν πεπολιωμένην κόμην, ἀντὶ τοῦ ἐπὶ σοὶ ἐκειράμην ἀποβαλοῦσα ἐπὶ τῷ σῷ πένθει.*

5. *πολυέλικτον*] *δὲ* addit C., qui haec adjungit scholio v. 312. post *πανταχοῦ*.

ib. *πολύστροφον* om. B.I.

ib. *πολύπλεκτον* om. C.

ib. *τὴν* et *με* om. A. *με* om. C.

6. *ἔχουσαν*] *περιέχουσαν* M.

8. *ἀντὶ τοῦ* om. I.

9. *αἰτιατικὴ*—] Scholiasta legit *παλαιὰν—χαρμονάν* vitiose pro *παλαιᾶν—χαρμονᾶν*.

11. *τοῦ—οἴεται*] *ὡς ἔρημον δηλονότι τὴν αὐτοῦ ἀπουσίαν ἐρημίαν τοῦ ὑπὸ τὴν Ἰοκάστην* A.

ib. *γὰρ* om. M.

16. *ὁ ἢ* (*ἦ* B.)—*ἐκειρόμην*] Brevius M. *βεβαιωτικῶς ἀντὶ τοῦ ὄντως.* In Gr. *ὄντως*, in Gu. *βεβαιωτικόν*.

17. *ὅτε—φίλοις* Gu., reliqua Gr.

23. *κείρομαι*] *ἐκειρόμην* C.T.

ib. *πεπολιωμένην*] *πεπολιαμένην* A.

24. *κόμην* om. M.

ib. *ἀντὶ τοῦ*] *κείρομαι ἀντὶ τοῦ ἐκειράμην εἰς σὲ, ἀντὶ τοῦ* M. In A. est *καὶ μετὰ δακρύων αὐτὴν ἀποβαλοῦσα… …πενθήρη ἀπενθέα* etc.

ib. *ἐπὶ τῷ σῷ πένθει* om. M.

ib. *πένθει*] Sic C., non *πάθει*, quod ei tribuit Valck. Neque aliter, ut opinor, T.

πενθήρη κόμαν, ἀπενθέα, ὅ ἐστι πολυπενθῆ κόμην. ἢ ὅτι τὴν λευκόχροα κόμην ἐκειράμην εἰς τὰ σὰ πένθη, νομίζουσά σε τεθνηκέναι, ὅτε ἀπεδήμεις, ἵνα τὸ πλῆρες ᾖ εἰς ἃ, ἢ εἰς σὲ τὸν πολυπενθῆ. A.C.M. T. μετὰ δακρύων αὐτὴν ἀποβάλλουσα ἐπὶ τῷ σῷ πένθει. B. λευκόχροα: τὴν πεπολιωμένην. M. κείρομαι: ἐκειράμην. M.

324. ἄπεπλος φαρέων: ἀντὶ τοῦ ἀμέτοχος διαλεύκων φαρέων οὖσα τὰ δυσόρφναια καὶ σκότια τρύχη διαδέχομαι. A.B.C.M.T. Ἄλλως. ἀντὶ τοῦ μελανοφόρος. καὶ στικτέον εἰς τὸ τέκνον. A.B.C.M.T. ἀνείμων λευκῶν ἱματίων ὑπάρχουσα τὰ δυσόρφναια καὶ σκότια τρύχη διαδέχομαι. I. ἀμέτοχος ἐνδυμάτων λευκῶν. ἀλλάσσω δὲ ἀντὶ τοῦ ἤλλαξα ταῦτα τὰ τρίχινα ἐνδύματα τὰ δυσόρφναια, τὰ σκότια, ἐκ παραλλήλου ἀντὶ τοῦ μέλανα. Gr.

325. δυσόρφναια: μέλανα. B. Gr. ἀντὶ τοῦ σκοτεινὰ καὶ ῥερυπωμένα, σκότια καὶ μέλανα. τὴν δὲ ἀμφὶ πρὸς τὸ ἀμείβομαι, τουτέστι περιβάλλομαι. τρύχη δὲ τὰ ῥακώματα τὰ δυσόρφναιά τε καὶ σκότια, ἃ περιβάλλομαι. A.C.M.T.

327. ὀμματοστερής: ὁ Οἰδίπους ἐστερημένος τῶν ὀμμάτων. M. ὁ τῶν ὀμμάτων ἐστερημένος ζεύγους συγγενικοῦ. Gr. ὁ δ' ἐν δόμοισι πρέσβυς: ἤγουν ὁ Οἰδίπους ὁ τῶν ὀμμάτων ἐστερημένος τοῦ ζεύγους τοῦ συγγενικοῦ, ἤγουν ὑμῶν τῶν δύο ἀδελφῶν τῶν χωρισθέν-

1. πένθηρη—πολυπενθῆ] Sic M.T. nisi quod ὅ ἐστι om. M., in T. autem pro eo est ἀντί. In C. post aliquot literarum spatium vacuum est ι πενθῆ ὅ ἐστι πολυπενθῆ.

2. νομίζουσα—ἀπεδήμεις et ᾖ εἰς ἃ om. A. in lacuna.

ib. σε] τε C.

3. ἀπεδήμεις C.M. ἀπεδήμησας T.

ib. ᾖ om. C.

ib. ἢ εἰς] καὶ εἰς A.

6. ἀμέτοχος] ἄπεπλος addunt A. C.M.T.I. In B. hoc scholion incipit ἄπεπλος: διὰ λευκῶν φαρέων οὖσα etc. In Gr. et Cant. ἀφ' οὗ, ὦ τέκνον, καὶ τὴν ἐμὴν λευκόχροα κόμην ἐκειράμην, ἀφιεῖσα, φωνὴν δηλονότι, θρηνώδη μετὰ δακρύων, ἀμέτοχος λευκῶν ἱματίων ὑπάρχουσα τὰ δυσόρφναια—διαδέχομαι.

ib. διαλεύκων A.C. διὰ λευκῶν M.T.

7. σκότια] σκότεια C. καὶ σκότια τρύχη om. A. in lacuna.

8. εἰς τὸ C. ἐν τῷ A.B.M.

ib. τέκνον] τέκνων C.M.

11. τρίχινα] τρῖχηνα Gr.

13. ῥερυπωμένα] ἐρυπωμένα A. ἐρρυπωμένα M. ἐρητρωμένα T.

14. μέλανα] μέλαινα A.

ib. πρὸς τὸ] ἀντὶ τοῦ C. μετὰ τὸ A. Sola verba ἡ ἀμφί πρὸς τὸ ἀμείβομαι, περιβάλλομαι sunt in B.

15. τρύχη δὲ τὰ ῥακώματα τὰ] τρύχη ῥακώματα C.T.

ib. τε καὶ om. M. τε om. A.

ib. σκότια] σκοτεινά C.T.

16. ἃ περιβάλλομαι om. C.T.

19. ἤγουν ὁ Οἰδίπους] ὁ οἰδίπους δὲ Cant.

των τῶν δόμων ἐπιθυμίαν ἔχων περίδακρυν ἀεὶ, ὥρμησε μὲν καὶ ἐπ' αὐτόχειρα σφαγὴν ξίφους, καὶ ἐπὶ πνιγμονὴν ὑπὲρ τὰ ὑψηλὰ οἰκήματα, μετὰ στεναγμοῦ ἐπαρώμενος ἀρὰς τοῖς τέκνοις. Gr. Cant.

328. ἀπήνας ὁμοπτέρου: συζυγίας. Ἐτεοκλέα καὶ Πολυνείκην ἀπήνην εἶπεν, ἥτις ἐκ δύο βοῶν ἕλκεται. A.B.C.M.I. τῆς ὁμογενοῦς καταχρηστικῶς ἀπὸ τῶν ὀρνέων. B.M. ἀπήνη ἡ ἐκ βοῶν δύο ἑλκομένη ἅμαξα. ἐκάλεσεν οὖν Ἐτεοκλέα καὶ Πολυνείκην δύο ὄντας. Gu. τῆς συζυγίας τῶν τέκνων ζεύξεως. Gu. ὁμοπτέρου: ἀπὸ μεταφορᾶς τῶν ὁμοειδῶν ὀρνέων, ἃ ἀπὸ τοῦ τοῖς αὐτοῖς πτεροῖς χρῆσθαι γνωρίζουσι τὴν ἑαυτῶν συγγένειαν καὶ τὸ ὁμοειδές. Gr. Cant. ὁμοδιαίτου, ὁμοκινήτου, ἤγουν ἀδελφικῆς, συγγενοῦς, καταχρηστικῶς ἀπὸ τῶν ὀρνέων. Gu.

330. πόθον ἀμφιδάκρυτον: καίπερ πόθον ἔχων ὅμως ἀποθανεῖν ἐζήτει. A.M.T. περίδακρυν. Gr. πολυδάκρυτον. Gu.

331. ἀνῆξε μὲν ξίφους: ἀντὶ τοῦ ὥρμησε καὶ ἐπὶ σφαγὴν ξίφους αὐτόχειρα. Ἄλλως. ὥρμησε μὲν κατὰ τοῦ ξίφους, ὥρμησε δὲ καὶ ἐπ' αὐτόχειρα σφαγὴν ὁμοίως ἐπ' ἀγχόνην. A.C.M.T. ξίφους: ἣν τὸ ξίφος δηλονότι ποιεῖ. Gr. Fl. 6. 9. 21. 56. 59. 76.

332. αὐτόχειρα: αὐτουργόν. Gr. Florr. iidem. et 5.

333. ὑπὲρ τέραμνα, καὶ εἰς τὰ μετέωρα τῆς ἀγχόνης, ἀπὸ κοινοῦ τὸ ἀνῆξεν. A.B.C.M.I. Ἄλλως. καὶ ἐπὶ ἀγχόνας ὥρμησε τὰς ὑπὲρ τέραμνα, ὅ ἐστιν ὑψηλότατα. τέραμνα δέ ἐστι τὰ ὀροφώματα. A.B.C.M. Ἄλλως. καὶ ἐπὶ ἀγχόνας ὥρμησε μὲν, καὶ κατὰ τοῦ ξίφους ὥρμησε, καὶ ἐπὶ σφαγὴν ὁμοίως καὶ ἀγχόνης αὐτόχειρα. I. τέραμνα: τὰ ὑψηλὰ οἰκήματα. Gr. τὰ τέγη, τὰ ὀροφώματα. τέρεμνα κυρίως τὰ ἄκρα. Gu.

334. στενάζων: διὰ τὰς ἐπὶ τῶν τέκνων ἀράς. B.M. διὰ τὰς

1. ἔχων post ἀεὶ Cant.
4. Ἐτεοκλέα] δὲ addit B.
5. ἀπήνην] ἀπήναν B. ἀπῆναι M.
ib. ἐκ] ὡς A.
ib. τῆς ὁμογενοῦς] τοὺς συγγενεῖς M.
15. ξίφους] ξίφος M.
16. μὲν om. A.C. καὶ om. M.
17. ἐπ' αὐτόχειρα σφαγὴν] ἐπὶ σφαγὴν A.M.
ib. ἐπ'] καὶ ἐπὶ M.
21. τὸ ἀνῆξεν] τοῦτο ἀνῆξεν A.
ib. καὶ ἐπὶ] καὶ om. M.
ib. ἀγχόνας] ἀγχόνης A.
22. τέραμνα] τέρεμνα A.C.M. hic et supra.
ib. ὅ ἐστιν] καὶ εἰς τὰ C.
ib. τέραμνα δὲ] δὲ om. B.
ib. ἐστι M. λέγειν (sic) C., om. B.
ib. ὀροφώματα] ὀροφήματα B.C.

ἀρὰς, ἃς ἐποιήσατο κατὰ τῶν τέκνων. μετέγνω γὰρ ἐπὶ τῷ καταράσασθαι τοῖς παισίν. A.B.M.I. μετὰ στεναγμῶν ἀρώμενος. Mosq. ἀποκλαιόμενος· μετέγνω γὰρ τοῖς παισὶ καταρασάμενος· τοῦτο γὰρ καὶ τοῦ χωρισμοῦ αἴτιον γέγονεν. Gu.

335. σὺν ἀλαλαῖσι: σὺν ἀλαλαγμοῖς. Gr. κλαυθμοῖς καὶ βοαῖς. Gu. αἰαγμάτων: θρηνημάτων. ἀλαλαὶ κυρίως αἱ ἐπὶ τῶν θυσιῶν εὐχαί. Gr. Cant.

κρύπτεται: κρύπτεται δ' ἐν τῇ σκοτίᾳ σὺν ταῖς ἀλαλαῖς τῶν αἰαγμάτων, ὅ ἐστι σὺν ταῖς βοαῖς τῶν θρήνων. A.B.M.

336. καὶ γάμοις δὴ κλύω ζυγέντα: ζευχθέντα, συναφθέντα. ἀκούω σε ἐν γάμοις ζυγέντα παιδοποιὸν ἔχειν ἡδονήν. A.B.M.

339. ξένοισιν ἐν δόμοις: ταῦτα διὰ μέσου. τὸ γὰρ ἑξῆς, σὲ δ', ὦ τέκνον, ἀκούω ἐπὶ ξένης ζευχθῆναι, καὶ ξένην συγγένειαν ἔχειν, καὶ ἄτην γάμων αὐθαίρετον, τουτέστιν ἣν αὐτὸς σεαυτῷ ἐπηγάγου. ταῦτα δὲ ἀνεπίληστα ἐμοί τε καὶ τῷ σῷ προγόνῳ Λαΐῳ, εἰ καὶ τέθνηκεν ἤδη. A.B.C.M.I.

σὲ δ', ὦ τέκνον, ἀκούω καὶ παιδοποιὸν ἡδονὴν ἔχειν ἐν ξένοις δόμοις γυναικὶ συζυγέντα, καὶ ξένην συγγένειαν περιέπειν, γάμων ἐπακτὴν ἄτην, ἤγουν λέγω γάμων βλάβην ἐπείσακτον, τουτέστι ξένων καὶ ἀπ' ἀλλοτρίου γένους. τὸ δὲ "ἄλαστα μητρὶ τάδε καὶ Λαΐῳ τῷ παλαιγενεῖ" διὰ μέσου, ἤγουν οὐκ εἰσὶ τάδε δυνάμενα ὑπὸ τῆς μητρὸς ἐπιλησθῆναι καὶ ὑπὸ τοῦ Λαΐου τοῦ παλαιοῦ. Gr. Cant.

340. ξένον τε κῆδος ἀμφέπειν: τὸ ἑξῆς, ξένον δὲ κῆδος ἀμφέπειν γάμων. ποῖον κῆδος; τὴν ἄτην ἣν ἐπηγάγου ἡμῖν· διὰ γὰρ τοῦ

1. ἐποιήσατο M. ἐποίησεν A. κατηρᾶτο B.I.
ib. κατὰ B.M. μετὰ I.
ib. ἐπὶ τῷ] ἐπὶ τὸ A.
8. σὺν ταῖς ἀλαλαῖς] σύν τε ἀλαλαγαῖς A.
9. ὅ ἐστι—θρήνων est etiam in C.
10. ζευχθέντα om. A.
ib. συναφθέντα] καὶ συναφθέντα B.
11. ἀκούω—ζυγέντα om. B. In A. est ἀκούω σε ἐν γάμοις διὰ τὸ παιδοποιὸν ἔχειν ἡδονήν. unde ἔχειν recepi.
ib. ἡδονήν] εἶδεν M. ἡδονὴν τὴν γαμηλῖ, B.
12. ξένοισιν ἐν δόμοις] Lemma σὲ δ' ὦ τέκνον in I.
ib. ταῦτα—τὸ (τοῦτο C.) γὰρ ἑξῆς addidi ex A.B.C.
13. ἐπὶ ξένης] ἐπὶ ξένοις A.
ib. ξένην] ξένοις I.
15. ταῦτα δὲ] τὰ C.
ib. ἀνεπίληστα] ἀνεπίληπτα C.M. Conf. schol. v. 343.
ib. τέθνηκεν ἤδη] ἤδη τέθνηκεν B.I.
19. γάμων β.] β γάμων Cant.
24. ἐπηγάγου] ἐπήγαγεν C.M.
ib. γὰρ om. M.

γάμου πολεμεῖς τὴν πατρίδα. A.B.C.M.I. τὰ δὲ ἑξῆς διὰ μέσου. B.I. κῆδος ἀμφέπειν: ἐπιγαμβρίαν. ἀντὶ τοῦ περιέπειν. M. συγγένειαν περιέπειν, ἤγουν θεραπεύειν, θάλπειν. περιέπειν τὸ φίλον τινὰ κυβερνᾶν καὶ θάλπειν· διέπειν δὲ τὸ διοικεῖν. Gr. Cant.

341. ἄλαστα μητρὶ τάδε: ὡσεὶ ἔλεγε μέγιστα δυστυχήματα ἐμοῦ τε καὶ τῶν σῶν προγόνων. B.C.M.I.

ἄλαστα μητρὶ τάδε: τουτέστιν οὐ μόνον ἡμῖν τοῖς ζῶσιν οὐ δυνατὸν ἐπιλαθέσθαι ὧν ἐποίησας, μὴ παρ' ἡμῖν γήμας, ἀλλ' ἐν ἀλλοτρίοις τόποις, ἀλλὰ καὶ οἱ τεθνηκότες, εἴπερ αἴσθησις, ἴσασί τε ταῦτα καὶ μέγιστα δυστυχήματα ἡμῖν τε καὶ σφίσιν αὐτοῖς λογιζόμενοι διατελοῦσιν. Gu.

342. τῷ παλαιγενεῖ: τῷ παλαιῷ, τῷ πάλαι, ἤγουν πρὸ μακροῦ, γεγονότι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1. πολεμεῖς] πολεμεῖ ♀ τὸ μὴ κατὰ (sic) M.

3. θάλπειν] διὰ μέσου addit Cant., recte, si scribatur τὰ δὲ ἑξῆς διὰ μέσου, ut est in scholio superiore.

ib. περιέπειν — διέπειν] Quae sequuntur de diversa potestate verborum Περιέπειν et Διέπειν e scholiis in Sophoclis Elec. 653, ubi suo loco leguntur, in hunc alienum fuerunt a recentiori magistro translata. Sopboclea Clytaemnestra desiderabat, fortunata Δόμους 'Ατρειδῶν σκῆπτρά τ' ἀμφέπειν. prostat ibi scbolion sic scriptum: 'Αμφέπειν] Τὸ γὰρ διέπειν, εὐθετεῖν, περιέπειν δὲ τὸ φίλον τινὰ κυβερνᾶν καὶ σκέπειν. his mirum in modum abusus est vir clar. in Miscell. Observ. 10. p. 112. ut ostenderet scholiasten 'Αμφέπειν et Περιέπειν distinxisse: vocula γάρ, quam praetermisit ille, debuerat errantem revocare; docet autem notatum a grammatico Sophoclem eo, quod 'Αμφέπειν scripserit, ubi ponendum fuerat ipsius judicio Διέπειν. Articulus apud grammaticos pracfigitur expositioni; quod, multis iguoratum, dudum monuerat Henr. Stepbanus App. de D.A. p. 221. Qui scbolia legerit in Sophoclem paulo diligentius hacc mecum restituet: 'Αμφέπειν] Τὸ χ. τὸ γὰρ εὐθετεῖν Διέπειν· Περιέπειν δὲ τὸ φίλον τινὰ κυβερνᾶν καὶ σκέπειν. Sic legitur τὸ χ his in scboliis ad Antig. 746, 752, 1190. Oed. Col. 367. Tracb. 405. Pbil. 418. saepius alibi, modo nonnibil diverso: nonnunquam additur, κακῶς—διὸ τὸ χ. Optime Alberti ad Hesycb. in 'Αμφιέπουσα corrigebat περιέπουσα pro περιέχουσα. id ipsum sine dubitatione Dio restituendum in Stobaei Floril. p. 408, 39. *formosos* οἱ πλεῦνες ὡς θεοὺς ἢ θεῶν ἱδρύματα περιέποντι καὶ θεραπεύοντι. frequenter ista duo περιέπειν καὶ θεραπεύειν jungit Plutarchus vol. 2. p. 752 B. 942 A. 982 D. Libello de Is. et Osir. p. 169. τὰ ζῶα θεραπεύοντες καὶ περιέποντες ὡς θεούς. p. 169, περιέπουσι ταῦτα καὶ θεραπεύουσιν. Apud veteres, et recentiores inprimis, multo περιέπειν occurrit frequentius quam διέπειν. VALCK.

5. ἄλαστα μητρὶ τάδε om. B.I.

ib. μέγιστα om. I.

6. προγόνων] Addit A. a m. rec. ὅτι διὰ τὸ ξένον κῆδος ἐπήγαγες πόλεμον τῇ πατρίδι.

343. *γάμων ἐπακτὸν ἄταν*: τὸ σὲ μὴ μετασχεῖν ὁμοφύλου γυναικός. A.B.C.M.I.

ἐπακτόν: ξένην αὐθαίρετον, ἣν αὐτὸς ἑαυτῷ ἐπήγαγες. Gu. τὸ δὲ ἐπακτὴν γάμων ἄτην ἢ διὰ τὸ μὴ μετασχεῖν αὐτὸν ὁμοφύλου γυναικὸς, ἀλλ' ἑτερογενοῦς νοητέον, ἢ διότι συνέβαλλον αὐτῷ οἱ τοιοῦτοι γάμοι κατὰ τῆς πατρίδος στρατεῦσαι καὶ τῆς ἐπ' αὐτῇ βλάβης κατέστησαν πρόξενοι. ἐπακτῶν δὲ γάμων ὀφείλων εἰπεῖν ἄτην, πρὸς τὸ ἄτην ἐπήνεγκεν Ἀττικῶς, ἐπακτὴν ἄτην εἰπὼν, ὥσπερ ὅταν λέγωμεν τὰ ἡμέτερα αὐτῶν, δέον εἰπεῖν τὰ ἡμῶν αὐτῶν, καὶ ἕτερα μυρία τοιαῦτα. Gu.

344.—348. *ἐγὼ δ' οὔτε σοί*: ἐγὼ δέ σοι οὐδαμῶς ἐν τοῖς γάμοις ἀνῆψα φῶς πυρὸς νενομισμένον, καθὰ πρέπει μητρὶ εὐτυχεῖ, ὁ Ἰσμηνὸς δὲ ποταμὸς ἐπεγαμβρεύθη ἀνυμέναια τῆς λουτροφόρου χλιδῆς, ἤγουν χωρὶς τῆς γαμικῆς λουτροφόρου τρυφῆς, τουτέστι χωρὶς τοῦ προσενεγκεῖν τρυφὴν λουτρῶν γαμικῶν. Gr. Cant.

ἐγὼ δ' οὔτε σοί: ἔθος γὰρ ἦν τὴν νύμφην ὑπὸ τῆς μητρὸς τοῦ γαμοῦντος μετὰ λαμπάδων εἰσάγεσθαι. A.B.M. Gu. I.

345. *νόμιμον*: τὸ εἰωθός. M. *νενομισμένον* σύνηθες. Gr. Mosq.

346. *ὡς πρέπει*: ὡς ἁρμόζει. M. καθά. Gr. ἁρμόζει. Gu.

347. *ἀνυμέναια*: ἀνυμεναίως, ἀπορεύτως. Ἄλλως. οὐ μετέσχε τῶν σῶν ὑμεναίων, οὐδὲ τῇ σῇ πρὸς τὸν Ἄδραστον ἐπιγαμβρείᾳ συνήσθη· οὐ γὰρ ἐδέξω τὰ παρ' αὐτοῦ λουτρά. εἰώθασι γὰρ οἱ νυμφίοι τὸ παλαιὸν ἀπολούεσθαι ἐπὶ τοῖς ἐγχωρίοις ποταμοῖς καὶ περιρραίνεσθαι λαμβάνοντες ὕδωρ τῶν ποταμῶν καὶ πηγῶν, συμβολικῶς παιδοποιίαν εὐχόμενοι, ἐπεὶ ζωοποιὸν τὸ ὕδωρ καὶ γόνιμον. A.B.C.M. T. ἀνυμεναίως δὲ καὶ ὁ Ἰσμηνὸς ἐκηδεύθη καὶ πρὸς ἐπιγαμβρείαν ἐδόθη τῷ Ἀδράστῳ, ἐπειδὴ Θηβαῖος ὁ ποταμός. ἐκηδεύθη δὲ καὶ

16. γὰρ om. I.

17. μετὰ λαμπάδων om. A., ante ἀπὸ (sic codex pro ὑπὸ) τῆς ponit Gu.

20. ἀπορεύτως] ἀπαγορεύτως M.

ib. μετέσχε] μετεῖχε T.

21. οὐδὲ—ἐπιγαμβρείᾳ] οὔτε—ἐπιγαμβρίᾳ T.

22. συνήσθη] συνήιθη M. In C. συνήδει esse videtur. συνήσθη ante τῇ σῇ ponit A.

ib. οἱ νυμφίοι τὸ παλαιὸν] οἱ παλαιοὶ A.C.

24. ποταμῶν καὶ πηγῶν] τῶν περὶ γάμων ἐπάγων A.

25. ἐπεὶ ζωοποιὸν τὸ] ἐπὶ ζωοποιόν τε A.

26. ὁ Ἰσμηνὸς] ὁ om. A.

ib. ἐπιγαμβρείαν] ἐπιγαμβρίαν A.

27. Θηβαῖος] ὢν addit M.

ib. ποταμός] πολυνείκης A. π... M.

ib. δὲ καὶ] δὲ om. M. καὶ om. A.

ἀνυμεναίως τῆς λουτροφόρου χλιδῆς· τὴν τρυφὴν γὰρ ταύτην νομίζουσιν οἱ ποταμοί. C.M. Ἄλλως. ἐπεγάμβρευσε δὲ τῷ Ἄργει ὁ Ἰσμηνὸς, μὴ μεταλαβὼν τῶν ὑμεναίων τῆς λουτροφόρου χλιδῆς, ὅ ἐστι, μήτε ὑμεναίων ἀκούσας μήτε λουτρά σοι ἐκπέμψας ὁ Ἰσμηνὸς οὐ συνήσθη ἐπὶ τῇ πρὸς τὸν Ἄδραστον ἐπιγαμβρείᾳ· οὐ γὰρ ἐδέξατο τὰ παρ' αὐτοῦ λουτρά. A.B.C.M.T.I.

ἔθος ἦν τοῖς παλαιοῖς, ὅτε ἔγημέ τις, ἐπὶ τοῖς ἐγχωρίοις ποταμοῖς ἀπολούεσθαι, ἐμοὶ δοκεῖν, ἵνα κατὰ ῥοῦν αὐτοῖς τὰ πρὸς τὸν βίον χωρῇ. ἐπειδὴ οὖν καὶ ὁ Πολυνείκης, Θηβαῖος ὢν, οὐκ ἐνταῦθα ἔγημεν, ἵνα καὶ τῶν τοῦ ποταμοῦ μετάσχῃ λουτρῶν, ἀλλ' ἑτέρωθι, διὰ τοῦτο ἀνυμέναια λουτροφόρου χλιδῆς κηδευθῆναι τὸν Ἰσμηνὸν λέγει· τουτέστιν ἐκηδεύθη μὲν Ἰσμηνὸς τῷ Ἀδράστῳ διὰ τὸν Πολυνείκην, ὅτι δὲ οὐ μετέδωκε τούτῳ τῶν παρ' αὐτοῦ λουτρῶν, ἀνυμέναια καὶ ἀμέτοχα λουτροφόρου χλιδῆς ἐκηδεύθη. Gu. Bar. Leid.

349. ἐσιγάθη: ἀντὶ τοῦ οὐκ ἀνυμνήθη, ἢ ἀντὶ τοῦ ἐσιωπήθησαν. γράφεται δὲ καὶ ἐσιγάθησαν. B.M.T.I.

350. ὄλοιτο τάδ': ἀπόλοιτο ταῦτα τὰ κακὰ καὶ μεταβληθείησαν εἰς ἀγαθὰ, εἴ τίς ἐστιν αὐτῶν αἴτιος· λείπει γὰρ τὸ αὐτῶν. Ἄλλως. ὄλοιτο τάδε ἀντὶ τοῦ τῶνδε, ὡς τὸ "διά τ' ἔντεα καὶ μέλαν

1. ταύτην] ταύτης C.
2. Ἄλλως addidi ex A.C.M.
ib. ἐπεγάμβρευσε δὲ] In B.I. haec adjuncta scholio v. 343. post ὁμοφύλου γυναικός, omisso Ἄλλως.
ib. δὲ om. T.
ib. Ἄργει] ἀδράστῳ M. ἄργῳ A.
3. μεταλαβὼν] μεταβαλὼν C.
4. σοι om. M.
ib. ὁ] δὲ addit I.
5. ἐπιγαμβρείᾳ] ἐπιγαμβρίᾳ A.B. I. Gl. τῇ ἐπιγαμβρίᾳ in marg. B.
ib. τὸν om. C.
6. τὰ παρ' αὐτοῦ λουτρά om. C., παρ' αὐτοῦ om. A.
7. ἔθος—ὅτε ἔγημέ τις] εἰωθὸς—ὅταν ἔγημαν Gu.
8. αὐτοῖς post τὸν βίον Bar. Leid.
9. χωρῇ] χωρεῖ Leid.
11. τουτέστιν] τουτέστι καὶ Gu.
12. ὅτι] ἔτι Bar.
15. ἀντὶ — ἐσιγάθησαν M. ἀντὶ τοῦ οὐχ ὑμνήθη ἢ ἀντὶ τοῦ ἐσιωπήθησαν ἢ ἐσιγάθησαν A. ἐσιγάθη ἀντὶ οὐκ ἀνυμνήθη, ἢ ἀντὶ ἐσιωπήθησαν, γράφε ἐσιγάθησαν T. ἐσιωπήθησαν. γράφεται καὶ ἐσιγάθησαν ἀντὶ τοῦ οὐκ ἀνυμνήθησαν I. In B. duo scholia, ἀντὶ τοῦ οὐκ ἀνυμνήθη, et ἀντὶ τοῦ ἐσιωπήθησαν. γρ. δὲ καὶ—ἀνυμνήθησαν.
17. ταῦτα τὰ κακὰ] τάδε τὰ κακὰ I.
18. εἴ τις] καὶ εἴ τις B.
ib. ἐστιν αὐτῶν B.M. αὐτῶν ἐστὶν A.I. ἐστὶν om. C.
ib. λείπει] διὰ A.
ib. αὐτῶν] αὐτὸ M.
19. ὄλοιτο τάδε ἀντὶ τοῦ τῶνδε om. C., ἀντὶ τοῦ τῶνδε om. A.M.
ib. ὡς τὸ] ἐν τῷ C., non ὡς ἐν τῷ, quod ei tribuit Valck. et est in A. Locus est Homeri Il. 10, 298.
ib. διά τ'] διάγων A.

αἷμα." *ὁ οὖν τούτων αἴτιος καὶ πρόξενος ἀπόλοιτο, ὅστις ποτὲ ἄρα ἐστίν.* A.B.C.M.I. *φθειρέσθω, ἤγουν ἀποπέμπομαι ταῦτα καὶ φθορᾶς ἄξια κρίνω.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. *σίδαρος: ἡ μάχη.* B. *ἢ ὁπλίτης, ἢ ὁ Ἄρης.* A.C.M. *ὁ Ἄρης.* Gu. *ἔρις: ἡ τοῦ ἀδελφοῦ.* Gu.

351. *πατὴρ αἴτιος: διὰ τὰς ἀράς.* B.M.

352. *κατεκώμασε: κατεχόρευσε.* C.M. *ᾤκησε.* C. *σφοδρῶς ἐπῆλθεν.* C.M.I. *τῶν γὰρ κακῶν τούτων τὰ ἄχη εἰς ἐμὲ κατέσκηψεν.* A.C.M.T.I. *ὑβριστικῶς ἐπῆλθε.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. *μετὰ θορύβου ἐπῆλθε.* Fl. 33. *ἐπὶ κακῷ ἦλθε, μετὰ φθορᾶς εἰσῆλθε.* Gu.

353. *Οἰδιπόδα: ἡ εὐθεῖα ὁ Οἰδιπόδας.* Gr. Cant.

355. *δεινὸν γυναιξί: τίμιον, ἢ μέγα κακόν. Ἄλλως. δεινὸν ἀντὶ τοῦ τίμιον, θαυμαστόν. ὁ δὲ νοῦς· αἱ γοναὶ αἱ ὀδύνης αἴτιαι θαυμαστόν τι καὶ τίμιον παρὰ ταῖς γυναιξίν. ἐν ἤθει δὲ θαυμαστικῶς εἴρηται, ὅτι ταῖς γυναιξὶν ἡ ὀδύνη φίλτρον καθέστηκε καὶ παρὰ πάσαις τὸ φιλότεκνον σώζεται. Ἄλλως. αἱ δι' ὠδίνων γοναὶ, καθότι πρὸ τοῦ τεκεῖν πολλὴν ταλαιπωρίαν παρέχουσιν· ὡς εἰ ἔλεγε, καίτοι τῶν γονῶν ἐπωδύνων οὐσῶν, ὅμως φιλότεκνοί εἰσιν αἱ γυναῖκες.* A.B.C.M.I. *δεινὸν γυναιξίν: ἐπειδήπερ αἱ γυναῖκες μεγάλους ὑφίστανται πόνους πρὸς τὸ τεκεῖν, διὰ τοῦτο γυναιξὶν εἶπε καὶ οὐκ ἀνδράσιν· εἰ γὰρ καὶ ἄμφω συμβάλλουσι πρὸς τὰς τῶν παίδων γονὰς, ἀλλ' αἱ*

1. *ὃ*] *ὡς* I.

ib. *τούτων*] *τοῦδε* A.

ib. *ὅστις*] *εἴ τις* C.

4. *ἢ ὁπλίτης*] *ὁ ὁπλίτης* C.

6. *σφοδρῶς ἐπῆλθεν*] *σφοδρῶς κατεκώμασεν ἤτοι ἐπῆλθε* est in B.

7. *τῶν γὰρ κακῶν τούτων*] *τῶν κακῶν κώμων* I. In A.C.M. haec adjuncta sunt scholio v. 350. post *ἢ ὁ Ἄρης.*

12. *τίμιον*] *δεινὸν τίμιον* A.

ib. *Ἄλλως* A.M. *ἢ οὕτως* B.I., om. C. Lemma *δεινὸν γυναιξί* post *Ἄλλως* addit M.

ib. *δεινὸν ἀντὶ τοῦ* om. A.C.

13. *θαυμαστὸν*] *ἢ θαυμαστὸν* C. dubito, an recte; neque enim diversa sunt haec duo, ut e sqq. patet. Gr. habet *θαυμαστὸν*, Gu. *τίμιον*, et *μέγα εἰς τὸ θέλξαι αὐτάς.* Flor. 33. *δεινὸν, τυραννικόν.* Seqq. *ἐν ἤθει θαυμαστῶς—καθέστηκε* sunt etiam in Gu. et *καίτοι τῶν γονῶν—αἱ γυν.* MATTH.

ib. *ὁ δὲ νοῦς*] *ὃν οὖν* A. *ὁ νοῦς* C.

ib. *αἱ ὀδύνης*] *αἱ* om. A.

15. *ἡ ὀδύνη*] *αἱ ὀδύναι* I.

16. *καθότι*] *καθὸ* A.C.

17. *πρὸ τοῦ τεκεῖν*] *πρωτοτεκεῖν* A.

ib. *παρέχουσιν*] *ἔχουσιν* C.

18. *γονῶν*] *γόνων* A.

20. *πρὸς τὸ τεκεῖν*] Sic Gu. pro *πρὸ τοῦ τεκεῖν.* Mox idem *ἀλλ' αἵδε μεῖζον—ἴδοις* pro *ἴδῃς—καταφρ. παίδων—ἀλλὰ τοσοῦτόν ἐστιν αὐταῖς τὸ φιλότεκνον.*

μὲν μεῖζον, οἱ δ' ἔλαττον. καὶ πολλοὺς ἂν ἴδοις πατέρας καταφρονήσαντας τέκνων, μητέρα δὲ οὐδεμίαν· ἀλλὰ τοσοῦτόν ἐστι τὸ φίλτρον αὐτῶν ὡς καὶ ἑαυτῶν πολλάκις ὑπερορᾶν ὑπὲρ σωτηρίας τῶν παίδων. Gu. Bar.

357. διάκειται τὸ πρᾶγμα. Gr. μῆτερ, φρονῶν: φρονῶν μὲν, καθὸ πεισθείς σοι ἦλθον, οὐ φρονῶν δὲ, καθότι κατὰ τῆς πατρίδος ὡπλίσθην καὶ πρὸς ἐχθροὺς ἄνδρας παραγέγονα· ὅθεν ἐπιφέρει "ἀλλ' ἀναγκαίως ἔχει πατρίδος ἐρᾶν ἅπαντας," ἀπολογούμενος ὑπὲρ τῆς ἀφίξεως. B. Gu. I.

φρονῶν μέν: καὶ φρόνησιν ἐμαυτοῦ καὶ ἄνοιαν κατέγνων, φρόνησιν μὲν, ὅτι ὑπὲρ τοῦ θεάσασθαι τοὺς οἰκείους καὶ δι' ἐχθρῶν ἐτόλμησα εἰσελθεῖν, μὴ ἐννοήσας δόλον· ὅμως συγγινώσκω ἐμαυτῷ διὰ τὸν κοινὸν ἔρωτα τῆς πατρίδος. A.C.M.T.

ἀφικόμην: τὴν ἄφιξιν δοκεῖ λέγει τὴν ἀπὸ τοῦ Ἄργους. Gr. Mosq.

358. ἀναγκαίως: ἀπαραιτήτως. ἐπιδιόρθωσις τοῦτο τοῦ οὐ φρονῶν. Gu.

359. πατρίδος ἐρᾶν: εἰ καὶ ἥμαρτον προπετευσάμενος, ὅμως συγγινώσκει μοι ὁ τῆς πατρίδος ἔρως. B.I. μαρτυρεῖ δὲ καὶ Ὅμηρος λέγων "οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων." Gu. Bar.

360. λόγοισι χαίρει: τουτέστι λόγῳ μὲν λέγει τοῦτο, τῷ δ' ἔργῳ πρὸς τὴν πατρίδα τείνει ἀεὶ, ταύτην ἀναπολῶν καὶ κατὰ νοῦν συγγινόμενος. Gu. Bar. φλυαρεῖ. M. Gu. ληρεῖ. Fl. 33. πρόσκειται. Gr. ἐκεῖσ' ἔχει: εἰς τὸ φιλεῖν τὴν πατρίδα. Gr. Cant.

361. οὕτω δὲ τάρβους εἰς φόβον τ' ἀφικόμην: ἀντὶ τοῦ εἰς τοσοῦτον τάρβους, ἢ ταραχθείς. M. εἰς τοσοῦτον τοῦ τάρβους καὶ εἰς τὸν φόβον τοσοῦτον ἀφικόμην. Cant. εἰς τοῦτο, ἤγουν εἰς τοσοῦτο, τάρβος ἀφικόμην. οὐκ οἶμαι ταυτὸν εἶναι τάρβος καὶ φόβον· οὐ γὰρ ἂν ἄμφω τέθεικεν ἐνταῦθα καὶ ἐν Ὀρέστῃ λέγων "καὶ μὴ τὸ ταρβοῦν κἀκφοβοῦν σ' ἐκ δεμνίων ἀποδέχου." ἔστιν οὖν, ὡς ἐμοὶ δοκεῖ, τάρβος μὲν ἡ ἐν ψυχῇ δειλία, ἥτις τὴν καρδίαν πατάξασα καὶ αὐτὴν τὴν βοὴν τείρει καὶ δαμάζει, καὶ ἀφώνους ἡμᾶς

3. ἑαυτῶν] αὐτῶν Gu.
7. ἐχθροὺς ἄνδρας] τοὺς ἐχθροὺς I.
10. ἄνοιαν] ἄγνοιαν C.T.
ib. κατέγνων] κατέγνω C.
11. τοῦ] τὸ A.
12. ἐμαυτῷ] ἐμαυτὸν A.C.
ib. κοινὸν om. C.
18. δὲ (δὲ om. Bar.) καὶ Ὅμηρος] Od. 9, 34.
29. Ὀρέστῃ] 302.

καθίστησι· φόβος δὲ ἡ πρὸς φυγὴν κινοῦσα ὁρμὴ τῆς ψυχῆς, ἀπὸ τοῦ φέβω, τοῦ φεύγω, γενομένη· καὶ ὅτι τοῦτό ἐστι δηλοῖ καὶ τὸ "ἐκφοβοῦν σ' ἐκ τῶν δεμνίων." τάρβος οὖν χρὴ γράφειν καὶ ἐνταῦθα. Bar. *εἰς φόβον τ': περισσὸς ὁ τέ.* B.C.I.

363. *ξιφήρη: ξίφει ἡρμοσμένος τὴν χεῖρα.* I. *ἤγουν ἡρμοσμένην τὴν χεῖρα ἔχων τῷ ξίφει.* C. *χεῖρ' ἔχων: ὑποστικτέον ἐν τῷ ἔχων.* B.M.I.

364. *κυκλῶν: τῇδε κἀκεῖσε περιφέρων καὶ περιάγων.* B. Gu. I. *ἐν δέ μ' ὠφελεῖ: παρηγορεῖ, θαρρεῖν ποιεῖ.* B.M.I.

365. *σπονδαί τε: σπονδὰς λέγει τοὺς ὅρκους τοὺς ἐπὶ ταῖς καταλλαγαῖς γινομένους· μὴ γὰρ τούτων προβάντων, οὐκ ἂν αὐτὸς εἰς προφανῆ κίνδυνον ἑαυτὸν ἔδωκε. νῦν δὲ ταύταις θαρρῶν καὶ τῇ τῆς μητρὸς πίστει, ὡς αὐτὸς λέγει, τὴν πόλιν εἰσῄει. ἔθος δὲ ἦν τοῖς παλαιοῖς, ὅταν ἔμελλον πρὸς ἀλλήλους καταλλαγῆναι, θύειν τοῖς θεοῖς καὶ μάρτυρας τούτους ποιεῖσθαι τῶν πραττομένων, ἵνα τῶν παραβεβηκότων τιμωροὶ γένοιντο· ὅτι δὲ ἔθυον μαρτυρεῖ τὸ ὄνομα τῆς σπονδῆς ἀπὸ τοῦ σπένδω γινόμενον.* Gu. Bar. *καὶ σὴ πίστις: τὸ πρὸς σὲ θάρρος.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *πληροφορία.* Gu.

367. *χρόνιος: διὰ χρόνου.* M. *ἐπιρρηματικῶς ἀντὶ τοῦ διὰ μακροῦ χρόνου.* Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76.

368. *γυμνάσια: τοὺς τόπους τῶν γυμνασίων ἐν οἷς ἀνετράφην.* Gr. Bar. Florr. iidem. *ὁ τόπος ἔνθα οἱ ἀγῶνες ἐτελοῦντο.* Gu.

369. *ὧν οὐ δικαίως: ἀφ' ὧν διωχθεὶς ξένην πόλιν οἰκῶ.* I. *ἀφ'.* M. Gu.

370. *δι' ὄσσων: ποιητικὴ ἡ περίφρασις. τὸ αὐτὸ γὰρ σημαίνει, ὡς τὸ "ποδάνιπτρα ποδῶν." ἐκ παραλλήλου δὲ τὸ αὐτὸ σημαίνει, τουτέστι τοὺς ὀφθαλμοὺς ἔχων δακρύοντας.* A.M. *τῶν ὀφθαλμῶν*

2. *τὸ* addidi.

5. *ξίφει ἡρμοσμένος τὴν χεῖρα*] *ξίφει ἡρμοσμένην*, omisso *τὴν χεῖρα*, M. *ξίφος ἡρμένον ἔχουσαν* Gr. Fl. 6. 9. 21. 56. 59. 76.

6. *ἐν τῷ*] *τὸ* M.

8. *τῇδε—περιάγων*] Haec in B.I. post *χεῖρα* (schol. v. 363.) leguntur sine lemmate.

9. *παρηγορεῖ* post *ποιεῖ* M.

16. *γένοιντο*] *γένωνται* Bar.

22. *τοὺς*] *καὶ τοὺς* Gr.

26. *δι' ὄσσων—*] In C.T. *δι' ὄσσων: πεποίηται (ποιητικὴ* T.) *ἡ φράσις (ἡ περίφρασις* T.) *ἐκ παραλλήλου· τὸ αὐτὸ γὰρ σημαίνει* (T. add. *ὡς τὸ ποδάνιπτρα ποδῶν· ἐκ παραλλήλου τὸ αὐτὸ σημαίνει) τουτέστι (τοὺς* T.) *ὀφθαλμοὺς ἔχων δακρύοντας.* Gu. *ποιητ. ἡ περίφρ. ἐκ παρ. τὸ αὐτὸ τὸ δι' ὄσσων ὄμμα, ὡς τὸ ποδόνιπτρα* (sic) *ποδ.* MATTH.

28. *τῶν ὀφθαλμῶν—ἔστι δὲ* om. B.

τὴν ὄψιν δακρυρροοῦσαν ἔχων. ἔστι δὲ ποιητικὴ περίφρασις ἐκ παραλλήλου. τὸ αὐτὸ γὰρ σημαίνει, ὡς τὸ "ποδάνιπτρα ποδῶν." B.I.

ὄσσα κυρίως λέγονται τὰ περιέχοντα κοιλώματα τοὺς ὀφθαλμούς. Gu. ὄσσος λέγεται ἡ κόρη τοῦ ὀφθαλμοῦ, ὄμμα δὲ τὸ ἔξωθεν δέρμα τοῦ ὀφθαλμοῦ. A. rec. Fl. 33.

371. ἀλλ' ἐκ γὰρ ἄλγους; ἀλλὰ γὰρ ἐκ τῆς παλαιᾶς δυστυχίας τῆς κατεχούσης με ἕτερον ἄλγος ὁρῶ σε ἔχουσαν, κάρα ξυρηκὲς, ἐξυρημένην τὴν κεφαλὴν, καὶ πέπλους μέλανας ἔχουσαν. B.C.M.I.

ἀλλ' ἐκ γὰρ ἄλγους: τουτέστι λύπῃ συνὼν διὰ τὴν τῆς πατρίδος ἀπόστασιν, ἑτέραν λύπην δέχομαι αὖ τὸ σὲ κεκαρμένην καὶ μελανειμονοῦσαν εἶναι. Gu. Leid. ἀλλὰ γὰρ ἐκ τοῦ ἄλγους ἄλγος αὖ βλέπω, σὲ λέγω ἔχουσαν ἐξυρημένην τὴν κεφαλὴν καὶ πέπλους μέλανας. Gr.

σὲ δέρκομαι: τὸ σέ πρὸς τὸ ἔχουσαν. B.M.

372. κάρα ξυρηκές: τὸ ξυρηκές ὡς ἀπηνές τῷ τόνῳ· παραγώγως γὰρ ἐξηνέχθη, καὶ οὐκ ἔχει τὴν ἀκὴν ἐγκειμένην, ὡς τὸ ἄμφηκες. A.B.C.M. Ἄλλως. ὑπερβολικῶς εἴρηκεν· ἐκέκαρτο γὰρ, ὡς ἀνωτέρω εἶπεν "ὅθεν ἐμάν τε λευκόχροα κείρομαι χαίταν" οὐ ξυρῷ δὲ, ἀλλ' ὡς ἐν πένθει. A.B.C.M.T.I. ξυρισμένον. M. ἐξυρημένον. Gr. κεκαρμένον. ὑπερβολικῶς δὲ τοῦτο εἶπεν· οὐ γὰρ ἦν τοιοῦτος, ἀλλ' ἁπλῶς κεκαρμένος. Gu. μελαγχίμους: μέλανας. M. Gr.

373. οἴμοι: ἐγὼ ἕνεκα τῶν ἐμῶν κακῶν. Gr. I.

374. ὡς δεινόν: πάνυ. M. ὄντως. Gu. λίαν χαλεπὸν πρᾶγμά ἐστιν, ὦ μῆτερ, ἔχθρα οἰκείων φίλων. Gr. λίαν χαλεπὸν πρᾶγμ' ἐστὶ, μῆτερ, ἔχθρα συγγενῶν· δυσδιορθώτους γὰρ ἔχει τὰς φιλιώσεις. ἀλλὰ τί μοι πράττει ἐν οἴκοις ὁ γέρων πατὴρ ἐν σκότει διατρίβων; καὶ τί δρῶσιν αἱ δύο ἀδελφαί; ἆρα λυποῦνται διὰ τὰς ἐμὰς φυγάς; I. οἰκείων: συγγενῶν. M.

1. ἐκ παραλλήλου om. I.
4. ὄσσος] ἄλλως. ὄσσος A.
6. ἀλλὰ γὰρ ἐκ M. ἀλλὰ καὶ ἐκ A. ἀλλ' ἐκ B. ἀλλ' ἐκ γὰρ C.I.
7. κάρα—ἔχουσαν om. B.C.M.
9. τουτέστι om. Leid.
10. ἀπόστασιν] ὑπόστασιν Leid.
15. τὸ ξ.] τὸ δὲ ξ. A.C.M. In I. nihil praeter ξυρηκὲς δὲ ὡς ἀπηνὲς τῷ τόνῳ.
ib. παραγώγως M. παραλόγως ceteri.
16. ἀκὴν] ἀκοὴν C.M. In B. ο est erasum.
ib. ἄμφηκες] ἄμφικες B.M.
17. Ἄλλως] καὶ ἄλλως A.
18. εἶπεν—χαίταν] εἴρηται ἐν τῷ—χαίτην C.
ib. κείρομαι] κέκαρμαι I.

375. *καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς*: δυσδιορθώτους ἔχουσα τὰς φιλιώσεις. Gr. ὁ στίχος οὗτος ἔν τισιν οὐ φέρεται. B.M.I. διαλλαγάς: συμβιβάσεις. Gu. Bar. φιλίας. Bar.

377. *σκότον δεδορκώς*: ἀντὶ τοῦ ἐν σκότει διατρίβων· οἱ γὰρ τυφλοὶ δοκοῦσι σκότον δεδορκέναι. A.B.C.M.

379. *Οἰδίπου*: ἀντὶ τοῦ Οἰδίποδος. M.

380. *οὕτω γάρ*: οὕτως ὁ δαίμων ἤρξατο φθείρειν τὸ γένος· οὕτω, φησὶν, ἐξ ἀρχῆς δυστυχῶ, ἀφ' οὗ ἀνόμως ἔτεκον· ἀνόμως γὰρ καὶ ἀσεβῶς παρεσκεύασέ με τεκεῖν. B.I. οὕτως ὁ δαίμων ἤρξατο φθείρειν τὸ γένος, ὡς ἀνόμως μὲν ἐμὲ παρασκευάσαι τεκεῖν τὸν Οἰδίπουν παρὰ τὴν τοῦ Ἀπόλλωνος βουλήν. A.C.M.

381. *φῦναί τε σέ*: τὸν Οἰδίπουν. B. ἐπειδὴ γὰρ ἐξ ἀθέσμων καὶ αὐτὸς ἐγένετο, διὰ τοῦτο κακῶς αὐτὸν φῦναι λέγει. Gu. Bar. φῦναι: γεννῆσαι. Gu.

382. *ἀτὰρ τί*: τί δὲ λέγω ταῦτα; B. τί λέγω; M. κατὰ τί δὲ ταῦτα, φημὶ δηλονότι· οἰστέον τὰ τῶν θεῶν. I. τουτέστι τί ταῦτα φημί; οὕτω γὰρ τοῖς θεοῖς ἔδοξε. διὸ δεῖ φέρειν τὰ ἐξ ἐκείνων. Gu.

383. *μή τι σὴν δάκω φρένα*: τὴν σὴν φρένα λυπήσω. λυπεῖ δὲ δι' ὧν ἐξετάζει περὶ τῆς φυγῆς. B.M. Fl. 33.

384. *δέδοιχ' ἃ χρῄζω*: δέδοικα δὲ μὴ ὅπως ἔρωμαι ἃ χρῄζω καὶ δάκω σου τὴν φρένα, ὅμως ἐπιθυμῶ σε ἐρέσθαι, κἂν λυπῶ σε. A.B. C.M.T. Fl. 33. I. τοῦτο οὕτω συντακτέον· δέδοικα ὅπως ἔρωμαι ἐκεῖνα ἃ χρῄζω, μὴ δάκω καὶ λυπήσω τὴν σὴν φρένα, τῶν πάλαι δυσχερῶν, ὧν πεπείρασαι φυγαδευόμενος, ἀναμιμνήσκουσά σε νυνί. Gu. Bar. διὰ πόθου δ' ἐλήλυθα: θέλω ἐρωτῆσαι δηλονότι. ποθῶ δὲ ἐρωτῆσαι. Gr. Mosq. Bar. πόνου: γρ. διὰ πόθου. B. rec.

385. *ἐνδεές*: ἐλλιπές. Gr. ὧν βούλει ἐρωτῆσαι. ἀτελές. Gu.

387. *τυχεῖν*: ἀκοῦσαι, μαθεῖν. Fl. 33.

388. *τί τὸ στέρεσθαι*: τοῦτο μετὰ ἤθους· οὐκ ἐν δέοντι δὲ γνω-

4. Glossema ἐν σκότει διατρίβων etiam in Gr. M. οἱ γὰρ—δεδορκέναι Gu.

10. ὡς] ὥστε A.M.

ib. παρασκευάσαι] παρεσκεύασε A.

11. παρὰ—βουλήν etiam B. In Gu. παρὰ τὴν τῶν θεῶν βουλὴν ἀνόμως καὶ ἀσεβῶς.

21. δὲ (δὲ om. A.T. Fl. 33.) μὴ ὅπως] φησὶ μή πως I.

22. τὴν om. B. σε om. M.

ib. ἐρέσαι] ἔρεσθαι libri.

ib. κἂν] καὶ C.M. εἰ καὶ Flor.

30. μετὰ] μὲν A.

μολογεῖ, τοιούτων κακῶν περιεστώτων τῇ πόλει. τοιοῦτος δὲ πολλαχοῦ ὁ Εὐριπίδης. A.B.C.M.

389. ἔργῳ—λόγῳ: πείρᾳ—λογισμῷ. Gr. Cant. ἤγουν ὁ πειραθεὶς ἐπίσταται τοῦ λέγοντος μᾶλλον. Gu.

390. τίς ὁ τρόπος: τίς ὁ τρόπος τῆς δυστυχίας τῶν φυγάδων δηλονότι. B.I. τίς ἡ διάθεσις αὐτοῦ τοῦ πράγματος, ἡ δυστυχία τοῖς ἐξορίστοις. Gr. Cant. τί τὸ ποιοῦν αὐτὸ μέγιστον κακόν. Gu. δυσχερές: γρ. καὶ δυστυχές. M.

391. οὐκ ἔχει παρρησίαν: ἐξουσίαν, ἐλευθερίαν. M. διὰ γὰρ τὸ ξένος εἶναι οὐ δύναται παρρησιάζεσθαι, συμβουλῆς ἐστώσης, λέγειν τε τὰ δέοντα, εἰ νοήσειε, καὶ πρὸς ἔργα παραλαμβάνεσθαι ὑποπτευόμενος ὡς ξένος, ἀλλ' ἃ τοῖς αὐτοῦ δεσπόταις δοκεῖ, εἰ καὶ πρὸς ταύτην ἥξει τὴν τύχην, κἂν ᾖ τὰ φαυλότατα, καὶ αὐτὸν ἀνάγκη πείθεσθαι καὶ δρᾶν ταυτὶ, ὃ πάσης ἀπολείπει λύπης ὑπερβολὴν, καθάπερ ἐν ἀρχῇ τοῦ Πλούτου Ἀριστοφάνης ἔδειξεν εἰπὼν

ὡς ἀργαλέον πρᾶγμ' ἐστὶν, ὦ Ζεῦ καὶ θεοὶ,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου

καὶ τὰ ἑξῆς. Gu. Bar.

392. δούλου τόδ' εἶπας: δούλου ἴδιόν ἐστι τοῦτο, ὃ εἶπας. Gr. Bar. μὴ λέγειν ἅ τις φρονεῖ: δυοῖν ὄντων ἐνταῦθα, τοῦ μὴ λέγειν καὶ τοῦ ἃ φρονεῖ, καὶ τοῦ μὲν ζητοῦντος αἰτιατικὴν, τοῦ δὲ ἃ φρονεῖ εὐθεῖαν, εἰ μὲν τὸ μὴ λέγειν ἐλάμβανε τὴν αἰτιατικὴν, τὸ ἃ φρονεῖ μόνον ἂν ἐπήγετο· νυνὶ δὲ, ἐπεὶ τὸ ἃ φρονεῖ λαμβάνει τὴν εὐθεῖαν, τὸ μὴ λέγειν πάλιν οὐδὲν ἐξ ἀνάγκης ἔχει. οὗτος δὲ ὁ τρόπος καὶ παρὰ τῷ πεζῷ λόγῳ συνήθης. Gr. Cant.

393. τὰς τῶν κρατούντων: τοῦτο ὡς Ἀθηναῖος ὢν ὁ ποιητὴς εἶπε. κἂν μὴ φυγὰς γὰρ ᾖ τις, ὅμως φέρει τὰς τῶν κρατούντων ἀμαθίας, κἂν μὴ θέλῃ· γράφουσι δέ τινες "τὰς τῶν πολιτῶν·" κρατοῦσι γὰρ οἱ πολῖται. A.B.C.M.T.I.

1. τοιοῦτος] τὸ οὕτως C.
6. αὐτοῦ om. Cant.
7. τοῖς om. Gr.
11. τε om. Bar.
ib. νοήσειε — ἥξει] νοήσεις — ἥξεις Bar.
14. πάσης] πάντ'. Gu.
26. ὢν addidi ex B.
ib. ὁ ποιητὴς εἶπε B.C.M.T. ἔφη ὁ ποιητὴς I.
27. γὰρ addidi ex B. In M. κἂν μὴ ᾖ τις φυγάς.
ib. ἀμαθίας] ἁμαρτίας I.
28. γράφουσι—] In C.T. inverso ordine: γράφουσί (om. C.) τινες, τὰς (C. τὰ) τῶν πολιτῶν κρατοῦσι γὰρ

394. *λυπρον*: *λυπηρόν*. M. Gr. Bar. *ἀλγεινόν*. Gr. Bar. *φύσις γὰρ τῷ φρονίμῳ μὴ μωραίνειν*. Gu. *συνασοφεῖν*: *συνανοηταίνειν τοῖς ἀνοήτοις*. Gr. I. *συμμωραίνειν, συναπαιδευτεῖν*. Gu.

395. *ἀλλ' εἰς τὸ κέρδος*: *οὐκ ἀξιόχρεως ἥρωος ὁ λόγος*. B.M.I. *διά*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *ἕνεκα*. Fl. 33. *τὴν γὰρ ζωὴν ἡμῶν καὶ τὸν βίον διὰ τούτου περιποιούμεθα καὶ πραγματευόμεθα*. Gu. *εἰ καὶ λυπηρὸν συνανοηταίνειν τοῖς ἄφροσιν, ἀλλ', ἐπειδὴ τοῦτο συμφέρει μᾶλλον καὶ πρὸς κέρδος ἀφορᾷ, δεῖ φέρειν, καὶ παρὰ φύσιν τοῦτο δοκοῦν· μαρτυρεῖ δὲ καὶ ἡ παροιμία λέγουσα "κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι," ἐπὶ τῶν εἰς κινδύνους κέρδους χάριν ἑαυτοὺς ῥιπτούντων λαμβανομένη. ἔστι δὲ ῥὶψ πλέγμα τι ψιαθῶδες. ἐκφέρεται δὲ οὕτως "θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις."* Gu. Bar.

396. *αἱ δ' ἐλπίδες*: *αἱ ἐλπίδες καὶ ἡ προσδοκία τοῦ ἐπιβήσεσθαι τῆς πατρίδος. ἐντεῦθεν ἡ παροιμία "αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν."* A.B.C.M.T.I.

αἱ δ' ἐλπίδες: *ἤγουν τὸ ἐλπίζειν ἐπαναστρέψαι εἰς τὴν οἰκείαν πατρίδα*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *ἐλπίζουσιν οἱ φυγάδες εἰς τὴν ἑαυτῶν πατρίδα κατενεχθῆναι πάλιν*. Gu.

397. *καλοῖς βλέπουσιν*: *καλὰ πρὸ ὀφθαλμῶν τιθέμεναι, βραδύνουσι δέ*. A.B.C.M.T. Gu. *Ἄλλως. δοκοῦσιν αἱ ἐλπίδες τρέφειν,*

οἱ πολ. τοῦτο δὲ ὡς ἀθ. ὁ π. εἶπε· κἂν μὴ φυγὰς γὰρ ὢν τις, ὅμ. φ. τὰς ἀμαθίας τῶν κρατούντων, κἂν μὴ θέλῃ. In A. est *τὰς τῶν κ. ἀ.*: *γράφουσί τινες τὰ τῶν πολιτῶν. κρατοῦσι γὰρ οἱ πολῖται. τότε δὲ ὡς ἀθηναῖος ὢν ὁ ποιητὴς εἶπε κἂν μὴ φυγὰς γὰρ ὢν τις ὅμως φέρει τὰς ἀ. τῶν κρατούντων, κἂν μὴ θέλῃ.* In Gu. supra versum *τοῦτο ὡς ἀθ. ὢν ὁ π. εἶπε* et in marg. *ἐὰν γὰρ μὴ φυγὰς εἴη τις—θέλῃ*:—

p. 133. l. 29. *πολῖται*] Pergit M. *τοῦτο δὲ ὡς ἀθηναῖος* etc. ut C.T.

3. *συναπαιδευτεῖν*] In M. gl. *συνπαιδεύτος* (corrige *συναπαιδευτεῖν τοῖς*) *μὴ οὖσι πεπαιδευμένοις*.

10. *πλέοι*] *πλέοι τις* uterque codex. Correxit Valck. Conf. schol. Arist. Pac. 698.

11. *χάριν*] *ἕνεκα χάριν* Gu.

12. *πλέοις*] *πλέοι τις* Gu.

14. *αἱ ἐλπίδες* om. C.

ib. *τοῦ ἐπιβήσεσθαι*] Inter *τοῦ* et *ἐπιβήσεσθαι* C. habet *χρῆναι ἀπολάβειν* (*ἀπολαύειν*.) non item T. [*χρῆναι ἀπολαύειν* etiam in A. interpositum.] Gu. Flor. 33. tantum habent: *παροιμία· αἱ δ' ἐλπ. β. τοὺς κενοὺς βροτῶν.* unde *βροτῶν* recepi pro *βροτούς*. MATTH.

15. *ἡ*] *καὶ ἡ* I.

ib. *τοὺς κενοὺς βροτῶν* (*βροτούς* I.) om. C., a m. rec. habet A.

20. *τιθέμεναι*] *τιθέμενα* C.T. *τιθέμεθα* M. *τίθενται* Gu.

ib. *βραδύνουσι δέ*] Sic etiam C., non *βραδύνουσιν* ut ap. Valck. In M. etiam gl. *κ. π. ὁ. τιθέμενος βραδύνου* (sic) *περὶ τοῦ μέλλοντος*.

λοῖς ὄμμασι βλέπουσι δὲ, ἀντὶ τοῦ καλὰ πρὸ ὀφθαλμῶν τιθέασι. A. C.M.T. *ὄμμασι καλοῖς ὁρῶσιν αἱ ἐλπίδες, ἀλλὰ βραδύνουσιν.* I. *βλέπουσιν αἱ ἐλπίδες, ἤγουν εὐνοοῦσι καὶ καλὰ ἐπαγγέλλονται καὶ θαρρεῖν παρασκευάζουσι τῇ εὐνοίᾳ, μέλλουσι δὲ, ἤγουν βραδύνουσιν.* Gr. Cant. *ἀεὶ ὑποτυποῦσι τὴν κάθοδον, τέλος δὲ αὐτῶν οὐχ ὁρᾶται.* Gu.

398. *οὐδ' ὁ χρόνος: οὐδὲ ἠπίστησαν αὐταῖς τινες ἐξ ὧν κενὰς αὐτὰς εὗρον.* A.B.C.M. *οὐδὲ ἡ πολλὴ παράτασις τοῦ χρόνου διασαφεῖ αὐτὰς οὔσας ματαίας.* Gr. I. *οὐκ ἀπεδείχθησαν ὑπὸ τοῦ χρόνου μάταιαι, ὡς μηδαμῶς προσέχειν αὐταῖς.* Gu.

399. *ἔχουσιν ἀφροδίτην: ἡδονήν τινα ἔχουσιν ἐν κακοῖς τοῦ ἐλπίζειν.* Ἄλλως. *ἡδονὴν ἡδεῖαν ἔχουσιν, ἀλλὰ βλαβερὰν οἱ ἐν τοῖς κακοῖς ἐξεταζόμενοι καὶ ἐλπίζοντες ἀγαθά.* A.B.C.M.T. *ὁ ὢν ἐν κακοῖς, ἐλπίζων δὲ ἀγαθὰ, δοκεῖ τὴν ἐλπίδα τοῦ ἀγαθοῦ παραμυθεῖσθαι τὴν λύπην.* C. *τέρψιν τινὰ ἡδεῖαν ἔχουσι πρὸς τὰς δυστυχίας.* Gr. I.

ἡδεῖαν: ἡδίονα, τὸ ἁπλοῦν ἀντὶ συγκριτικοῦ, ὥσπερ καὶ τοὔμπαλιν εὕρηται. γίνεται ἡ τοιαύτη ἐναλλαγὴ καὶ χρῆσις καὶ ἐπὶ τοῖς ἁπλοῖς τε καὶ κτητικοῖς, τοῖς μὲν ἀντὶ ἁπλῶν λαμβανομένοις, ὡς ἔχει τὸ παρθενική καὶ τὸ ῥητορικός καὶ ἕτερα μυρία, τοῖς δὲ ἀντὶ κτητικῶν, ὡς ἔχει τὸ Σκύθην ἐς οἶμον ἤτοι Σκυθικὸν, καὶ τὸ Γαλάτης ῥοῦς ἤγουν Γαλατικός. ἢ τὸ ἡδεῖαν μὴ ἔστω ἀντὶ συγκριτικοῦ, ἀλλ' ἁπλοῦν, οὕτω· ἔχουσί τινα ἀφροδίτην καὶ ἡδονὴν τῶν προσόντων αὐταῖς κακῶν ἡδεῖαν καὶ εὐφραντὴν, τουτέστιν αἱ προσοῦσαι ταῖς ἐλπίσι κακίαι—αἱ δέ εἰσι τὸ μὴ τάχιον ἀποκαθίστασθαι, ἀλλ' ἀεὶ μέλλειν—ἔχουσί τινα χάριν· ἡ δέ ἐστι τὸ θέλγειν καὶ παράγειν τοὺς πάσχοντας καὶ μὴ ἐᾶν ἀπειπεῖν, ἀλλὰ προσδοκᾶν διδόναι τάχιστα τῶν πιεζόντων δεινῶν ἀπηλλάχθαι. Gu.

1. *ὄμμασι βλέπουσι—τιθέασι*] *ὄμμασιν* .... *ἀλλὰ πρὸ ὀφθαλμῶν ἔχουσι*:— M. *ἔχουσι* etiam T.
7. *αὐταῖς*] *αὐτὰς* A.
8. *αὐτὰς* om. C.
9. *ματαίας*] *κενὰς ἤγουν ματαίας* Gr.
11. *ἡδονήν τινα ἔχουσιν*] *ἀφροδίτην ἀντὶ τοῦ ἡδονὴν ἡδεῖαν ἔχουσιν* B.
12. *ἀλλὰ* M. *ἄλλως* A.B.T., om. C.
13. *τοῖς κακοῖς*] *τοῖς* om. B.
ib. *ἀγαθά*] *τὰ ἀγαθὰ* A. *τἀγαθά* B.
ib. *ὁ ὢν*] Lemma in A.C. *ποτὲ μὲν ἐπ' ἦμαρ.*
15. *τὴν λύπην* om. A. in lacuna.
ib. *ἔχουσι* ante *τέρψιν* Gr.
ib. *δυστυχίας*] *συμφορὰς* I.
21. *Σκύθην ἐς οἶμον*] Aesch. Prom. 2.

400. *πόθεν δ' ἐβόσκου*: ἀπὸ ποίου δὲ πόρου ἐτρέφου πρὸ τοῦ διὰ τοῦ γάμου εὑρεῖν ζωάρκειαν; Gr. I.

401. *ποτὲ μέν*: ἐν μιᾷ ἡμέρᾳ εἶχον τροφὴν, ἐν ἄλλῃ δὲ οὔ. I. *ἐπ' ἦμαρ*: στάσιν ἐνταῦθα δηλοῖ ἡ ἐπί, ὡς καὶ ἐν τῷ "ἀλλ' ἐπὶ γαῖαν εἰσὶ δύο." Gu. Florr. iidem. *ἄν*: τυχόν. Gr. Florr. iidem.

402. *φίλοι δὲ πατρὸς καὶ ξένοι*: τὸ φίλοι καὶ ξένοι ἐκ παραλλήλων, ὥσπερ καὶ τὸ ἑταῖρος καὶ φίλος. Gu.

403. *εὖ πρᾶσσε*: εὔχου σὺ πράττειν καλῶς· τὰ γὰρ τῶν φίλων οὐδέν ἐστιν, ἐάν τις δυστυχῇ. A.C.M. εὔχου εὐτυχεῖν. Gr. I. *τὰ φίλων δ' οὐδέν*: "ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι." πῶς δὲ ταῦτά φησιν, ὅπου γε ὑπὸ τῶν φίλων εἰς τὴν πατρίδα κατάγεται; ἢ τάχα πρὸ τοῦ γάμου ὑπὸ τῶν φίλων δυστυχῶν ἠγνοεῖτο, γήμας δὲ καὶ τῆς δυστυχίας ἀπαλλαγεὶς, τότε πάλιν φίλους ἔσχε; πρὸ τοῦ τοίνυν ἐντυχεῖν τῷ Ἀδράστῳ ταῦτα παθεῖν φησιν. A.B. C.M.I. *οὐδέν*: οὐδαμῶς ὠφελοῦσι. Fl. 5.

404. *ἦρεν*: ὕψωσεν. Gu. Fl. 5.

405. *τὸ γένος οὐκ ἔβοσκέ με*: ἐψεύσατο· πρῶτον γὰρ διὰ τὸν χρησμὸν ὁ Ἄδραστος, ἔπειτα δὲ καὶ διὰ τὸ γένος συνῴκισεν αὐτῷ τὴν

1. δὲ om. Gr.

ib. διὰ τοῦ et εὑρεῖν ζ. om. I., habent Gr. Flor. 5. 6. 9. 21. 56. 59. 76.

8. καλῶς om. Flor. 32.

9. ἐάν τις δυστυχῇ M. ἐὰν σὺ δυστυχῇς C., om. Flor. 32.

10. τὰ φίλων δ' οὐδέν] Hoc scholion in B.C.M. adscriptum est versui 402. cum lemmate φίλοι (φίλοις C.) δὲ πατρός, post quod pergitur in A.M. παρὰ φιλοκτήτι (φιλοκτήτου A.) ἀνδρὸς κακῶς etc., in B. παῤ φιλοκτῆ ἀνδρὸς κακῶς etc., in C. παρὰ φιλοκτίστου ἀνδρὸς κακῶς etc. qui idem scholion supra versum habet, ubi περιφιλοκτίστου. Est παρὰ τὸ Φιλοκτήτου. In I. post verba superiora εὔχου εὐτυχεῖν pergitur sine lemmate ἀνδρὸς γὰρ κακῶς etc., γὰρ particula haud dubie ab Arsenio inserta. Senarium ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι, qui inter Menandri monosticha legitur et affertur in scholio ad Androm. v. 976., inter proverbia rettulit Zenobius 1, 90. ubi ceterorum paroemiographorum aliorumque scriptorum locos indicavit Leutschius.

11. ὑπὸ τῶν φίλων post εἰς τὴν πατρίδα C.

12. πρὸ τοῦ] προστοῦ M. τοῦ om. B. Post πρὸ τοῦ γάμου C. pergit δυστυχῶν ὑπὸ τῶν ξένων, γήμας δὲ καὶ τῆς δυστυχίας ἀπαλλαγεὶς ὑπὸ τῶν φίλων ἠμελεῖτο (sic, non ἠλεμεῖτο ut Valck.) :—

ib. δυστυχῶν ante ὑπὸ τῶν φ. A.

ib. ἠγνοεῖτο] ἠμελεῖτο A.B.

13. ἀπαλλαγεὶς] ὑπὸ τῶν φίλων ἠμελεῖτο iterum addit A. reliquis τότε—φησιν omissis.

14. ἐντυχεῖν] εὐτυχεῖν M.

18. χρησμὸν ὁ ἄδραστος B. χρησμὸν ἄδραστον (vel ἄδραστος) M. ut videtur. χρησμὸν τοῦ γάμου ὅμηρος ἄδραστον C. χρησμὸν ὅμηρος ἄδραστον

θυγατέρα Ἀργείαν. οὐ κἂν γὰρ οὐδὲ Ἀπόλλων τὸν τυχόντα ἔλεγεν ἑλέσθαι. A.B.C.M.T. ἔβοσκε: ἔτρεφεν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

406. ἡ πατρίς: συμπεραίνει ἐκ πάντων ἡλίκον τὸ τῆς πατρίδος ἐστὶ φίλτρον. Gu. φίλτατον: ἤγουν πάνυ φιλούμενον πρᾶγμα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

407. ὀνομάσαι: δηλῶσαι διὰ λόγου. Gu. δύναιμ' ἄν: εὐκτικόν ἐστι τοῦτο. δύνω ὡς φαίνω, ὁ ἀόριστος ἔδυνα, ὡς ἔφηνα. M. δύναιτό τις. M. ἀντὶ τοῦ δυναίμην. Gr. Fl. iidem Mosq.

408. πῶς δ' ἦλθες Ἄργος: πῶς εἰς τὸ Ἄργος ἦλθες καὶ οὐκ εἰς ἄλλην πόλιν; B.I. Ἄργος: εἰς. Gr. καὶ οὐκ εἰς ἄλλην πόλιν. Gu. ἐπίνοιαν: σκοπόν. Gr. βουλήν. B. rec. πρόφασιν, ἀφορμὴν, λογισμὸν, σκοπὸν τῆς ἐκεῖσε ἀφίξεως. Gu. νοῦν. Gu. ἔσχεθες: εἶχες. Gr.

409. Ἀδράστῳ: Αἰόλου Κρηθεὺς, οὗ Ἀμυθάων, οὗ Βίας, οὗ Ταλαὸς, οὗ Ἄδραστος. Gu.

χρησμόν τινα: ἀφ' οὗ δηλονότι δείκνυται ὅτι ὁ Λοξίας με ἤγαγεν εἰς τὸ Ἄργος. Gr.

χρησμόν τινα: ἄτοπόν φασι πιστεύσαντα τῷ θεῷ τὸν Ἄδραστον γαμβρὸν ἑλέσθαι.

A.T. Ad verba ὅμηρος ἄδραστον, quae sunt in C., Valck. "Mutila mendisque inquinata transscripsi: quid velit censor, e Plutarcho manifestum est, qui hunc de exilio locum pertractans Euripidis vol. 2. p. 606 E. his, Τὸ γένος οὐκ ἔβοσκέ με, proxima subdit ταῦτα ἤδη καὶ ἀχάριστα τοῦ Πολυνείκους, —— ὃς διὰ τὴν εὐγένειαν ἠξιώθη μὲν, φυγὰς ὢν, γάμων βασιλικῶν, φίλων δὲ συμμαχίᾳ καὶ δυνάμει τοσαύτῃ πεφραγμένος ἐστράτευσεν, ὡς αὐτὸς μετὰ μικρὸν ὁμολογεῖ. Quot dederit et quae verba grammaticus difficile erit divinasse: commodum sensum praeberent hunc in modum scripta: Πρῶτον γὰρ διὰ τὸν χρησμὸν τοῦ γάμου θηρὸς (ex ⲟηρος factum ὅμηρος) ὁ Ἄδραστος, ἔπειτα δὲ καὶ διὰ τὸ γένος συνῴκισεν αὐτῷ τὴν θυγατέρα Ἀργείαν· οὐ γὰρ ἂν οὐδὲ Ἀπόλλων τὸν τυχόντα (προσέταξε) γαμβρὸν ἑλέσθαι."

p. 136. l. 18. διὰ om. C.M.T.

ib. συνῴκισεν] συνῴκησεν B.

1. θυγατέρα om. A. in lacuna. θυγατέραν C.

ib. Ἀπόλλων] ὁ ἀπόλλων A.

2. ἔλεγεν] ἐλένην C.

7. εὐκτικόν] Brevius in A. εὐκτικόν. ἔστιν δὲ τοῦτο θ^ε (θ cum compendio, superscripto ε. Fortasse θέμα) ὡς φαίνω :—

8. δύναιτό τις] Hoc inter versus superscriptum in M.

15. Αἰόλου—Ἄδραστος] Haec sumta ex scholio vetere ad v. 422.

19. ἄτοπον—] Hoc scholion in B.I. sine lemmate adjunctum est scholio v. 408. post verba οὐκ εἰς ἄλλην πόλιν, in A.C. praefixo ἄλλως legitur post scholion v. 411. quod finitur verbis Πολυνείκης Ἀργείαν.

δυστυχῆσαι τοσαῦτα κατὰ τὰς Θήβας, καὶ μόνον φυγάδα σωθῆναι ὑπὸ τοῦ ἰδίου ἵππου Ἀρείονος. πρὸς οὓς ῥητέον ὅτι ἐκδοῦναι προσέταξεν ὁ θεὸς τὴν θυγατέρα, ἀλλ' οὐχὶ καὶ ἐπιστρατεῦσαι ταῖς Θήβαις. A.B.C.I.

ἔχρησ' Ἀδράστῳ: ἡ μὲν τὴν αἰτίαν τῆς εἰς Ἄργος ἀφίξεως αὐτὸν ἐρωτᾷ, ὁ δὲ τὴν αἰτίαν τῆς αὐτόθι καταμονῆς ἔλεγεν· εἰ μὴ γὰρ διὰ τὸν χρησμὸν τοῦ γάμου παρέμεινεν, ἴσως ἂν ἔωθεν παρώδευσε τὸ Ἄργος. ἀλλά, φησί, διὰ τὸ πεπρωμένον ἦλθον εἰς τὸ Ἄργος· ὁ γὰρ χρησμὸς ἐκεῖσε ἡμᾶς ἤγαγεν. A.B.C.M.T.I.

410. *τοῦτ': κατά.* Gr. *ὅπερ εἶπας.* Gu. *ἔχω: δύναμαι. μαθεῖν: νοῆσαι.* Gr.

411. *κάπρῳ λεοντί θ': ὁ χρησμὸς ὑπὸ Μνασέου οὕτως ἀναγέγραπται*

p. 127. l. 19. ἄτοπον] δὲ addunt B.I.

ib. φασὶ I. φησὶ A.B.C.

ib. τὸν Ἄδραστον hoc loco A.B.C., ante πιστεύσαντα I.

1. δυστυχῆσαι τοσαῦτα A.B.C. τοσαῦτα δυστυχῆσαι I.

2. ἀρείονος C. ἀρείωνος A. ἀρίονος B.I. "Equi velocissimi genuinum praebet nomen Ἀρείονος Eustath. in Il. Ψ. p. 1419, 28. Ἀρείων ὁ μὲν ἵππος διφθόγγῳ παραλήγεται κ. τ. λ. eo discernitur a musici nomine: passim tamen scribitur Ἀρίων, saepius apud Pausaniam 8, 25, 10. ubi laudat Antimachus equos Adrasti, Καιρόν (l. Κραιρόν) τε κραιπνὸν καὶ Ἀρείονα Θελπουσαῖον· ibidem traditur e Thebaide, ὡς Ἄδραστος ἔφευγεν ἐκ Θηβῶν, Εἵματα λυγρὰ φέρων σὺν Ἀρείονι κυανοχαίτῃ. haec Thebais antiquior Cycli partem fecit epici: παρὰ τοῖς Κυκλικοῖς enarrata dicitur hujus equi historia in schol. ad Il. Ψ, 346. A poetis dissentiens non equi, sed rusticorum, beneficio servatum Adrastum tradidit Philochorus, teste Strabone 9, p. 619 c." VALCK.

ib. ῥητέον] λεκτέον I.

ib. ὅτι addidi.

ib. προσέταξεν ὁ θεὸς τὴν θυγατέρα A.C. προσέταξε τὰς θυγατέρας ὁ θεὸς B.I.

5. ἡ μὲν τὴν] τὴν μὲν C.

ib. αὐτὸν om. B.M.I.

6. τὴν αἰτίαν] αἰτία A.

ib. ἔλεγεν A.C.T. ἔλεγε M. λέγει I.

ib. εἰ om. A.M.T., μὴ om. C.

7. ἔωθεν non hic tantum, sed etiam ante παρέμεινεν habent C.M.T. ἂν om. C.

8. ἀλλὰ—Ἄργος om. C. In A. est ἀλλ' ἀντιδιαπεπρωμένον ἦλθον εἰς τὸ ἄργος.

ib. εἰς] ἐπὶ B.T.I.

9. ἐκεῖσε] ἐκεῖσαι C.

ib. ἡμᾶς om. B.I. Post hoc scholion sequitur in A.B.C.M.T. ἄλλως. τὸ εἱμαρμένον etc. quae vide ad v. 413. Tum rursus in B.C.M. et, ut opinor, T. ἄλλως. ὁ χρησμὸς ὑπὸ —.

12. ὁ χρησμὸς—] Hoc scholion excerptum in Bar. et Gu.

ib. Μνασέου] μνασαίου A.M. Gu. μνασϊέου C. μανασαίου Bar. μνασίου I.

κουράων δὲ γάμους ζεῦξον κάπρῳ ἠδὲ λέοντι,
οὕς κεν ἴδῃς προθύροισι τεοῦ δόμου ἐξ ἱεροῖο
ἀμοῦ στείχοντας, μηδὲ φρεσὶ σῇσι πλανηθῇς.

καὶ οἱ μὲν λέγουσιν ὡς ἀπὸ τῶν ἐπισήμων τῶν ἀσπίδων συνέβαλεν Ἄδραστος· ὁ μὲν γὰρ εἶχε τὸν Καλυδώνιον σῦν, ὁ δὲ τὴν λεοντοπρόσωπον Σφίγγα· οἱ δ', ὡς κρύους γενομένου ἀφίκοντο εἰς τὸ Ἀπόλλωνος ἱερὸν καὶ δορὰς εὑρόντες λέοντος καὶ συὸς ἀναθήματα κυνηγετῶν ἐφιλονείκησάν τε καὶ περὶ τῆς στάσεως εἰς κρίσιν ἀχθέντες τῷ βασιλεῖ τῶν γάμων ἔτυχον. ἀπείκασε γὰρ τὸν μὲν λέοντι, τὸν δὲ Τυδέα κάπρῳ, ὃς ἔγημε Δηϊπύλην, ὁ δὲ Πολυνείκης Ἀργείαν. A.B. C.M.T.I. ὁ μὲν Τυδεὺς διὰ τὸν ἐγχώριον κάπρον, ὁ δὲ Πολυνείκης διὰ τὴν Σφίγγα· λεοντοπρόσωπος γὰρ αὕτη. A.C.M.

ἔχρησ' Ἀδράστῳ: δύο δέρματα ἔκειντο εἰς τὰ οἰκήματα τοῦ Ἀδράστου εἰς ἀνάπαυσιν τῶν ξένων, τὸ μὲν ἓν λέοντος, τὸ δὲ ἕτερον κάπρου. καὶ ἐλθόντες εἰς τὰ προλεχθέντα οἰκήματα τοῦ Ἀδράστου ὁ Τυδεύς τε καὶ Πολυνείκης φιλονεικίαν ἐποίησαν ἄμφω, ἵνα αὐτὰ

1. Huic versui praescriptum in I. χρησμὸς δοθεὶς τῷ ἀδράστῳ.

ib. κουράων δὲ γάμους] κουράωνῖ γάμους Gu. κούρα δὲ γαμβροῖν I.

ib. ζεῦξον] ζεῦξαι C.

ib. ἠδὲ] καὶ C. ἢ M. ἠὲ A.

2. ἴδῃς Gu. ἴδοις B.T.I. ἴδ cum compendio M. Excidit in C. in fine versus.

ib. προθύροισι] προθύρῃσι M. προθύρησι A.C.

ib. τεοῦ] θεοῦ C. τ' ἐν Gu.

ib. ἐξ om. C.

3. ἀμοῦ Valck. pro ἡμετέρου.

ib. φρεσὶ σῇσι] σῇσι φρεσὶ C.

ib. πλανηθῇς] πλανηθείς A. Gu.

4. καὶ οἱ μὲν—] καὶ οἱ μὲν λ. ὡς ἀπὸ τῶν ἀσπίδων συνέβαλλεν (συνέβαλεν Bar.) ὁ Ἄδραστος. Τυδεὺς μὲν γὰρ τὸν Καλυδώνιον κάπρον εἶχεν ἐπίσημον, Πολυνείκης δὲ τὴν Σφίγγα, λέοντος στῆθος καὶ πόδας ἔχουσαν. οἱ δὲ ὡς κρύους γενομένου κατέφυγον εἰς τὸ Ἀπόλλωνος ἱερὸν, καὶ δορὰς εὑρόντες λέοντος καὶ συὸς, (τινῶν add. Gu.) ἀναθήματα κυνηγετῶν, Τυδεὺς μὲν τὴν κάπρου, Πολυνείκης δὲ τὴν λέοντος εἰληφότες ἐνεδύθησαν. καὶ εἰς Ἄργος ἔπειτ' ἐλθόντες τοῦ κήδους τοῦ Ἀδράστου ἔτυχον (τὸν χρησμὸν συμβαλόντες—leg. συμβαλόντος—add. Gu.). κρεῖττον δέ ἐστι τοῦτο, ὅτι εὑρὼν αὐτὸς Ἄδραστος ἐν προθύροις μαχομένους (περὶ κοίτης add. Gu.), ὃ καὶ Εὐριπίδης φησὶν ἐνταῦθα, ἀπεικάσας τούτους θηρσὶ τὰς θυγατέρας ἔδωκεν· εἰ γὰρ ἦν τι τοιοῦτον ὧν ἀνωτέρω εἰρήκαμεν, ἐδήλωσεν ἂν Εὐριπίδης. γέγραπται δὲ (καὶ add. Bar.) αὕτη ἡ ἱστορία ὄπισθεν. Gu. Bar.

ib. τῶν ἀσπίδων] τῶν om. C.

ib. συνέβαλεν A. συνέβαλλεν ceteri. In C. συνέβα... | ὁ ἄδραστος.

6. κρύους (κρύου M.) γενομένου] κυρίους γενομένους C. Idem τε om.

8. τῷ βασιλεῖ τῶν] τῶν βασιλείων C. Idem ἀπείκασαν pro ἀπείκασε.

10. ὃς—Ἀργείαν] Haec obliterata in M.

ib. Δηϊπύλην] τὴν δηϊπύλην C.

11. ἐγχώριον] ἐπιχώριον A.C.

13. δύο δέρματα—] Scholion recentiori grammatici in C. sine lemmate.

16. ἐποίησαν] ἐποίη C. resectis in

ἐπάρωσι. τοῦτο δὲ νοήσας ὁ Ἄδραστος κατὰ τὸν χρησμὸν ἔδωκε τὰς αὐτοῦ θυγατέρας τοῖς δυσὶ τούτοις, δηλονότι τῷ Τυδεῖ καὶ τῷ Πολυνείκει· καὶ τὴν μὲν Δηϊπύλην ἔσχεν ὁ Τυδεύς, τὴν δὲ Ἀργείαν ὁ Πολυνείκης. C.

κάπρῳ: ἔχρησεν ὁ θεὸς ἑνῶσαι τὰς θυγατέρας λέοντι καὶ κάπρῳ. I.

412. καὶ σοὶ τί: ποίαν κοινωνίαν εἶχες μετὰ θηρός; A.C.M. καὶ κατὰ τί σοι τοῦ ὀνόματος τῶν θηρῶν ἦν μετουσία, τέκνον; I.

413. ὁ δαίμων: τὸ εἱμαρμένον ἤγαγεν ἡμᾶς εἰς τοῦτο τῆς συντυχίας καὶ οὐκ ἐκ προνοίας μοι ἀπέβη ὁ γάμος, ἀλλ' αὐτομάτως ἐκ τῆς τύχης. B.C.M.T.I.

414. τίνι τρόπῳ: πρὸς τὸ ἀποβάν. M. πῶς. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. λέχος: τὴν συνοίκησιν μετὰ τῆς θυγατρὸς τοῦ Ἀδράστου. Gr. Florr. iidem.

415. εἰς παραστάδας: εἰς τὰ προπύλαια. M. Bar. πυλῶνας. B. rec. πύλας. I. θύρας. Gr. εἰς τὰ προπύλαια, ἀπὸ μέρους τὸ πᾶν, ἤγουν τὰς πύλας. Gu.

416. κοίτας ματεύων: συνάφειαν μετὰ γυναικὸς ζητῶν, (μαστεύων Mosq.) ἢ ἐξόριστος πλανώμενος ἦλθες εἰς τὰς ἐκείνου παραστάδας. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. πρὸς τῷ βασιλεῖ κοιμηθησόμενος, ἢ ὡς φυγὰς πλανώμενος. A.C.M.T. μαστεύων: ζητῶν. C.M.

417. ἦν ταῦτα: τοῦτο τὸ δεύτερον. Gr. Florr. iidem. καὶ ὅτι φυγὰς ἐπλανώμην, καὶ ὅτι κοίτας ἐζήτουν. Gu. Bar.

fine versus literis σαν, ut accentus ostendit super ι positus, non σαντο, quod Valck. credebat, qui ἐποιήσαντο posuit.

2. αὐτοῦ] αὑτοῦ C.

3. Τυδεὺς—Πολυνείκης] πολυνείκης—τυδεύς C. Transposuit Valck.

5. ἔχρησεν] ἔχρησε habet etiam Gr. et (supra παίδων γάμους) ἀντὶ τοῦ τὰς θυγατέρας εἰς γάμον.

9. Hoc scholion in A.B.C.M.T. versui 409. adscriptum esse supra diximus. In M. tamen idem fere hoc loco legitur ἡ εἱμαρμένη συνήγαγεν ἡμᾶς εἰς τοῦτο τῆς συντυχίας. ἐκ προνοίας γὰρ οὐκ ἐγένετο. In A. est ἡ εἱμαρμένη ἡμᾶς συνήγαγεν εἰς τοῦτο συντυχεῖν :— Gl. ὁ θεός Gr., ἡ εἱμαρμένη Gu. et (ad πρὸς τὴν τύχην,) πρὸς τὸ συμβησόμενον Gr. et Florr.

ib. μοι et τῆς om. M.

11. τῆς τύχης] τῆς om. A. qui post τύχης pergit, ἄλλως. ὁ χρησμὸς etc. (ad v. 409.)

20. πρὸς—πλανώμενος] πρὸς τῷ βασιλεῖ γὰρ ...... | ἢ φυγὰς πλανώμενος A. cum lacuna.

φυγάς: λείπει τὸ ὡς, ἵν' ᾖ καὶ ὡς φυγὰς πλανώμενος. B. ἀντὶ τοῦ διὰ κοίτην καὶ ὡς φυγὰς πλανώμενος. B.

417. κἆτά γ' ἦλθεν ἄλλος: ὁ Τυδεύς· φασὶ γὰρ ὅτι τὰ τέκνα Ἀγρίου ἐφόνευσεν Ἀλκάθουν καὶ Λυκωπέα· διὸ ἔφυγε. A.C.T.

419. Τυδεύς: οὗτος ἔφυγε διὰ τὸν φόνον τῶν συγγενῶν Ἀλθαίας. A.B.C.M.T. ἐκφῦναι: γεννῆθαι. M.

420. τί θηρσί: ἀντὶ τοῦ εἰς τί ἀφορῶν. C.M. κατὰ τί δὲ ὑμᾶς ὁ Ἄδραστος ὡμοίωσε τοῖς θηρσί; I. εἴκασεν: ἀντὶ τοῦ ἀφωμοίωσεν. M. γρ. ἤκασεν. B.

421. στρωμνῆς ἐς ἀλκήν: διότι ἤλθομεν εἰς μάχην ἕνεκα στρωμνῆς. Gr. I. στρωμνῆς νῦν τοῦ τόπου τῆς κατακλίσεως. ὅτι θηριωδῶς ἐμαχεσάμεθα πρὸς ἀλλήλους, θηρσὶν ἡμᾶς εἴκασεν. ἔνιοι δὲ οὐ διὰ τοῦτο, ἀλλ' ὅτι ὁ μὲν κάπρου, ὁ δὲ λέοντος δορὰν ἠμφίεστο. B.C.M.I.

4. Ἀγρίου] Sic non solum T., sed etiam C., cui ἀσίου tribuit Valck. " Patruos Tydeus, an patrueles interfecerit, incertum est. Patruos habuit, *Agrium*, *Alcathoum*, *Melana*, *Leucopea*, praeter Oenea. Parthaonis filios *Alcathoum* et *Lycopea* constat interfectos a Tydeo: hi plerisque Tydei vocantur patrueles: ab his Ἀγρίου, ab illis Μέλανος liberi. Diodor. Sic. 4, p. 308, 39. Τυδέα, scribit, ἐν Καλυδῶνι τοὺς ἀνεψιοὺς ἀνελόντα, Ἀλκαθοῦν καὶ Λυκωπέα, φυγεῖν—εἰς Ἄργος, ubi de veterum dissensu notat Wessel. schol. in Aesch. Sept. 578. τοὺς Μέλανος ἀπέκτεινε παῖδας Ἀλκάθουν καὶ Λυκωπέα· vulgatur Λυκαυγία. perverse scripta nomina tanquam scholion nobis dedit ineditum Stanleius: in scholio ad Hom. Il. Ξ, 119. quod dicitur occidisse Lycopea et Alcathoum ἑαυτοῦ παῖδας, sic corrigendum arbitror ut legatur Ἀγρίου παῖδας· nullos enim tum habuit liberos Tydeus: alterius, quod ibidem sequitur, scholion eam correctionem veram esse manifestat. Agrii fuisse liberos, quos cum fratre germano Tydeus trucidarit, statuisse Pherecyden, apparebit ad scholia Apollodorum conferenti 1, 7, 10. ubi libri fideliores vulgatis aliquando meliora subministrabunt. Ceterum in Tydeo vim crudelitatis insitam agrestis promovit educatio: schol. ad Il. Δ, 400. in ms. Leid. Ἀντίμαχός φησιν ὅτι παρὰ συμφορβοῖς ἐτράφη. hoc scholion non excerpserat Eustathius." VALCK.

ib. ἐφόνευσεν—Λυκωπέα om. A. in lacuna.

ib. Ἀλκάθουν καὶ Λυκωπέα] ἄκανθον (ἀκάν... in fine versus C.) καὶ λευκίππην C.T. Correxit Valck.

5. Ἀλθαίας om. T., ut videtur. In C. literae ἀλ tantum supersunt in fine versus. In M. compendium, quod ἀλθαίου potius significat. Simile scholion est in Bar. et Gu. ὃς (Gu. ὃν), φασὶ, διά τινα φόνον συγγενικὸν ἔφυγε τῆς πατρίδος.

11. κατακλίσεως] κατοικήσεως I. Illud est etiam in Fl. 33. et Gu.

ib. ὅτι] οὗ A.

ib. θηριωδῶς] θηριώδες I.

12. ἐχαμεσάμεθα] ἐμαχησάμεθα A.C.

ib. θηρσὶν] θηρὸς A.

ib. ἡμᾶς εἴκασεν om. A. in lacuna. δὲ om. I.

1. ἠμφίεστο (ἠμφίετο A.C.)] καὶ

422. ἐνταῦθα Ταλαοῦ παῖς: ἐν τούτῳ ὁ τοῦ Ταλαοῦ παῖς, ἤγουν ὁ Ἄδραστος, συνῆκεν, ἤγουν συνέβαλεν, ἥρμοσε τὸν χρησμόν. Gr. I. Αἰόλου Κρηθεύς, οὗ Ἀμυθάων, οὗ Βίας, οὗ Ταλαός, οὗ Ἄδραστος. B.C.M.I. ἐνταῦθα: ἀντὶ τοῦ ἐν τούτῳ τῷ καιρῷ. M.

423. κἄδωκεν: ναὶ δηλονότι· καὶ ἔδωκεν ἡμῖν τοῖς δυσὶν τὰς δύο αὐτοῦ θυγατέρας. I.

424. εὐτυχεῖς: διά τε πλούτου καὶ γυναικὸς ἀρίστης καὶ τέκνων γονῆς. Gu. γάμοις, κατὰ τοὺς γάμους. Gr. Florr.

425. ἐς τόδ' ἡμέρας: μέχρι ταύτης τῆς ἡμέρας. M. μέχρι τῆσδε τῆς ἡμέρας. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. ἕως τοῦ παρόντος. C.M. μέχρι τοῦ παρόντος. Gu. Fl. 33.

426. σπέσθαι: ἕπεσθαι. I. συνακολουθῆσαι. M. ἀκολουθῆσαι. Gr. Bar.

428. σύγγαμος: σύγγαμβρος ὁ Τυδεύς. Gr. Cant. τοῦτο γὰρ περισσόν· προεμηνύθη γὰρ ἄνωθεν. M.

429. ἄμφω: ἀμφοτέρους. Gr. τοὺς δύο. Gu.

κατάξειν: εἰς τὴν πατρίδα ἕκαστον τὴν ἑαυτοῦ. Gr.

πρόσθεν δ' ἐμέ: ἐπείπερ οὗτος εἶχε τὴν πρεσβυτέραν τῶν θυγατέρων. Gu.

430. ἄκροι: προὔχοντες. Gr. ἔνδοξοι. ἔκκριτοι. Gu. Bar. πρῶτοι. Gr. ἄριστοι, ἐξέχοντες. M. Gu.

431. λυπρὰν χάριν: καθὸ κατὰ πατρίδος ἐστρατεύσαντο, λυπράν φησι τὴν χάριν, ἀναγκαίαν δέ· οὐκ ἐγχωρεῖ γὰρ ἄλλως γενέσθαι δίχα πολέμου. ἔμφρων δὲ καὶ ἐλεεινὸς ὁ λόγος. B.C.M.I.

433. ἐπώμοσ': ἀντὶ τοῦ ἐπόμνυμι. Gr. Bar.

434. τοῖς φιλτάτοις τοκεῦσι: γράφεται καὶ ἑκοῦσιν, ἵν' ᾖ, τῷ

ὥσπερ θηρία ἐν ὕλῃ (αὐλῇ Matth.) ἰσχυρῶς καὶ καρτερικῶς ἐκοιμήθησαν addit Fl. 33.

3. παῖς—χρησμόν] παῖς ἄδραστος ἔγνω τὰ μαντεύματα I.

4. Κρηθεὺς] κριθεὺς C. κρητεὺς I.

ib. οὗ Βίας om. C. et (qui ἀμυθίας habet pro ἀμυθάων) A.

23. καθὸ—χάριν] Nihil praeter καθὸ πατρίδα habent A.C.M.

24. δὲ om. I. Flor. 33. sequentia tantum habet: οὐκ ἐνεχώρει (sic) γὰρ ἄ. γ. χωρὶς π. et post ὁ λόγος addit: καὶ λυπροῦ δὲ διότι πολεμῆσαι κατὰ τῆς πατρίδος οὐκ ἔθελεν, ὅμως ἀναγκαζόμενος.

25. δίχα] δίων (sic) C.

ib. λόγος] ἐστίν add. C.

27. γράφεται καὶ ἑκοῦσιν B.I. γράφεται τοκεῦσιν M. γράφεται τε-

ἀδελφῷ μου· ὁ γὰρ Ἐτεοκλῆς ἑκὼν πορθεῖ τὴν βασιλείαν, διὰ τὸ μὴ ἀφίστασθαι τῆς βασιλείας. A.B.C.M. Gu. I.

ἠράμην δόρυ: ἐκίνησα. M. ἐκίνησα πόλεμον. Gr. Cant.

435. τείνει: εἰς σὲ ἀφορᾷ. I. ἀνάκειται, ἁρμόζει. M.

ἀλλ' εἰς σὲ τείνει: ἀλλ' εἰς σὲ ἀφορᾷ, ὦ μῆτερ, ἡ διάλυσις τούτων τῶν κακῶν, συνάξασαν ἡμᾶς εἰς φιλίαν, παῦσαι καὶ ἐμὲ πόνων καὶ σαυτὴν καὶ πᾶσαν πόλιν. Gr. Cant.

436. διαλλάξασαν: ὥστε διαλλάξαι, παῦσαι. M. φιλιώσασαν. Gu. I. εἰς φιλίαν συνάξασαν. Gr. ἡμερώσασαν. C. ὁμογενεῖς φίλους: τουτέστι διὰ διαλλαγῶν ἐχθροὺς ὄντας τοὺς ὁμογενεῖς ἤτοι τοὺς ἀδελφοὺς ποιήσασαν φίλους. Gu.

438. πάλαι μὲν οὖν ὑμνηθέν: ἐρῶ μὲν ῥῆμα πάλαι ὑμνηθὲν, ἀλλ' ὅμως ἐρῶ. παροιμιώδης δὲ ὁ στίχος. καὶ ὁ ῥήτωρ "δεῖ δὲ χρημάτων." B.C.M.I.

ὑμνηθέν: ἤγουν λεχθὲν, ᾀσθὲν, λόγιον. Gr. Fl. 5. 6. 9. 56. 59. 76. πάλαι: πρὸ μακροῦ. Gr. παροιμιώδης ὁ στίχος ἐστίν. καὶ ὁ ῥήτωρ "δεῖ δὲ χρημάτων." Gu.

439. ἀνθρώποις: παρὰ τοῖς ἀνθρώποις. Gr.

440. τῶν ἐν ἀνθρώποις: πραγμάτων. B.C.M. πάντων τῶν πραγμάτων. Gr. Cant.

441. ἁγὼ μεθήκω: ἐφ' ἃ χρήματα κἀγὼ ἥκω. B.I. ζητήσων ἥκω. Gr. Cant. μετέρχομαι, ζητῶ. Gu.

442. λόγχην: βοήθειαν. M. φωσσάτον, στρατὸν λογχοφόρον. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. πένης γάρ: καὶ γὰρ πένης ἀνὴρ οὐδαμῶς εὐγενής. Gr. (εὐτυχής. Flor.) Florr. iidem.

443. εἰς διαλλαγάς: εἰς φιλίαν. δι' ὧν εἰς φιλίαν δύνασαι ἀνενεγκεῖν τὰ τέκνα. A.C.M.

κοῦσιν C. Fl. 33. γράψον τεκοῦσιν A. γράφεται ἑκοῦσιν Gu.

1. ἑκὼν πορθεῖ] ἑκὼν προθεῖ M. ἐκπορθεῖ Fl. 33.

ib. βασιλείαν] πόλιν C.

2. τῆς βασιλείας] ταύτης Gu.

4. ἀφορᾷ Gr. ἀνάκειται Gu.

12. ἐρῶ—ὑμνηθὲν] πάλαι λαληθὲν I. "ἐρῶ οὖν ῥῆμα πάλαι μὲν ὑμνηθὲν, ἀλλ' ὅμως ἐρῶ T. Flor. ἐρῶμεν ῥῆμα π. ὑ. C. Tum C. et Flor. 33. παρ' ὁμήρῳ (pro παροιμιώδης) δὲ ὁ στίχος. In sqq. Flor. 33. καὶ ὁ ῥ. δεῖται χρημ." MATTH.

13. παροιμιώδης] παρ' ὁμήρῳ A.

ib. καὶ ὁ ῥήτωρ (ῥητὸς C.)—χρημάτων] Haec verba om. A.: separatum scholion sunt in B.C.M., in C. supra versum scriptum post aliud glossema, τίς ἀπὸ τῶν σοφῶν εἶπε τοῦτο. Locus Demosthenis est p. 15, 2. Post χρημάτων B. addit χρήματα δηλονότι.

444. χωρεῖ: γρ. ἥκει. C.M.

445. οἷς: οἷον δι' ὧν. B.

446. μῆτερ, πάρειμι: κάλλιστα πεποίηται τῷ τραγικῷ τὸ πρόσωπον, οἷον δεῖ εἶναι ἄδικον ἄνδρα· γινώσκων γὰρ ὡς οὐδὲν δίκαιον ἔχει λέγειν ἐπάγει τὴν κρίσιν, τὸν ἐκ τῆς δικαιολογίας κατὰ λεπτὸν γινόμενον ἔλεγχον φεύγων. A.B.C.M.I. τὴν χάριν δὲ σοί: ὀρθοτονητέον τὴν σοί διὰ τὴν πρὸς τὸν ἀδελφὸν σχέσιν. A.B.C.M.

447. ἀρχέτω δέ τις: οὗτος ὁ Πολυνείκης. I. ἀρχέτω: προηγείσθω. Gu.

448. ὡς ἀμφί: ὅτι ἐπέσχον, ἐμαυτὸν δηλονότι, τάσσων τοὺς πολίτας περὶ τὰ τείχη καὶ τὰς συντάξεις τῶν ταγμάτων, ὅπως ἀκούσαιμί σου τὰς κοινὰς βραβείας. Gr.

καὶ ξυνωρίδας λόχων: συντάξεις, συναφείας. M. παρατάξεις. I. ὁ καί παρέλκει. A.B.C.M.I. ξυνωρίδας: τοὺς ἱππέας τοῦ στρατοῦ ἐκ τῶν ἁρμάτων δηλοῖ. ξυνωρίδας τὰ ἅρματα, λόχων δὲ τῶν στρατευμάτων. A.B.C.M.I.

ξυνωρίδας: συστήματα, τάξεις, ἀπὸ μέρους τὸ πᾶν. ξυνωρὶς γὰρ τὸ ἅρμα· τὸ δὲ λόχων ἀντὶ τοῦ στρατευμάτων. Gu. Bar. τάξεις στρατευμάτων. λόχος κυρίως ἡ ἐνέδρα, καταχρηστικῶς δὲ καὶ ἡ τάξις. ὁ δὲ λόχος διὰ πεζῶν ἀνδρῶν γίνεται. Gu.

449. τάσσων: στρατολογῶν. B.C. Fl. 33. I. κοσμῶν. C. Gu. Fl. 33.

τάσσων ἐπέσχον: ὅτι διὰ σὲ τὰ ἅρματα τῶν στρατευμάτων τῶν ἐνσάρκων στρατολογῶν, ἔσχον τὴν διακόσμησιν τοῦ στρατοῦ. C.

3. πεποίηται] πεποίηκε C.
4. δεῖ] δὴ M.
ib. ὡς] ὅτι A.C.
5. ἐπάγει C.M. ἐπείγει A.B.I. " ἐπάγει etiam Gu. qui bis haec habet, ἅτε ἀδικοῦντα ἐπιστάμενος ἑαυτὸν ἐπ. τὴν κρ. semel inter versus 443. 44. tum in marg. ad v. 447. ἀρχέτω δέ τις λ. Idem bis φεύγων pro ἐκφεύγων. Ad v. 447. adscripta sunt etiam in Flor. 33. in quo haec praefiguntur: ἑαυτὸν ὀργιζόμενος ἐνέφηνεν οὐκ εἰπὼν λέγεται (l. λεγέτω) οὗτος, ἀλλὰ λεγέτω τις. κάλλιστα δὲ πέπ." MATTH.
ib. τῆς om. in scholio Gu.
ib. κατὰ λεπτὸν ante φεύγων A. C.
ib. γινόμενον] γενόμενον C.M.
6. φεύγων] ἐκφεύγων B.I.
14. ὁ καί] ὁ δὲ καὶ I. τὸ καὶ C.
ib. ἱππέας] ἱππεύσαντας A.C. sed ἱππέας C. in gl. interl.
15. ξυνωρίδας] συνωρίδας B.
ib. δὲ τῶν] δὲ om. A.C., τῶν om. B.
23. ὅτι διὰ σὲ—τὴν δ. τοῦ στρατοῦ] Haec sine lemmate in C.: nam adjuncta sunt scholio v. 448. post στρατευμάτων.

τουτέστιν ἐν τάξει μερίζων τοὺς πολίτας καὶ κατατάσσων τὴν ἐμὴν δύναμιν ἐπέσχον τὴν διακόσμησιν, ὅπως ἀκούσαιμι πρότερον τοὺς πρὸς τὴν κοινὴν ἡμῶν διάλυσιν παρὰ σοῦ γινομένους λόγους, ὦ μῆτερ. C.M. διὰ σέ, ὦ μῆτερ, τὴν διακόσμησιν τοῦ στρατοῦ ἐπέσχον, ὅπως ἀκούσω πρότερον τὰς παρὰ σοῦ γινομένας κοινὰς ἡμῖν διαλύσεις (βραβείας γὰρ διαλύσεις), ὅ ἐστι τοὺς μετὰ κρίσεως λόγους. B.C.M.I.

450. κοινὰς βραβείας: τὰς διαλλαγάς, τὰς κρίσεις, ἐφ' αἷς ἤγουν δι' ἃς ἐδέξω μολεῖν τόνδε ὑπόσπονδον εἴσω τῶν τειχέων, πείσασά με. Gr. Mosq.

κοινάς: ἐμοῦ καὶ τοῦ ἀδελφοῦ μου. Gu. βραβείας: κρίσεις, μεσιτείας, διοικήσεις. M. βραβεύω τὸ παρέχω, τὸ κρίνω, καὶ τὸ βραβεῖα καὶ γέρα δίδωμι. Gu. κοινὰς βραβείας: τὰς ἀμφοῖν διαλύσεις ἡμῶν. C.M. βραβείας ἀντὶ τοῦ διαλύσεις, ὧν ἐβράβευσεν ἡ μήτηρ, τοὺς μετὰ κρίσεως λόγους, δι' ὧν ἑκάτερος αὐτῶν ἐδείκνυε δικαιότερα λέγων. C.T. κρίσεις, διαλύσεις. Gu.

451. τόνδ' εἰσεδέξω: εἴσω ἐδέξω, ὡς καὶ εἴσιθι εἴσω ἴθι. τοῦτο δὲ ἐναντίον τῷ "Ἴλιον εἴσω" ἀντὶ τοῦ εἰς τὴν Ἴλιον· ἐκεῖσε γὰρ ἀντὶ προθέσεως παραλαμβάνεται. A.B.M.I.

452. ἐπίσχες: κράτησον. C. καρτέρησον. I. οὔτοι τὸ ταχὺ τὴν δίκην ἔχει: οὐκ ἐν τῷ τάχει ἐστὶ τὸ δίκαιον· οὐδαμῶς γὰρ τὸ

2. ὅπως] ὅπως ἂν A.M.

ib. πρότερον M. πρῶτον A. πρῶτα C.

4. διὰ σὲ] Lemma τάσσων· ἐπέσχον praefixum in A.C.M., ὅπως κλύοιμί σου in B.I.

ib. διὰ σὲ—λόγους ὦ μῆτερ] Haec in A.C.M. leguntur post schol. v. 450.

5. τὰς om. M.

ib. παρὰ] περὶ C.

6. ἡμῖν—γὰρ om. C.

7. Post λόγους A.C.M. pergunt, ἄλλως. κοινὰς βραβείας. τὰς ἀμφοῖν etc.

14. βραβείας ἀντὶ] βραβείας οὖν ἀντὶ A.C. in quibus haec leguntur post verba λόγους ὦ μῆτερ in scholio v. 449.

15. ἑκάτερος Matth. pro ἐν θάτερον.

16. λέγων] λόγων C.

17—19. In Gr. εἰσεδέξω: ἀντὶ τοῦ εἴσω ἐδέξω, in Gu. εἴσω ἐδέξω, ὡς καὶ εἴσιθι εἴσω ἴθι. τοῦτο δὲ ἐναντίον τῷ ἴλιον εἴσω. ἐκεῖσε γὰρ — παραλαμβάνεται. Similiter in I. ἀντὶ τοῦ εἰσεδέξω, ὡς εἴσιθι ἀντὶ τοῦ εἴσω ἴθι. τούτῳ δὲ ἐναντίον τὸ ἴλιον εἴσω ἀντὶ τοῦ εἰς τὴν ἴλιον· ἐκεῖσε—παραλαμβάνεται. In A. τόνδ' εἰσεδέξω: εἴσιθι ἔσω καὶ εἴσιθι. τοῦτο δὲ ἐναντίον τοῦ ἴλιον εἴσω εἰς τὴν ἴλιον. ἐκεῖσε γὰρ ἀντὶ τῆς προθέσεως παραλαμβάνεται.

18. Ἴλιον εἴσω] Apud Homer.

ib. ἀντὶ τοῦ om. A.B.

19. τῆς addidi ex A.

21. οὐκ ἐν—δίκαιον] Haec etiam in B., omisso ἐστί.

ὀξέως τι πράττειν τὸ δίκαιον κατέχει. A.C.M. τὸ δίκαιον. Gr. τὴν δικαιοσύνην ἔχει, ἤγουν οὐκ ἐν τῷ τάχει ἐστὶ τὸ δίκαιον. Gu.

453. βραδεῖς δὲ μῦθοι: οἱ μετ' ἐπισκέψεως, οἳ καὶ τὸ σοφὸν ἔχουσι. B.I. βραδεῖς: οἱ μετὰ βραδυτῆτος γινόμενοι καὶ ἐπισκέψεως. Gu. μετὰ ἀνέσεως λεγόμενοι. Gr. Bar.

454. σχάσον: στῆσον, κατάπαυσον καὶ ἄνες· ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων· σχάσαι γὰρ τὸ ἐπισχεῖν τῶν κωπῶν τὴν εἰρεσίαν. B.C.M.I. χάλασον, στῆσον. Gu. παῦσον. ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων. Gr. σχάσαι γὰρ τὸ ἐπισχεῖν τῶν κωπῶν τὴν εἰρεσίαν. Gu. δεινὸν ὄμμα: τὸ φοβούμενον ὅραμα καὶ τὸ ἄγαν ὀργίλον. B. M. τὸ ὀργίλον. C. ἀντὶ τοῦ τὴν δεινότητα τοῦ ὄμματος. Gr. Bar. ὀργίλον. Fl. 33. θυμοῦ πνοάς: ἤγουν τὸν θυμὸν, περιφραστικῶς. Gu. Bar.

455. λαιμότμητον: ἀντὶ τοῦ οὐκ ἐχθρόν. M. ἤγουν τὸν κεκομμένον τοῦ λαιμοῦ. C. τὸ ἀπὸ τοῦ λαιμοῦ τετμημένον. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

456. Γοργόνος: Γοργόνες τρεῖς, Σθενὼ, Εὐρυάλη, Μέδουσα. M. Gu. ἡ Γοργόνη θεὰ ἦν, καὶ εἴ τις δ' ἂν αὐτὴν εἶδεν, ἀπελιθοῦτο· ὁ δὲ Περσεὺς σταλεὶς παρὰ τοῦ Ἑρμοῦ ἀπεκεφάλισεν αὐτὴν, καὶ

p. 145. l. 21. τάχει] ταχεῖ A.

ib. γὰρ om. A.

1. τι π.] τὸ π. A.

3. οἱ μετ'—ἔχουσιν] In M.T. οὐ (corrige οἱ) μετ' ἐπισκέψεως καὶ μὴ σπουδάζοντες λόγος πάνυ δεικνύουσι σοφόν.

6. σχάσον] σχάσον δὲ A.C.

ib. στῆσον (στῆσον om. B.) κατάπαυσον (καὶ παῦσον C., sed κατάπαυσον in gl. interl.) καὶ (καὶ om. T.) ἄνες] Sic A.B.C.M.T. In I. ἐπίσχες: κατάπαυσον, καρτέρησον, ἄνες. ἡ μεταφορὰ etc., "e quibus καρτέρησον duntaxat inservit verbo ἐπίσχες interpretando, similiter a scholiastis adhibitum ad Aeschyli Prom. 696. et Eurip. Orest. 1165. significans apud recentiores *exspecta:* Hemst. vid. in Aristoph. Plut. v. 1101. ad Σχάσον referenda κατάπαυσον, ἄνες." VALCK. In Flor. 5. 6. 9. 21. 56. 59. 76. παῦσον, ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων καὶ παυομένων τῆς εἰρεσίας.

7. τὴν εἰρεσίαν om. A.C.M.

14. οὐκ ἐχθρὸν] οὐκ delendum videtur.

17. Εὐρυάλη, Μέδουσα] μέδουσα καὶ εὐρυάλη Gu.

18. ἡ Γοργόνη] Forma recentior hic neminem offendet, in *Euripidis* versu, in quo Γοργόνας dederat Aldus, minime toleranda, neque etiam apud Dion. Chrys. or. 66. p. 610 D. ὁ Περσεὺς τὴν κεφαλὴν τῆς Γοργόνης (l. Γοργοῦς) περιφέρων—ἐποίει λίθους. Originem fabulae notissimae diversimode tradunt Alexander Myndius ap. Athen. 5. p. 221 B. Philo Judaeus de Legat. ad Caium p. 1026 c. Palaephatus π. 'A. c. 32. Eustathius ad Homeri Il. Λ. p. 760, 63. VALCK.

19. ἀπεκέφαλισεν] ἀπεκεφάλησεν C.

πάλιν εἶχε τὴν αὐτὴν ἐνέργειαν, καὶ οἵτινες δὲ τὴν αὐτῆς κάραν εἶδον, ἀπελιθοῦντο. C.

457. στρέφε: τρέπε. I. γρ. καὶ τρέπε. B.M.

458. εἰς γὰρ ταυτόν: ἀντὶ τοῦ ἐξ ἐναντίας. B.M.I. ἤγουν ἐξ ἐναντιάς καὶ κατ' ὀφθαλμούς. Gu. εἰς γὰρ ταυτόν: εἰς γὰρ τὸ αὐτὸ τοῖς ὄμμασι τούτου βλέπων, ἤγουν βλέπων γὰρ τοῦτον κατ' ὀφθαλμούς. Gr. Bar.

459. ἐνδέξῃ λόγους: ἀπὸ κοινοῦ τὸ ἄμεινον. B.M. Gu. I.

460. σφῷν: ὑμῖν. Gr. I. ὑμῶν, ἀντὶ τοῦ ὑμῖν. γενικὴ ἀντὶ δοτικῆς. B. σοφόν: φρόνιμον. Gu. I. φρόνιμον, συνετόν. B.M.

461. ὅταν: ὁπόταν τις φίλος θυμωθεὶς ἀνδρὶ φίλῳ, συνελθὼν, ἐκείνῳ δηλονότι, τὰ αὐτοῦ ὄμματα τοῖς ἐκείνου δώσῃ, ταῦτα μόνον πρέπει σκοπεῖν δι' ἅπερ ἦλθε, τῶν προτέρων δὲ κακῶν μὴ μνήμην ἔχειν. I.

463. ταῦτα: ἤγουν τὴν διαλλαγήν. Gu.

465. λόγος μὲν οὖν σός: νόμος τὸν διώκοντα πρῶτον λέγειν, εἶτα τὸν φεύγοντα πρὸς ἃ ὁ διώκων προὐβάλλετο κατ' αὐτοῦ ἀπολογεῖσθαι. ἐπεὶ οὖν καὶ ὁ Πολυνείκης ἐν σχήματι διώκοντος ἦν, διὰ τοῦτο πρῶτος λέγειν Ἐτεοκλέους παρὰ τῆς Ἰοκάστης προτρέπεται. Gu. Bar. διὰ τοῦτο προσέθηκε καὶ τὸ "ὡς σὺ φῄς," ἵνα μὴ δόξῃ ἐπαχθὴς τῷ Ἐτεοκλεῖ, πρὶν ἀμφοτέρων ἀκοῦσαι, τὴν ψῆφον ἐκφέρουσα. Gu. Bar. σὸς πρόσθεν: ἀντὶ τοῦ σὺ πρῶτος ὀφείλεις λέγειν. M. Gu. πρόσθεν: λεγέτω. B. ὑπαρχέτω. Gu. ἀντὶ τοῦ πρότερος γενέσθω. I. γενέσθω, ἤγουν προηγείσθω. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

4. ἐξ om. B. In I. ἀπεναντίας, omisso ἀντὶ τοῦ.

9. ὑμῖν] ἡμῖν B. rec.

10. συνετόν om. B.

19. πρῶτος λέγειν Ἐτεοκλέους] Hnjns adnotationis auctorem scripsisse crederem, πρῶτος λέγειν παρὰ τῆς Ἰοκάστης προτρέπεται, nomen autem Ἐτεοκλέους postea demum adjectum; si per sacros liceret philologos, qui, hujus structurae conquirentes exempla ne hunc quidem sibi locum eripi paterentur: huc forsan advocabitur Chariton 5. p. 85, 24. cujus, in re simillima, locus ad vulgatam tuendam maxime videbitur idoneus: ego mendosum judico. VALCK.

21. προσέθηκε] προσέφη Gu. in quo hoc scholion adscriptum v. 467. In Bar. δὲ προσέθηκε.

ib. καὶ τό] καὶ om. Bar.

23. ἀντὶ τοῦ] ἤγουν Gu.

467. *ἄδικα*: *ἵνα μὴ λυπήσῃ τὸν Ἐτεοκλέα*. M. *ὡς σὺ φῄς*: *τοῦτο θεραπευτικὸν τοῦ Ἐτεοκλέους*. B.M.I.

468. *διαλλακτής*: *ὀξυτόνως· τὰ γὰρ παρὰ ῥῆμα ὀξύνονται, ὡς τὸ κολυμβητής ποιητής καὶ τὰ ὅμοια*. A.B.C.M.I. *δικαστής*. C.

469. *ἁπλοῦς*: *ἀποίκιλος ὁ λόγος, ἤγουν ἡ ἀλήθεια λόγῳ χρῆται ἀποικίλῳ· οὐ γὰρ χρείαν ἔχει τοῦ ποικίλου*. Gr. *μονοειδής, οὐ ποικίλος, ἡρμοσμένος, ἀλλὰ ἀπανούργευτος καὶ ἀνεμπόδιστος*. B. Gu. *μονοειδής*. B. rec.

470. *κοὐ ποικίλων δεῖ τἄνδιχ'*: *γράφεται, δεῖτ' ἄνδιχ' ἑρμηνευμάτων, ἵν' ᾖ, καὶ οὐ ποικίλης δεῖται ἔξωθεν ἀπολογίας ἡ ἀλήθεια· ἔχει γὰρ αὐτὰ τὰ ἀληθῆ ἀφ' ἑαυτῶν τὸ εὔκαιρον. ἔνδικα γὰρ ἀντὶ τοῦ δίκαια. τὸ δὲ χ διὰ τὴν δασεῖαν*. A.B.C.M.I.

δεῖ τ' ἄνδιχ': *ἀντὶ τοῦ δεῖται τὰ δίκαια ἐξαγγελιῶν*. Gr. Cant. *σημείωσαι τὴν σύνταξιν, ὡς τὸ παρ' Ὁμήρῳ* "*χρεὼ βουλῆς ἐμέ τε καὶ σέ*." *καὶ οὕτω μὲν λέγω αἰτιατικῶς νοήσας τὸ ἔνδικα· εὐθεῖαν δὲ λέγων οὕτω συντάξεις· καὶ οὐ ποικίλων ἑρμηνευμάτων δεῖται καὶ χρῄζει τὰ ἔνδικα. πρὸς μὲν οὖν τὸ πρῶτον τἄνδικα γράψεις, πρὸς δὲ τὸ δεύτερον τ' ἔνδικα, κουφίζων τὴν αι δίφθογγον, ὡς τὸ* "*βούλομ' ἐγώ*." *ἔστι δὲ ὅμοιον τοῦτο καὶ τῷ παρ' Αἰσχύλῳ* "*αὐτὸν γάρ σε δεῖ* Προμηθέως." Τὸ αὐτὸ ἄλλως. *οὕτως ἔδει εἰπεῖν, οὐ δεῖ τοῖς ἐν-*

2. *θεραπευτικὸν τοῦ* (*κατὰ τοῦ* Gu.) *Ἐτεοκλέους*] *θεραπεύει τὸν ἐτεοκλέα* I.

3. *τὰ γὰρ—ὀξύνονται* C. *γὰρ τὰ παρὰ ῥῆμα* B. *παρὰ ῥῆμα γὰρ* I. In A.M. *τὰ γὰρ παρὰ ῥῆμα ὀξυτόνως* etc.

ib. *ὡς τὸ* M. *ὡς* B.I. *οἷον* A.C.

4. *κολυμβητής ποιητής* A.B.C.M. *ποιητὴς κολυμβητής* I

ib. *καὶ τὰ ὅμοια* om. A.C.M. In Gu. *ὀξυτόνως, ὡς τὸ κολυμβητὴς ποιητής καὶ τὰ ὅμοια*.

7. *ποικίλος—ἀπανούργευτος*] *ποικίλως—ἀπανούργητος* B.

9. *κοὐ—ἑρμηνευμάτων, ἵν'*] Sic B. I. nisi quod *δεῖ τὰ ἄνδιχ'* pro *δεῖτ' ἄνδιχ'*. In A.M. *κοὐ ποικίλων δεῖτ'* (*δεῖται* A.) *ἵν'*. In C. *οὐ ποικίλων δεῖται ἵν'*. "T. totum scholion habet ut I. usque ad *τὰ ἀληθῆ ἐφ' ἑαυτοῦ* (sic) *τὸ εὔκαιρον*. tum *ἄνδιχα γὰρ ἀντὶ δίκαια. τὸ δὲ χ διὰ τὴν δασεῖαν*." MATTH.

ib. *γράφεται* om. A.

11. *ἀφ'*] *ἐφ'* A.C.

ib. *ἑαυτῶν*] *ἑαυτὸν* M.

ib. *ἔνδιχα* (scripsi *ἔνδικα*) C. *ἄνδιχα* B.M.I.

ib. *γὰρ* om. C.

12. *δίκαια* C.M. *ἔξωθεν* B.I. Post *ἔξωθεν* B. pergit *τἄνδικα τὰ ἔνδικα ἀντὶ τοῦ τὰ δίκαια. τὸ δὲ—δασεῖαν*. In I. *ἄλλως. τὰ ἔνδικα ἀντὶ τοῦ—δασεῖαν*.

14. *Ὁμήρῳ*] Il. 10, 43.

18. *τὴν αι* Matth. pro *τὴν ευ*.

ib. *βούλομ' ἐγώ*] Hom. Il. 1, 117.

19. *Αἰσχύλῳ*] Prom. 86.

δίκοις ποικίλων ἑρμηνευμάτων. νῦν δὲ τὰ ἔνδικα εἶπε. ἀποδίδοται οὖν αὕτη ἡ αἰτιατικὴ πρὸς τὸ συναγόμενον· τὸ γὰρ "οὐ δεῖ ποικίλων τὰ ἔνδικα ἑρμηνευμάτων" τοῦτο συνάγει, οὐ δεῖ ποικίλως ἑρμηνεύειν τὰ ἔνδικα. ἔστι δὲ Ὁμηρικὴ σύνταξις, ὡς τὸ "χρεὼ βουλῆς ἐμέ τε καὶ σέ," ἀντὶ τοῦ χρεία βουλεύσασθαι ἐμέ τε καὶ σέ. Gu. ἑρμηνευμάτων: ῥήσεων. M. σοφισμάτων, πανουργευμάτων. C.

471. ἔχει γὰρ αὐτὰ καιρόν: τὰ δίκαια εὐκαιρίαν. Gr. εὐστοχίαν, ἰσχὺν, τουτέστιν οἴκοθεν ἰσχύουσι καὶ οὐκ ἐκ ποικιλίας λόγων. Gu. τὰ δίκαια ἔχει ἰσχὺν καὶ ἐγκαιριότητα. I. καιρόν: ἰσχὺν, εὐκαιρίαν, εὐστοχίαν. A.B.C.M.T.I. καιρόν: εὐκαίρως γὰρ καὶ καλῶς λέγεται τὰ δίκαια, καὶ τὴν ἐπίτευξιν ἔχει. A.C.M. Gu.

472. νοσῶν ἐν αὑτῷ: ἀσθενῆ φύσιν ἔχων. B. ἐν ἑαυτῷ κακῶς ἔχων συνηγόρων δεῖται, θεραπειῶν πεπαιδευμένων. B.I. ἀδυνατῶν ἐν ἑαυτῷ, λόγων δεῖται μετὰ τέχνης καὶ στροφῆς λεγομένων. Gr. Cant. Mosq.

473. προὐσκεψάμην: ἀντὶ τοῦ προσκεψάμενος. ῥῆμα ἀντὶ μετοχῆς. B.M. ἐγὼ, φησὶ, προνοησάμενος τῆς πατρικῆς οὐσίας, καὶ βουλόμενος ἐμέ τε καὶ τοῦτον ἐκφυγεῖν τὰς Οἰδίποδος ἀρὰς ἐξῆλθον ἀπὸ τούτων τῶν ὅρων τῆς γῆς. B.C. Gu. I. Ἄλλως. ἐγὼ δὲ προνοησάμενος τὸ ἐμὸν καὶ τὸ τούτου συμφέρον, χρῄζων τὰς ἀρὰς τοῦ πατρὸς ἐκφυγεῖν, ἃς ὁ Οἰδίπους ἐφθέγξατο, ἐξῆλθον ἔξω τῆς ἐμῆς πατρίδος. A.B.C.M.T.I.

προὐσκεψάμην: προεμηθευσάμην. Gr. ἀντὶ τοῦ προσκεψάμενος.

9. ἐγκαιριότητα] Scribendum εὐκαιριότητα· idem Polybio restituendum p. 1076, pro ἀχαριότητα· supra eumdem Scopam συνεργὸν babuisse scribit καιρὸν, p. 1074 ubi quae praeterea leguntur alteri loco sanando sunt accommoda. VALCK. Locus Polybii est in Excerptis 18, 38, 2. ubi ἀχαριότητα contra Valckenarium defendunt Ernestius et Schweighaeuserus.

ib. καιρὸν] δὲ addunt B.I. in quibus haec leguntur post πεπαιδευμένων (ad v. 472.)

ib. εὐστοχίαν] εὐτυχίαν M. καὶ εὐτυχίαν T.

16. προσκεψάμενος] σκεψάμενος M.

ib. μετοχῆς] τῆς μετοχῆς M.

18. τὰς Οἰδίποδος ἀρὰς] τὰς ἀρὰς τοῦ (τὰς A.) οἰδίποδος A.C.

19. ἀπὸ] ἔξω C. Gu. ἐκ A.

ib. τούτων post τῶν ὅρων Gu.

ib. τούτων τῶν ὅρων τῆς γῆς] τῶν πατρώων δώμων (sic) C. τῶν πατρίων ὅρων A.

ib. γῆς] τουτέστι τῆς ἐμῆς πατρίδος add. Gu.

20. καὶ τὸ τούτου] καὶ τοῦτο C.

21. ὁ Οἰδίπους addidi ex C.: in M. est οἰδίπο^δ, in T. οἰδίποδος.

Gu. Fl. 5. 6. 9. 56. 59. 76. τουτέστι τῆς πατρικῆς περιουσίας πρόνοιαν ἐποιησάμην. Gu. Fl. 6.

474. τοὐμόν τε: κατά. Gr. ἤγουν ἐμέ. ἀσύνδετον. Gu. τοῦδ': κατὰ τό. Gr. κατὰ τὸ συμφέρον θέλων τὰς κατάρας. Gr.

475. ἐφθέγξατο: κατηράσατο. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. θέλων ἐκφυγεῖν ἡμᾶς δηλονότι τὰς κατάρας, ἃς ὁ Οἰδίπους εἰς ἡμᾶς ἐφθέγξατό ποτε, ἐξῆλθον ἑκὼν ἔξω τῆς χθονός. Gr. Flor. iidem.

478. ἀνὰ μέρος λαβών: ἀναλαβὼν τὸ μέρος. A. B. C. M. Ἀττικὴ ἡ σύνταξις λαβὼν ἀντὶ τοῦ λαβόντα, αὐτὸν ἐμὲ λαβόντα, ὡς τὸ

ἐξὸν καθεύδειν τὴν ἐρωμένην ἔχων,

ἀντὶ τοῦ ἔχοντα. A.B.C.M.I. ἀνὰ μέρος: κατὰ διαδοχὴν, ἐκ μέρους. Gu.

479. δι' ἔχθρας: ἤγουν μισηθεὶς παρ' αὐτοῦ καὶ φονευθείς. Gu. τῷδε: ὑπὸ τοῦδε. M. καὶ φόνου: γρ. καὶ φθόνου. M.

480. δρᾶσαι καὶ παθεῖν: ποιῆσαι αὐτὸν καὶ παθεῖν ὑπ' αὐτοῦ ἃ γίγνεται, καθὰ συμβαίνει, ἃ εἴωθε γίνεσθαι. Gr. Cant. ἃ συμβαίνει τοῖς φίλοις εἰς ἔχθραν ἥκουσιν. Fl. 33.

481. ὁ δ': ὁ Ἐτεοκλῆς. Gu. ὁ δὲ ἐπαινέσας ταῦτα, ἤγουν συγκαταθεὶς, καὶ θεοὺς εἰς ὅρκον προβαλόμενος. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. αἰνέσας: συνθέμενος. B. Gu. ὁρκίους: ἐπόπτας τοὺς θεούς. M. ἤγουν ἀσφαλεῖς ὅρκους ποιήσας. Gu.

482. ἀλλ' ἔχει βίᾳ: βίᾳ φυλάττει. M.

483. καὶ δόμων ἐμὸν μέρος: ἀντὶ τοῦ καὶ τὸ μέρος τὸ ἐμὸν τῶν δόμων, ἤγουν τὸ ἀνῆκον ἐμοὶ μέρος τῶν δόμων. Gr. Cant.

484. καὶ νῦν ἕτοιμος: ἕτοιμός εἰμι τὸν μὲν στρατὸν ἀποστεῖλαι, οἰκεῖν δὲ κατὰ διαδοχὴν τὸν ἐμὸν οἶκον λαβών. A.B.C.M.T.I.

9. Ἀττικὴ—αὐτὸν ἐμέ est etiam in Gu.

ib. ἐμὲ λαβόντα om. A.C.

10. ὡς τὸ—] Versus comici ignoti, quem propter structuram σολοικοφανῆ memoravit Eustath. ad Hom. p. 236, 22. ex quo verba ἐξὸν καθεύδειν suppleta sunt quae hic exciderant.

11. τὴν A.C.M. τήν τ' B.I. ut apud Charitonem 4. p. 76. τήν τε ἐρωμένην ἔχειν.

12. ἀντὶ τοῦ ἔχοντα ex C. addita.

19. In I. συγκατεθεὶς, συνθέμενος, συγκαταθεὶς Valck συγκατατεθεὶς etiam in Gr. et Florr. 5. 6. 9. 21. 56. 59. 76. MATTH.

27. κατὰ διαδοχὴν post τὸν ἐμὸν A C.

484. *τἀμαυτοῦ*: *ἤγουν τὸν ὡρισμένον χρόνον.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

485. *ἔξω—ἀποστεῖλαι*: *ἐκπέμψαι τῆσδε τῆς χθονός.* Gr.

486. *ἀνὰ μέρος*: *κατὰ διαδοχήν.* M. *ἰδικῶς.* Gu.

487. *ἀφεῖναι*: *παραχωρῆσαι οἰκεῖν.* Gu. *τὸν ἴσον αὖθις*: *ἀντὶ τοῦ μετὰ τὸν ἐνιαυτόν.* M.

488. *καὶ μήτε πορθεῖν*: *ἀπὸ κοινοῦ τὸ ἕτοιμός εἰμι.* M.

489. *πηκτῶν κλιμάκων*: *διὰ πεπηγμένων κλιμάκων ἀναβάσεις.* B.I. *προσφέρειν πύργοισι*: *τοιαῦτα γὰρ οἱ πορθοῦντες ποιεῖν εἰώθασιν.* Gu. *προσφέρουσι γὰρ κλίμακας οἱ πολέμιοι.* A.B.C.M.T. Flor. 33. *καθὼς ποιοῦσιν οἱ πολέμιοι.* M.

490. *ἃ μὴ κυρήσας*: *ἅτινα πειράσομαι δρᾶν μὴ κυρήσας τῆς δίκης.* A.B.C.M.T. Flor. 33. *Ἄλλως. μὴ κυρήσας τῆς δίκης. καὶ λύεται ἡ εἰς, εἰς ἃ μὴ κυρήσας πειράσομαι δρᾶν τὰ ἀπὸ τῆς δίκης.* A.M.T. *ἅτινα ἀπόπειραν ποιήσομαι πράττειν μὴ ἐπιτυχὼν τοῦ δικαίου. ἢ ἄλλως. καὶ λείπει ἡ εἰς· εἰς ἃ μὴ κυρήσας πειράσομαι δρᾶν τὰ ἀπὸ τῆς δίκης.* I. *ἅτινα ἐπιχειρήσω δρᾶν μὴ τυχὼν τοῦ δικαίου.* Gr. Flor. 5. 6. 9. 21. 56. 59. 76. *ἐπιτυχών.* Gu.

491. *μάρτυρας δὲ τῶνδε*: *τοὺς θεοὺς ἕνεκα τῶνδε, ἤγουν μαρτύρομαι δὲ τοὺς θεοὺς ἕνεκα τῶνδε.* Gr. *ἐπιβοῶμαι δὲ μάρτυρας τούτων τοὺς θεοὺς, ὅτι πάντα πράττων μετὰ δικαιοσύνης ἀπαλλοτριοῦμαι τῆς πατρίδος ἀδικώτατα.* I.

492. *ὡς*: *ὅτι.* Gr. *πάντα πράσσων σὺν δίκῃ*: *ἤγουν ἐν οὐδενὶ ἀδικῶν.* Gr. Fl. 5. 6. 21. 56. 59. 76.

493. *ἀνοσιώτατα*: *ἀθεώτατα.* Gr. *ἀδίκως.* Gu.

494. *ταῦτ᾽ αὔθ᾽ ἕκαστα*: *τὰ ἁπλᾶ χωρὶς ποικιλίας τινός· τὸ δὲ ἑξῆς, ταῦτ᾽ αὔθ᾽ ἕκαστα εἶπον. Ἄλλως. τὰ κεφάλαια καὶ τὰ ἀναγ-*

P. 150. l. 28. *λαβών*] *λαβόντα* B.I.

10. *γὰρ*] *γὰρ καὶ* C.

12. *ἅτινα πειράσομαι* obliterata in M.

ib. *δρᾶν μὴ κυρήσας τῆς δίκης*] *μὴ κ. τῆς δ.* om. M. *δρᾶν τὰ ἀπὸ τῆς δίκης* C.

13. *Ἄλλως*] *ἢ καὶ ἄλλως* A.

ib. *μὴ κ. τῆς δ.* om. A.

ib. *καὶ λύεται* A.T. *κλύεται* M. In C. scholion brevius, *ἃ μὴ κυρήσας*: *ἅτινα πειράσομαι δρᾶν τὰ ἀπὸ τῆς δίκης.*

14. *ἀπὸ* om. A.

26. *τὸ δὲ*] *δὲ* om. A.C.

27. *ταῦτ᾽* (*ταῦτα* B.) *αὔθ᾽ ἕκαστα*] *ταῦτα αὐθέκαστα* B. *ταῦτα ἕκαστα* C.M.

ib. *εἶπον* om. M.

ib. *Ἄλλως*] *καὶ ἄλλως* A.C. Scholion *ἄλλως. αὐθέκαστα τὰ κεφάλαια—μου εἰσι* est etiam in I., sed post

καιότερα τῶν λόγων μου ταῦτά εἰσι. A.B.C.M. τὰ κεφάλαια καὶ τὰ ἀναγκαιωδέστερα τῶν λόγων εἰσὶ ταῦτα. Gu. αὐτὰ ταῦτα καθ' ἓν εἶπον. Gr. οὐχὶ περιπλοκάς: ταῦτα ἕκαστα εἶπον, οὐ συστροφὰς συνάξας λόγων, ἀλλ' ἃ καὶ λογίοις καὶ ἀτέχνοις ὑπάρχειν δίκαια φαίνεται. I.

περιπλοκάς: ὑποστροφάς. B. μηχανάς. Gr. συστροφάς. Gu.

495. λόγων: ἤγουν δυσχερεῖς ὑποθέσεις. Gu.

496. καὶ τοῖσι φαύλοις: καὶ τοῖς εὐτελέσι καὶ μὴ δυναμένοις διακρῖναι. A.C.M.T. τοῖς ἀπαιδεύτοις, τοῖς ἀνοήτοις. Gr. Cant. ἰδιώταις καὶ εὐτελέσιν. Gu. μὴ δυναμένοις διακρῖναι. Gu.

497. ἐμοὶ μέν: ἐμοὶ μὲν δοκεῖς συνετὰ λέγειν, εἰ καὶ μὴ Ἕλλην εἰμί· μετέβη δέ. A.C.M. εἰ καὶ μὴ καθ' Ἑλλήνων χθόνα τεθράμμεθα, ἀλλ' οὖν γε ἐμοὶ συνετὰ δοκεῖς λέγειν· ἵνα πλεονάζῃ ὁ μέν καὶ ἡ μία ἀντωνυμία. B.C.M.T. Gu. I.

499. εἰ πᾶσι: ὥστε εἴ σοι τοῦτο δίκαιον φαίνεται, ἀλλ' οὐκ ἐμοί· εἰ γὰρ ταυτὸ καλὸν ἦν καὶ σοφὸν ὁμοῦ πᾶσι, καὶ τὰ ἑξῆς. B. C.M.T. εἰ ταὐτὸ καλὸν ἦν καὶ σοφὸν πᾶσιν ὁμοῦ, οὐκ ἦν ἀμφίβολος φιλονεικία καὶ μάχη ἐν ἀνθρώποις. I. εἰ παρὰ πᾶσιν ἅμα τοῖς ἀνθρώποις ἦν τὸ αὐτὸ πρᾶγμα καλὸν καὶ σοφὸν, ἤγουν φρόνιμον, καὶ μὴ τῷ μὲν, δηλονότι ἐδόκει, τόδε καλὸν, ἑτέρῳ δὲ τοὐναντίον. Gr. Bar. Mosq.

500. ἀμφίλεκτος: φιλόνεικος. B. rec. ἀμφισβητήσιμος. M. Gr. ἀμφίβολος, ἀμφοτέρωθεν λόγους δεχομένη. Gu.

proximi scholii verba δίκαια φαίνεται collocatum.

P. 151. l. 27. ἀναγκαιότερα] ἀναγκαιότατα Valck. et sic, ut videtur, A. In M. ἀναγκ. . . . reliquis obliteratis.

1. εἰσι] ἐστιν A.

7. ἤγουν δυσχερεῖς ὑποθέσεις] In M. gl. δυσχερείας ὑποθέσεις.

9. τοῖς ἀπαιδεύτοις etiam B. rec.

11. ἐμοὶ μὲν δοκεῖς] ἐμοὶ μέν: δοκεῖς μοι A. δοκεῖ hic et l. 13. C.

12. μετέβη δέ] εἰς τὸ πληθυντικὸν addit Valck.

ib. εἰ καὶ (καὶ om. M.) μὴ καθ'] καὶ ἄλλως praescriptum in C., ἄλλως in A.M. In I. εἰ καὶ μὴ κατὰ γῆν τῶν ἑλλήνων ἀνετράφημεν, ὅμως συνετά μοι etc.

ib. Ἑλλήνων] ἕλληνος M.

ib. χθόνα] χώραν Gu.

13. καὶ ἡ μία Matth. καὶ μὴ μία M.T. καὶ μία B. Gu. I. In A.C. verba ἵνα—ἀντωνυμία omissa.

15. εἴ σοι] εἴτε σοι C.

ib. τοῦτο δίκαιον] δίκαιον τοῦτο A. B. τοῦτο om. C.

ib. οὐκ] οὔτ' C.

16. ἐμοί] Quae sequuntur om. A.C.

ib. ἐμοὶ—ἑξῆς obliterata in M.

18. ἐν ἀνθρώποις] Pergit I. νῦν δὲ μέχρις ὀνόματος etc. (p. 153, 1.)

501. *νῦν δ' οὐθ' ὅμοιον οὐδὲν οὔτ' ἴσον βροτοῖς: μέχρι ὀνόματος τὸ ὅμοιον καὶ τὸ ἴσον σώζεται τοῖς ἀνθρώποις. ὀνομάζομεν γὰρ κοινῇ πάντες Ἕλληνες χρυσὸν, καὶ τὸ μὲν ὄνομα ὁμοίως προφερόμεθα, διχοστατοῦμεν δὲ περὶ τὴν τούτου δόξαν, οἱ μὲν ἀγαθὸν, οἱ δὲ φαῦλον αὐτὸν φάσκοντες. ὁμοίως καὶ ἐπὶ τῆς σωφροσύνης καὶ ἐπὶ πάντων τῶν ἄλλων.* A.B.C.M.T. Gu. I. *οὐθ' ὅμοιον: οὐ σύμφωνον.* M. *ἴσον: τῆς αὐτῆς προαιρέσεως.* M.

νῦν δ' οὐθ' ὅμοιον: νῦν δὲ οὔτε ὅμοιον οὐδέν ἐστι παρὰ τοῖς ἀνθρώποις οὔτε ἴσον, πλὴν ὀνομάσαι· ὀνομάζεται μὲν γὰρ παρὰ πᾶσιν ἀνθρώποις ὅμοιον καὶ ἴσον, καὶ συμφωνοῦσι κατὰ τοῦτο πάντες ἄνθρωποι, τὸ δὲ ἔργον τοῦτο οὐκ ἔστι παρ' αὐτοῖς· ἤγουν ὅμοιον μὲν ὄνομα καὶ ἴσον ἐστὶ παρὰ τοῖς ἀνθρώποις, ἔργον δὲ ὅμοιον καὶ ἴσον οὐκ ἔστιν· ἕκαστος γὰρ τὸ πλέον ζητεῖ καὶ τὸ κρεῖττον. Gr. Cant. Bar. Mosq. *ὃ λέγει, τοῦτό ἐστι· τὸ ἰσότητος ὄνομα παρὰ πάντων λέγεται, τὸ δὲ ἔργον αὐτῆς παρ' οὐδενί ἐστιν. ὃ γὰρ σὺ καλὸν νομίζεις, ἐμοὶ οὐ καλὸν φαίνεται. λέγει οὖν ταῦτα ὁ Ἐτεοκλῆς, ὡς, εἰ καὶ δοκεῖ σοι, ὦ Πολύνεικες, καλὸν τὸ ἐπίσης μετέχειν ἡμᾶς τῆς βασιλείας, ἀλλ' ἐγὼ τοῦτο κακὸν νομίζω.* Gu. *καθ' ἑαυτοῦ λέγει τοὺς λόγους τούτους Ἐτεοκλῆς, εἰ καὶ ὑπὲρ αὐτοῦ λέγειν δοκεῖ.* Gu. *ὅμοιον ἐπὶ ποιοῦ, ἴσον ἐπὶ ποσοῦ.* Gr. Cant. *τὸ ὅμοιον καὶ τὸ ἴσον ἐκ παραλλήλου.* Gu. *ὅμοιον: σύμφωνον, τῆς αὐτῆς ἐχόμενον προαιρέσεως.* Gu.

502. *πλὴν ὀνομάσαι: πλὴν ὀνόματι μόνον οὐκ ἔστιν ὅμοιον καὶ ἴσον ἐν ἀνθρώποις. Ἄλλως. τοῖς ὀνόμασι μόνοις σύμφωνοί ἐσμεν οἱ ἄνθρωποι.* A.C.M. *τὸ ἴσον καὶ τὸ δίκαιον εἰ μὴ μόνῳ ὀνόματι οὐ σώζεται παρὰ τοῖς ἀνθρώποις.* B. *ἐξ ὀνόματος καλέσαι. ἤτοι*

1. *μέχρι—*] Prior pars scholii usque ad *τὸ μὲν ὄνομα ὁμοίως* obliterata in M. *μέχρι* A.B.C. *μέχρις* Gu. *νῦν δὲ μέχρις* I.

3. *πάντες*] *ἅπαντες* C.

ib. *μὲν* post *ὄνομα* C.

ib. *ὁμοίως*] *ὁμοίως πάντες* A.C.

ib. *προφερόμεθα*] *προσφερόμεθα* C.

4. *τούτου* post *δόξαν* A.C.M., om. Gu.

5. *αὐτὸν* (*αὐτὸ* M.)] *ἀποφάσκοντες* C.

ib. *ἐπὶ πάντων τῶν*] *ἐπὶ* om. B.I., *τῶν* om. C.

6. *ἄλλων*] Pergunt A.C. *οὔτ' ἴσον τὸ δίκαιον καὶ ἴσον οὐδὲν εἰ μὴ μόνῳ ὀνόματι οὐ σώζεται παρὰ τοῖς ἀνθρώποις.*

11. *ὅμοιον—ἴσον*] Hoc ordine Cant. Mosq. et Gr. sed Bar. *ὅμ. μὲν καὶ ἴσον ὄνομά ἐστι.* Mosq. *ἤγουν* om. et paulo post habet *πλεῖον.* MATTH.

23. *οὐκ ἔστιν ὅμοιον καὶ ἴσον ἐν*] *οὐκ ἔστιν τὸ ὅμοιον καὶ τὸ ἴσον ἐν* A. *οὐκ ἔστι τὸ ὅμοιον καὶ τὸ ἴσον τοῖς* C.

24. *μόνοις*] *μόνον* C.

ὄνομα μόνον, ἡ πρᾶξις δ' οὐκ ἔστι τοῦτο. I. κατὰ μὲν τὸ ὄνομά ἐστι παρ' ἀνθρώποις τὸ δίκαιον, κατὰ δὲ τὸ ἔργον οὐκ ἔστι. Gu. Bar. τουτέστι, λέγομεν μὲν ὡς ἔστιν ἰσότης παρ' ἀνθρώποις, πράττομεν δὲ ταύτην οὐδαμῶς. Gu. τὸ δ' ἔργον: τὸ δίκαιον δηλονότι. M.

503. ἀποκρύψας ἐρῶ: ἀποκρύψας σὲ τὴν μητέρα, ὦ μῆτερ. A.M.

504. ἄστρων ἀνέλθοιμ': εἴθε ἠδυνάμην εἰς οὐρανὸν ἀνελθεῖν καὶ εἰς Ἅιδου κατελθεῖν ἐπὶ τῷ κατορθῶσαί με τὴν τῶν θεῶν τυραννίδα. οὐκ ἐπιτιμητέον δέ· ἁρμόδιοι γὰρ οἱ λόγοι ἀνδρὶ πλεονεξίαν διώκοντι, καὶ τῶν ἄστρων καὶ τοῦ ἡλίου κατακρατῆσαι, καὶ τοῦ θρόνου τοῦ Διὸς οὐκ ἂν παραιτήσασθαι. A.B.C.M. Gu. I. ἡλίου πρὸς ἀνατολάς: λείπει ὁ καί· καὶ ἡλίου πρὸς ἀνατολὰς, τῶν ἄστρων καὶ τοῦ ἡλίου. C.M.T.

505. δυνατὸς ὢν δρᾶσαι τάδε: ἤγουν εἰ ἦν δυνατός. Gu. εἰ ἐδυνάμην τοῦτο ποιῆσαι. B.I.

506. τὴν θεῶν: τουτέστι βασιλεύειν κατὰ τοὺς θεοὺς, ἥπερ ἐστὶ μεγίστη τυραννὶς, οὐρανίων καὶ ὑποχθονίων ἄρχειν καὶ τῶν ἐν μέσῳ. πρέποντες δέ εἰσιν οὗτοι οἱ λόγοι ἀνδρὶ πλεονέκτῃ, καὶ οἷος ἦν ὁ Ἐτεοκλῆς. Gu.

507. τοῦτ' οὖν τὸ χρηστόν: ἀλόγιστος ὁ Ἐτεοκλῆς· ἐξὸν γὰρ αὐτῷ τῷ τοῦ πρεσβυτέρου χρήσασθαι δικαιώματι, ᾧ μᾶλλον ἐπέβαλλεν ἡ ἀρχὴ, ἀδικεῖν ὁμολογεῖ ἑαυτὸν, ἢ πλεονεκτεῖν φησι. πρὸς ὃ ῥητέον ὅτι μίμησιν ἀνδρὸς ἀδίκου ἐξεικονίζει ἡμῖν ὁ Εὐριπίδης, μηδὲ

5. ὦ] καὶ ὦ A.
7. οὐρανὸν] οὐρανοὺς A. Gu.
8. Ἅιδου] ᾅδην M.
ib. ἐπὶ τῷ] ἐπὶ τὸ Gu.
ib. κατορθῶσαί με C.M. κατορθῶσαί μοι B Gu. κατορθώσαιμι A.I.
ib. τῶν om. M. Gu.
9. ἀνδρὶ] πρὸς I.
ib. διώκοντι] Hic finitur scholion in A.C.M. nec dubitandum quia reliqua ab recentiore grammatico addita sint.
10. κατακρατῆσαι] κρατῆσαι Gu.
11. πρὸς ἀνατολὰς, τῶν ἄστρων A. C.M. πρὸς τὰς ἀνατολὰς καὶ τῶν ἄστρων T.
20. ἀλόγιστος] φησὶν add. B. Gu. I.
ib. ἐξὸν] ἐξῶν M.
21. αὐτῷ] αὐτὸν C.
ib. τῷ τοῦ (τοῦ om. A.) πρεσβυτέρου] τῷ πρεσβυτέρῳ C. τῷ τοῦ πρεσβύτου T.
ib. ᾧ] ὧν C.
ib. ἐπέβαλλεν om. C.
22. ἡ ἀρχὴ om. A.
ib. ὁμολογεῖ C.M.T. ὁμολογεῖν A. B.I.
ib. ἢ] εἰ I.
ib. πλεονεκτεῖν] πλεονέκτην C.
ib. φησί om. Gu.
ib. ὃ] ὃν C.
23. μηδὲ] μήτε C.I.

τῷ δοκεῖν εὐσεβεῖν βουλομένου· ἄλλως τε, εἰ ἔφασκεν ἄρχειν ὡς πρεσβύτερος, ἠκολούθει τῷ λόγῳ τὸ τῶν κτημάτων μέρος δεῖν ἀπονέμειν. A.B.C.M.T. Gu. I.

508. παρεῖναι: καταλεῖψαι. B. συγχωρῆσαι, παρεᾶσαι, δοθῆναι. M. συγχωρηθῆναι, δοθῆναι εἰς τὸ σώζειν. C. παραχωρῆσαι. Gu. ἀφεῖναι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. σώζειν: διατηρεῖν ἐμαυτῷ. Gr. Fl. iidem. ἢ σώζειν ἐμοί: τὸ ἢ νῦν ἀντὶ τοῦ σώζειν ἐμοί, ἀντὶ τοῦ ἐμαυτῷ. M. ἀλλὰ σώζειν ἐμαυτῷ. I.

509. ἀνανδρία γάρ: δειλία γάρ ἐστι τῷ ἀνθρώπῳ ἐκείνῳ, ὅστις φθείρας τὸ μεῖζον τὸ ἔλαττον ἐδέξατο. I. τὸ πλέον: τὸ μεῖζον. B. ἀπολέσας: δούς, ὤφειλεν· ἐπεὶ δὲ ταύτην τὴν δωρεάν, ὅταν δηλονότι διδῷ τις τὸ πλέον, ἵνα λάβῃ τὸ ἔλαττον, ἀπώλειαν νομίζει, ἀπολέσας λέγει. Gr. Cant. Mosq.

510. πρὸς δὲ τοῖσδ': πρὸς δὲ τοῖσδε, οἷς εἶπον δηλονότι. I. αἰσχύνη ἐστὶν ἃ χρῄζει, τούτων τυχεῖν ἐπὶ πορθήσει παραγενόμενον. B.M.I. Ἄλλως. αἰσχύνη, φησίν, ἐστίν, εἰ συγχωρήσαιμι τὴν ἐμὴν βασιλείαν τῷ Πολυνείκει λαβεῖν τῷ φόβῳ τοῦ Μυκηναίου πολέμου. ἔπρεπε δ' αὐτὸν τὸν Πολυνείκην, ὦ μῆτερ, οὐ δι' ὅπλων ποιεῖσθαι τὰς φιλίας· πᾶν γὰρ πρᾶγμα κατορθοῖ ὁ λόγος, ὅπερ καὶ ὁ σίδηρος τῶν πολεμίων ποιήσειεν ἄν. I.

511. σὺν ὅπλοις: σὺν ὡπλισμένοις ἀνδράσιν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. πορθοῦντα: ἐπιχειροῦντα πορθεῖν. Gr. Florr. iidem.

512. τυχεῖν ἃ χρῄζει: ωντινων. B. τὸ τυγχάνω καὶ γενικῇ

1. βουλομένου] βουλομένῳ A.C.I.

ib. ἔφασκεν ἄρχειν] ἄρχειν ἔφασκεν C.

2. δεῖν (δεῖ Gu.) ἀπονέμειν om. M.

11. δοὺς ὤφειλεν] Quod Kingius adjecit, εἰπεῖν, lectori saepius magister ille reliquit in talibus subaudiendum: in scholiis ex eodem cod. Cantabr. vulgatis reperias ad Phoen. v. 549. Τιμᾷς] κρίνεις ὤφειλεν. ad v. 1136. Ἐχίδναις] κεφαλαῖς ὤφειλεν· ubi tamen in Leid. ms. Κεφαλαῖς ὤφειλεν εἰπεῖν. Schol. ad v. 784. ἔδει, ὦ πολύμοχθε. VALCK.

11. δωρεὰν] δόσιν Gu.

12. ἀπώλειαν νομίζει] Sic Gr. Mosq. pro ἀπολέσαι ν. Valck. vel ἀπώλεσε ν. Kingii. Quod post ὤφειλεν addidit King. εἰπεῖν, deest etiam in Gr. sed hic praefigit: ἀνανδρία γὰρ ὑπάρχει ἐκείνῳ, ὅστις ἀπολέσας.—δοὺς ὤφ. Mosq. τὴν δοτικὴν pro τὴν δωρεὰν, et ὅταν δηλ. δώσει τὸ πλέον. MATTH.

15. αἰσχύνη] καὶ ὄνειδος addit I.

ib. ἃ] ὧν I.

ib. τούτοιν M. τοῦτον I. τοῦτον (ων a m. rec.) B.

καὶ αἰτιατικῇ συντάσσεται. καὶ γενικῇ μὲν ἀεὶ, αἰτιατικῇ δὲ ἅπαξ, ὡς ἔχει τὸ τοῦ Σοφοκλέους. Gu.

513. *ὄνειδος: αἰσχύνη, ἔλεγχος, ὕβρις.* B.M. *αἰσχύνης πρόξενον.* Gr. Florr. iidem.

514. *φόβῳ παρείην: συγχωρήσαιμι.* M. *καταλείψαιμι.* B. *διὰ φόβον ἀφείην, συγχωρήσαιμι τὴν βασιλείαν τὴν ἐμὴν, ὥστε ἔχειν αὐτήν.* Gr. Florr. iidem.

515. *οὐχ ὅπλοισι: οὐ διὰ τῶν ὅπλων.* M. *ὅπλοισι: δι' ὅπλων, ἀντὶ τοῦ διὰ στρατευμάτων.* Gr. Florr. iidem.

516. *πᾶν γὰρ ἐξαιρεῖ λόγος: πάντα γὰρ ὁ λόγος κατορθοῖ.* A. C.M. *Ἄλλως. ὁ λόγος, φησὶν, ἴσος ἐστὶ σιδήρῳ· πάντα γὰρ χειροῦται καὶ κατορθοῖ ὁ λόγος διὰ τῆς πειθοῦς ἅπερ σίδηρος βίᾳ.* A. B.C.M. Gu. I. *Ἄλλως. ἀντὶ τοῦ ἃ ποιεῖ ὁ καλὸς λόγος οὐ δύναται ποιῆσαι ὁ πόλεμος τῶν πολεμίων.* A.C.M.

518. *ἀλλ' εἰ μὲν ἄλλως: κατὰ ἄλλον τρόπον, ἐκτὸς τῆς βασιλείας.* B.M.I. *ἄλλως: χωρὶς τοῦ ἄρχειν.* Gr. *ἤγουν ἰδιώτης καὶ οὐκ ἄρχων.* Gu.

519. *ἐκεῖνο δέ: ἤτοι τὸ βασιλεύειν, ἑκὼν οὐκ ἀπολύσω. βασιλεύειν ἐξόν μοι, τῷδ' ὑποταγήσομαι;* I.

520. *ἄρχειν παρόν μοι: τί λέγεις, φησὶν, ἐξόν μοι νῦν ἄρχειν, ἄλλῳ παραχωρήσω καὶ δουλεύσω;* A.C.M.T. *τοῦτο κατ' ἰδίαν φησὶ μεθ' ὑποκρίσεως, τῷ δὲ ἄλλῳ παραχωρήσω καὶ δουλεύσω;* B.

521. *ἴτω: ἐλθέτω.* B.C. *φερέσθω.* M.

522. *πεδία πίμπλαθ' ἁρμάτων: ἔτρεψε τὸν λόγον πρὸς τὸν Πολυνείκην.* B.M. *πληροῦτε ὀχημάτων.* Gr. Cant. *πίμπλημι, ἐπίμπλην παρατατικὸς, πιμπλὰς πιμπλάντος μετοχὴ, πίμπλαθι προστακτικὸν, τὸ δεύτερον τῶν πληθυντικῶν πίμπλατε.* Fl. 21.

2. *Σοφοκλέους*] Oed. T. 598. *τὸ γὰρ τυχεῖν αὐτοῖς ἅπαντ' ἐνταῦθ' ἔνι.*
5. *καταλείψαιμι*] *καταλείψοιμι* B.
10. In M. gl. interl. *χειροῦται* et *ὁ τῶν πολεμίων σίδηρος.*
11. *Ἄλλως* addidi ex A.C.M.
ib. *φησὶν* om. Gu.
ib. *σιδήρῳ*] *σιδήρου* B.
12. *ὁ λόγος*] *ὁ* om. A.B.C.
ib. *ἅπερ*] *ὥσπερ* A.C.
13. *Ἄλλως* addidi ex A.M.
ib. *ἃ*] *ὃ* A.C.
15. *βασιλείας*] *ἔξεστιν* addit I.
20. *ἄρχειν, ἄλλῳ*] *ἄρχειν, ἀλλὰ* A.C.T.
21. *καὶ δουλεύσω* Valck. *ἄλλως. ἄλλῳ* (*ἄλλῳ* excidit in C.) *δὲ παραχωρήσω καὶ δουλεύσω* A.C.M.T.
ib. *τοῦτο κατ'*—] Haec in B. leguntur post *σίδηρος βίᾳ* (ad v. 516.)
24. *ἔτρεψε*] *ἔστρεψε* M.
ib. *τὸν Π.*] *τὸν* om. B.

523. ὡς οὐ παρήσω: ὅτι οὐκ ἀφήσω. Gr. Cant. χωρήσω, συγχωρήσω. M.

524. τυραννίδος πέρι: ἕνεκα τῆς βασιλείας. Gr.

525. τἆλλα δ' εὐσεβεῖν χρεών: κατὰ τἆλλα δίκαια πράττειν πρέπον. Gr. Cant.

526. οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς: ἐπὶ τοῖς ἔργοις τοῖς μὴ καλοῖς. ὁ νοῦς, οὐ δεῖ, φησὶ, λόγῳ μὲν σοφίζεσθαι, ἔργῳ δὲ πονηρὸν εἶναι. A.C.M.T. Ἄλλως. οὐ χρὴ τὰ φαῦλα τῶν ἔργων λόγοις καλλωπίζειν· οὐ γάρ ἐστι τοῦτο καλὸν, ἀλλ' ἐναντίον τῷ δικαίῳ. B.C.M.T.I. οὐ δεῖ σεμνολογεῖν τὰς φαύλας πράξεις. Gu. Bar. οὐ κεκαλλωπισμένους λόγους χρὴ λέγειν ἐπὶ τοῖς μὴ καλοῖς ἔργοις. Gr. Cant.

527. οὐ γὰρ καλὸν τόδε: ἤγουν τὸ τὰ μὴ καλὰ ἔργα πειρᾶσθαι καλύπτειν κεκαλλωπισμένοις λόγοις. Gr. Cant. τουτέστι τοὺς ἐπὶ τοῖς κακοῖς σεμνολογουμένους ἡ Δίκη τιμωρεῖται, ὡς ταύτῃ πικρὰ καὶ ἀναπόδεκτα λέγοντας. Gu. Bar. τῇ δίκῃ πικρόν: ἀλγεινὸν, βαρύ. τῇ δίκῃ βαρὺ, τουτέστιν ἄδικον. Gr. Cant. πικρόν: ἐχθρὸν, λυπηρόν. M. λυπηρὸν, ἐναντίον. Gu.

528. οὐχ ἅπαντα τῷ γήρᾳ κακά: ἔστι γὰρ ἐν τῷ γήρᾳ ἔνια κακὰ, τὸ ἀσθενὲς, τὸ δυσκίνητον, τὸ ἐπίλησμον, τὸ δυσήκοον· ἀλλ' ἔστιν ἓν αὐτῷ καλὸν, ἡ πεῖρα τῶν πολλῶν διδάσκει αὐτό. A.B. C.M. Gu. I.

οὐχ ἅπαντα: εἰ καὶ πλεῖστα τῶν κακῶν, πήρωσις, ἐπιλησμοσύνη, κώφωσις, μελῶν ἔκλυσις καὶ τἆλλα τοῖς γέρουσι πρόσεστιν, ἀλλὰ πλείω τῶν νέων ἴσασιν, ὑπὸ τοῦ χρόνου ἐμπειρίαν τῶν πραγμάτων κτησάμενοι. Gu. Bar. ἤγουν εἰ καὶ ἔχει τὸ γῆρας τινὰ κακὰ, ἀλλ' οὐχ ἅπαντα πρόσεστιν αὐτῷ κακά. Gr.

529. ἀλλ' ἡ 'μπειρία: ὁ ἀλλά ἀντὶ τοῦ γάρ. A.B.C.M. Gu. ἡ γὰρ ἐμπειρία ἔχει τι λέξαι σοφώτερον, ὥστε μή μου κατα-

5. μὴ ἐπὶ τοῖς ἔργοις καλοῖς om. C.
7. Ἄλλως om. B.I.
ib. οὐ χρὴ M.I. οὐ δεῖ ceteri. οὐ δεῖ—καλλωπίζειν etiam in Gu.
18. ἐν τῷ γήρᾳ] τοῖς γέρουσιν substituit schol. in Gu.
ib. ἔνια κακὰ] κακὰ ἔνια C.
19. ἐπίλησμον] ἐπιλῆσμον Gu.
ib. τὸ δυσήκοον—τῶν πολλῶν om. B.C. Gu. I.
20. ἓν A. ἐν ceteri.
ib. διδάσκει αὐτό addidi ex M.
22. ἐπιλησμοσύνη om. Bar.
27. ὁ ἀλλά] τὸ ἀλλά C. Gu.
28. ἡ γὰρ ἐ. M. ἡ ἐ. γὰρ B.I. γὰρ om. A.C.

φρονήσης παντελῶς. A.B.C.M.I. Ἄλλως. γράφεται καὶ πρὸς δοτικὴν, ἵν᾽ ᾖ, τῇ γὰρ ἐμπειρίᾳ τὸ γῆρας "ἔχει τι λέξαι τῶν νέων σοφώτερον." B.M.I. ἡ 'μπειρία : ἡ πολυχρόνιος τριβή. Gr.

531. τί τῆς κακίστης: τῆς ἐν τοῖς δαίμοσι κακίστης, ὡς τὸ "δικαιότατος Κενταύρων" ἀντὶ τοῦ δίκαιος ἐν Κενταύροις. B.C.M. Gu. I.

τί τῆς κακίστης: διὰ τί ἐφίεσαι, ἤγουν ἐπιθυμεῖς, ὦ παῖ, τῆς φιλονεικίας, τῆς κακίστης ἀπὸ τῶν θεῶν; μετὰ τῆς ἀπό, ἵν᾽ ᾖ ἀντὶ τοῦ τῆς κακίστης θεοῦ· τὸ γὰρ χωρὶς τῆς ἀπό δεικνύει καὶ τοὺς ἄλλους θεοὺς κακοὺς, εἶτα αὐτὴν κακίστην, ὅπερ ὁ Εὐριπίδης οὐ βούλεται. τὸ τοιοῦτο δὲ καὶ ἐν ἄλλοις πλείστοις συμβαίνει. δεῖ οὖν ἐπὶ τῶν τοιούτων ἐπιστατεῖν, καὶ μὴ διὰ τὸ ὑπερθετικὸν ἐξαπατᾶσθαι καὶ προδιδόναι τὴν τοῦ λόγου ἔννοιαν. Gr. Bar. Leid. Mosq.

532. φιλοτιμίας: φιλοτιμία ἡ σπουδὴ, ἡ ἐπιθυμία περὶ τὰ ἄδικα καὶ δίκαια. A.M.T. Flor. 33. φιλοτιμίας δὲ κενοδοξίας· μέσον γὰρ τὸ τῆς φιλοτιμίας ὄνομα. B. Gu. I. φιλονεικίας, φιλοδοξίας. M. ἀντὶ τοῦ φιλονεικίας. Gr. κενοδοξίας, πλεονεξίας. Gu. μὴ σύ γ᾽: μὴ σὺ ἐπιθύμει ταύτης. B. Gr. ἄδικος ἡ θεός: ἡ φιλοδοξία. B. ἡ πλεονεξία· αὕτη γὰρ πλεονεξίας ἐπιθυμία. Gu.

534. κἀξῆλθ᾽: ἀπέβη, ἐτελεύτησιν. Gr. Cant.

ἐπ᾽ ὀλέθρῳ τῶν χρωμένων: πολλὰ γὰρ τῶν κακῶν ἐπὶ φθορᾷ τῶν ἀπολλυμένων ἀπαλλάσσεται, ὡς νόσος καὶ πυρετοὶ σφοδροὶ καὶ διάφοροι. B.I.

535. ἐφ᾽ ᾗ σὺ μαίνῃ: ἧστινος μεγάλως ἐρᾷς. B. rec. ἧς σὺ ἐρᾷς τοιαύτης οὔσης δηλονότι. Gr. Cant.

p. 157. l. 28. ἐμπειρία] καὶ ἡ πολυχρόνιος τριβὴ add. I.
ib. λέξαι] τῶν νέων add. A.C.
ib. ὥστε—παντελῶς infra post σοφώτερον ponit M.
1. καταφρονήσης] καταφρονήσεις A.
ib. Ἄλλως et καὶ om. M.
5. κακίστης] χειρίστης I.
ib. ὡς τὸ] ὡς ἐν τῷ M.
6. δικαιότατος] δικαιότερος Gu. Verba Homeri Il. 11, 831.
11. τὸ τοιοῦτο] τοῦτο Bar.
12. βούλεται] βούλεται εἰ καὶ ἀληθὲς τυγχάνει Bar.
15. φιλοτιμία om. M.
ib. ἡ ἐπιθυμία—περὶ τὰ δίκαια] περὶ τὰ ἄδικα καὶ ἐπιθυμία περὶ τὰ δίκαια Fl. 33.
19. μὴ σὺ ἐπιθύμει] μὴ σὺ om. Gr.
21. ἐτελεύτησεν] ἐτέλεσεν Gr.
26. ἧς σὺ] Gu. ἤγουν σὺ, sed inter ἤγουν et σὺ Gu. scripsit ἧς.

536. ἰσότητα: δικαιοσύνην. Gu. καὶ τὸ φιλεῖν καὶ τιμᾶν καὶ τὸ τιμᾶσθαι. B.M.

538. ξυνδεῖ: συναρμόττει. B. rec. M. Gu. ἑνοῖ. Gu. συνενοῖ. Flor. 35. συνάπτει. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

τὸ γὰρ ἴσον νόμιμον: ἀντὶ τοῦ δίκαιον καὶ ἀσφαλὲς καὶ βέβαιον· οἱ γὰρ νόμοι ἀμετάτρεπτοί εἰσιν. A.B.C.M.I. νόμιμον: νόμου δύναμιν ἔχον, τουτέστιν ἀσφαλὲς, φίλιον ὑπάρχει. Gr. Cant.

539. τῷ πλέονι: ἀντὶ τοῦ, τῷ πλεονέκτῃ δ' ἀεὶ ἐναντίον ἐστὶ τὸ μικρόν. B.M. Flor. 33. ἐπειδήπερ ἐχθρὸν αὐτῷ τοὔλασσον, ἐξ ἐκείνης παρασκευάζει ἐχθρᾶς ἡμέρας κατάρχεσθαι λέγει. ἕως μὲν γάρ ἐστιν ἰσότης παρ' ἀνθρώποις, καὶ φιλία πάρεστιν, ἐπειδὰν δέ τις πλειόνων ἐγκρατὴς καταστῇ, πάντας τοὺς λειπομένους αὐτοῦ τῇ οὐσίᾳ ἐχθροὺς αὐτῷ καθιστᾷ, καὶ βασκάνους οὐκ ἀνεχομένους τὴν τῆς τύχης ὑπεροχήν. ἢ τὸ ἐχθρᾶς ἡμέρας οὕτω νοητέον, ὅτι οἱ πλεονεκτοῦντες ἐπὶ κακῷ ἑαυτῶν τοῦτο ποιοῦσι. δῆλον δὲ ἐξ ὧν πρόσθεν εἶπε περὶ τῆς φιλοτιμίας "πολλοὺς δ' ἐς οἴκους καὶ πόλεις εὐδαίμονας εἰσῆλθε κἀξῆλθ' ἐπ' ὀλέθρῳ τῶν χρωμένων." Gu. Bar. τοῖς πολλὰ ἔχουσιν οἱ ὀλίγα κεκτημένοι φθονοῦσι. Gu. πολέμιον: τὸ ἴσον δηλονότι. Gu. καθίσταται: ὑπάρχει. Gr.

540. τοὔλασσον: τὸ ἔλαττον ἐχθροῦ βίου ἄρχει, ἤγουν ἐπιστατεῖ, ἐξουσιάζει. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

541. καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν: ἐν τούτοις γὰρ σώζεται τὸ ἴσον· καὶ γὰρ διὰ τῶν μέτρων καταλαμβάνεται τὸ ἴσον. A.B.C.M.I. σταθμῶν: ἀντὶ τοῦ ζυγά. M.

καὶ γὰρ μέτρ' ἀνθρώποισι: καὶ γὰρ ἡ ἰσότης ἔταξε μέτρα ἀνθρώποις, ἀντὶ τοῦ διὰ τὴν ἰσότητα καὶ μέτρα ἐτάχθησαν τοῖς ἀνθρώποις καὶ μέρη σταθμῶν καὶ ἀριθμός. Gr. μέτρα: τὰ μετροῦντα λέγει, οἷον μέδιμνον, ἤ τοιοῦτόν τι. Gr. Cant. Mosq.

1. καὶ τιμᾶν] τὸ τιμᾶν B.
ib. καὶ τὸ τιμᾶσθαι] καὶ τὸ om. M.
5. βέβαιον] βέβαιον. ἄλλως. ἀσφαλὲς καὶ βέβαιον M. In A. συνδεῖ. ἀντὶ τοῦ δίκαιον καὶ ἀσφαλὲς, βέβαιον. ἄλλως. ἀσφαλὲς, βέβαιον. οἱ γὰρ—εἰσίν.
8. ἀντὶ τοῦ addidi ex M.
ib. δ' ἀεὶ om. B.
11. γὰρ] οὖν Bar.
22. Lemma om. B.C.I., ἰσότης ἔταξε est in A.M.
ib. ἐν τούτοις γὰρ—] ἰσότης γὰρ ἐν τούτοις σώζ. καὶ διὰ τῶν μ. κατ. τὸ ἴσον Fl. 33. In C. καὶ ἐν τούτοις σώζεται καὶ λαμβάνεται τὸ ἴσον, reliquis omissis.
23. σ. τὸ ἴσον] τὸ ἴσον om. A.M.
ib. καὶ γὰρ] γὰρ om. A.

542. *κἀριθμόν*: καὶ τὸν ἀριθμὸν ἡ ἰσότης ἔταξεν. Gr. *διώρισεν*: διέκρινεν. M.

543. *νυκτός τ' ἀφεγγὲς βλέφαρον*; περιφραστικῶς ἡ νύξ. B.M. *ἀφεγγές*: σκοτεινόν. M. ἀντὶ τοῦ ἡ σκοτεινὴ ὄψις τῆς νυκτός. Gr. Bar. *ἡλίου τε φῶς*: καὶ ἡ ἡμέρα. ὀφθαλμὸς γὰρ αὐτῆς ὁ ἥλιος. Gu.

544. *ἴσον*: ἐπίσης. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *τὸν ἐνιαύσιον*: κατὰ τὸν χρονιαῖον. Gr. Florr. iidem.

545. *φθόνον ἔχει*: ἀντὶ τοῦ μέμψιν. διὰ τὴν ἰσότητα παραχωροῦσιν ἀλλήλοις τὸ νικᾶν, ἀνελλιπῶς λάμποντες. A.B.C.M. *φθόνον*: μέμψιν. Gr. πρὸς θάτερον. Gu. *νικώμενον*: ὑπὸ τοῦ ἑτέρου· ἤγουν ὑπεῖκον τῷ ἑτέρῳ καὶ ὑπεξιστάμενον. Gr. Cant.

546. *εἶθ' ἥλιος μέν*: εἶτα ὁ ἥλιος μὲν καὶ ἡ νὺξ τῷ ἴσῳ δουλεύουσι, σὺ δ' ἐν βροτοῖς οὐκ ἀνέξῃ, τῶν δωμάτων ἔχων τὸ ἴσον, δουλεύειν τῇ ἰσότητι; A.B.M.I.

δουλεύει: ἐξ ἴσου. κατὰ διαδοχὴν δηλονότι καὶ ἰσότητα. Gu. Cant. εἰς τὸ δουλεύει τοῖς βροτοῖς ἐξίσου ἄνωθεν λάμβανε· τουτέστιν εἰς ὑπουργίαν ἀνθρώπου ἥ τε νὺξ καὶ ὁ ἥλιος γενόμενοι, ὁ μέν, ἵνα ἐργάζωνται, ἡ δέ, ἵνα ὕπνῳ τοὺς κόπους ἀναπαύωσιν, οὐκ ἔχουσι πλεονεξίαν πρὸς ἀλλήλους. τὸ δὲ ἐξίσου, εἴτε οὕτως εἴτε ἐκείνως εἴπῃς, ἔξωθεν νοητέον. Gu. Bar.

547. *ἔχων ἴσον*: ἐὰν γράφηται ἔχειν, καὶ ἀπονέμειν, ἐὰν δὲ ἔχων, καὶ ἀπονέμων. A.B.M.T. *ἴσον*: τὸ ἥμισυ. Gu.

549. *τί τὴν τυραννίδ' εὐδαίμονα*: λείπει τὸ οὖσαν καὶ τὸ ὡς. τί τιμᾷς τὴν τυραννίδα, ἀδικίαν οὖσαν, ὡς εὐδαίμονα καὶ μακαρίαν; Ἄλλως. τί τὴν τυραννίδα εὐδαίμονα νομίζεις, ἀδικίαν οὖσαν; ἔδει,

10. ἀνελλιπῶς λάμποντες om. B.
13. εἶτα ὁ (ὁ om. B.) addidi ex A.B.M.
ib. ἥλιος μὲν] μὲν ἥλιος A.
ib. τῷ ἴσῳ] τὸ ἴσον M.
14. ἐν βροτοῖς om. A.M.
20. ἀλλήλους ἄλληλα Gu.
22. γράφηται] γράψῃς A.
ib. ἐὰν δὲ] ὡς A.
23. καὶ ἀπονέμων] καὶ om. B.T.
25. μακαρίαν] ὡς μακαρίαν A.
26. Ἄλλως] καὶ ἄλλως A.
ib. τί αὐτὴν (delevi αὐτὴν) τὴν τυραννίδα εὐδαίμονα νομίζεις—ἔδει C. τί τὴν τυραννίδα: αὐτὴν τὴν (τὴν om. A.) τυραννίδα εὐδαίμονα (νομίζεις εὐδαίμονα addit A.) ἀδικίαν φησὶ τὴν εὐδαίμονα (εὐδαίμονα om. A.) ἀδικίαν A.T.
ib. ἔδει A.M.T. αὐτὴν τὴν τυραννίδα εὐδαίμονα ἀδικίαν φησί. (τί τιμᾷς addit I.) τὴν εὐδαίμονα ἀδικίαν. εὐδαίμονα: ἔδει B.I.

φασὶ δυσδαίμονα αὐτὴν εἰπεῖν, ἵνα τὸν Ἐτεοκλέα τῆς περὶ αὐτὴν ἀσεβοῦς ἐπιθυμίας ἀποστρέψῃ. διὰ μέσου δὲ μετὰ σχετλιασμοῦ τὸ ὑπέρφευ ἀναπεφώνηται. A.B.C.M.T.I.

τί τὴν τυραννίδ᾽: τί τὸ τυραννεῖν εὔδαιμον τιμᾷς, τουτέστιν ἡγῇ, ἄδικον ὄν; ἢ καὶ οὕτως· τί τὸ τυραννεῖν εὔδαιμον ἄδικον ἡγῇ, ἤγουν ἀδικίαν καλλίστην; ὥσπερ καὶ αὐτὸς ὄπισθέν φησιν "εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι κάλλιστον ἀδικεῖν." ὤφειλε δὲ εἰπεῖν ἡγῇ· ἐπεὶ δὲ, ὅπερ νομίζει τις κάλλιστον, τοῦτο καὶ τιμᾷ, ἀντὶ τοῦ ἡγῇ τὸ τιμᾷς εἶπε, τὸ δὲ ὑπέρφευ, σχετλιαστικὸν ὄν, διὰ μέσου ἔθηκεν. Bar. Gu. εὐδαίμονα: εὐδαίμονα κρίνεις ὤφειλεν· ἵνα δὲ δηλώσῃ τὸ πρὸς αὐτὴν αὐτοῦ σέβας, καὶ ὅπως αὐτῆς αὐτὸς ἡττᾶται, καὶ ὅπως αὐτὴν θαυμάζει, οὐχ ἁπλῶς λέγει κρίνεις, ἀλλὰ τιμᾷς, ὅμοιον ὡς ἐάν τις εἴπῃ, δίκαιον σέβομαι τὸν θεὸν, ἅμα τῇ πίστει τοῦ εἶναι αὐτὸν δίκαιον ἐμφαίνων διὰ τῆς λέξεως καὶ τὸ περὶ αὐτὸν σέβας. Cant. Gr. Mosq. τίμιον. M.

550. ὑπέρφευ: ὑπεράγαν. B.I. ὑπὲρ τὸ δέον, πάνυ. M. ἀντὶ τοῦ φεῦ. C. κατὰ πολὺ φεῦ. Gu. ἀντιστροφὴ ἡ ὑπέρ. Fl. 59. καὶ μέγ᾽ ἥγησαι: ἀντὶ τοῦ μεγάλως τιμᾷς. M. καὶ μέγα τοῦτο νομίζεις τὸ ἄρχειν. A.B.C.M.I. τόδε: τὸ τιμᾶν τὴν τυραννίδα. Fl. 59.

551. περιβλέπεσθαι τίμιον: τὸ γὰρ περιβλέπεσθαι τίμιον τὸ ἄρχειν δηλοῖ. A.B.C.M.I. Ἄλλως. ἐν ἤθει πευστικόν. μέγα νομί-

1. φασὶ] φασὶν M.I. φησὶ ceteri.
ib. αὐτὴν εἰπεῖν] εἰπεῖν αὐτὴν C.
ib. Ἐτεοκλέα] ἐτεοκλῆν A.
ib. περὶ αὐτὴν] περὶ αὐτὸν M. περὶ ταὐτὸν A. om. C.
2. διὰ μέσου—ἀναπεφώνηται] Haec post scholion ad v. 550. ὑπέρφευ: ὑπεράγαν exhibet C. vitiose: διὰ μέσου σχετλιασμοῦ τὸ ὑπεράγαν ἀναπεφώνηται. In T. ὑπέρφευ, ὑπεράγαν διὰ μέσου. μετὰ δὲ σχετλιασμοῦ τὸ ὑπέρφευ ἀναπεφώνηται. MATTH. In A. est, Ἄλλως. ὑπέρφευ: ὑπεράγαν. διὰ μέσου σχετλιασμοῦ τὸ ὑπεράγαν ἀναπεφώνηται. ἄλλως. εὐδαίμονος δεῖ φασὶν δυσδαίμονα αὐτὴν etc.
3. ὑπέρφευ] ὑπέρφευ ὑπεράγαν M. ὑπέρευ I.
9. τὸ τιμᾷς] τὸ om. Gu.

11. αὐτῆς—ὅπως om. Bar.
18. ἄρχειν] His in A.C.M.I. adjuncta sequentia τὸ γὰρ περιβλέπεσθαι etc.
20. τὸ γὰρ—δηλοῖ M. sine lemmate. Quo pariter omisso, τὸ γὰρ περιβλέπεσθαι τιμή. τοῦτο δηλοῖ, ἤγουν τὸ ἄρχειν B. τὸ γὰρ περιβλέπεσθαι καὶ θαυμάζεσθαι τίμιον τοῦτο δηλοῖ, ἤγουν τὸ ἄρχειν I.
21. Ἄλλως] καὶ ἄλλως A.
ib. ἐν ἤθει—] In Flor. 33. haec ad verba καὶ μέγ᾽ ἥγησαι adscripta sunt sic: τὸ δὲ ἐν ἤθει πευστικῶς. μέγα—μὲν οὖν τοῦτο. τὸ γὰρ περιβλέπεσθαι τίμιον τὸ ἄρχειν δηλοῖ
ib. πευστικόν] πεπιστευκα M. πευστικῶς A.C.

ζεις τὸ περίβλεπτος εἶναι καὶ περιφανὴς παρὰ πᾶσιν; ἢ οὕτως. ἀλλὰ τὸ περιβλέπεσθαι τίμιον νενόμικας. κενὸν μὲν οὖν τοῦτο. A. B.C.M.I. περιβλέπεσθαι: περίβλεπτον εἶναί τινα, ἤγουν περιφανῆ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἤγουν τὸ περίβλεπτον εἶναί σε παρὰ πάντων σοι δοκεῖ τίμιον. Fl. 59. κενὸν μὲν οὖν: μᾶλλον μὲν οὖν μάταιον. Gr.

552. μοχθεῖν: κοπιᾶν. Gr. ὁ γὰρ πολλῶν κτημάτων κύριος καὶ πολλοῦ κόπου κληρονομεῖ τὴν τούτων διοίκησιν. Gu.

553. ὄνομ' ἔχει μόνον: ἔργον δὲ δηλονότι οὐκ ἔχει. εἶτα ἐπάγει τὴν αἰτίαν, ἐπεὶ τά γε ἀρκοῦντα ἱκανὰ, εἴ τις τὸ πρᾶγμα σὺν φρονήσει λογίζοιτο. εἰ οὖν ἱκανὰ τὰ ἀρκοῦντα, τὸ πλέον, δηλονότι τοῦ ἀρκοῦντος, ἄχρηστον ἂν εἴη καὶ περιττόν· εἰ δὲ περιττόν ἐστι καὶ πρὸς οὐδὲν χρησιμεῦον, εἶτα πλέον λέγεται, ὀνόματι δηλονότι μόνον λέγεται, ἔργῳ δὲ τί ἂν πλέον ποιήσειεν ἐκεῖνο οὗ χρεία οὐδεμία ἐστίν; Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76. Gr. Leid.

554. ἐπεὶ τά γ' ἀρκοῦνθ': τὰ μεμετρημένα. B. ἐπειδὴ τὰ ἀρκετὰ καὶ μεμετρημένα τοῖς φρονίμοις ἱκανὰ λελόγισται. I.

555. ἴδια: φυσικὰ, ἤγουν παρεπόμενα τῇ ἰδίᾳ φύσει. I. οὔτοι —ἴδια: ἤγουν οὐχ ἡμέτερα, ἀλλὰ τῶν θεῶν ἐστι τὰ πράγματα. A.C.

556. τὰ τῶν θεῶν: τὰ ἀπὸ τῶν θεῶν δὲ ἔχοντες χρήματα φροντίζομεν· ὁπόταν δὲ θέλωσιν, αὐτὰ πάλιν ἀφ' ἡμῶν λαμβάνουσιν. ὁ δὲ πλοῦτος οὐ μόνιμος, ἀλλὰ πρόσκαιρος. I.

557. ὅταν δὲ χρῄζωσ': ἀντὶ τοῦ βούλωνται· ὅταν δὲ βούλωνται καὶ χρείαν ἔχοιεν τοῦ παρέχειν αὐτὰ ἑτέροις, πάλιν ἀφαιροῦνται. A. B.C.M.I.

559. ἄγ', ἥν σ' ἔρωμαι: ἄγε, ἂν σε ἐρωτήσω δύο λόγους προ-

13. χρησιμεῦον] χρησιμεύων Gr. χρήσιμον Florr.

ib. δηλονότι μόνον] μόνῳ δηλονότι Leid.

19. ἐστι] εἰσὶ C.

21. ὁ δὲ πλοῦτος] Haec in I. leguntur post scholion proximum cum lemmate ὁ δ' ὄλβος. Verba ὅταν δὲ θέλωσιν, ἀφ' ἡμῶν λαμβάνουσιν—πρόσκαιρος etiam in Gr.

23. ἀντὶ τοῦ βούλωνται additum ex C.M., in B. hoc est gl. interlineare.

ib. ὅταν] ἄλλως. ὅταν I.

24. καὶ χρείαν ἔχοιεν om. B.I.

ib. τοῦ παρέχειν A.M. παρασχεῖν B.I., om. C.

ib. πάλιν ἀφαιροῦνται om. M.

26. ἄγε ἂν (ἐάν B.) σε M. ἀποκρίθητι ἐάν σε I. In B. prima tantum scholii verba exstant usque ad ἐρεῖς μοι τυραννεῖν. In A.C. ἄγ' ἥν σ' ἔρωμαι: ἄγε ἐρωτήσω δύο λόγους προβαλλομένη. ἆρα τυραννεῖν θέλεις, ἢ σῶσαι τὴν πόλιν; ἐρεῖς πάντως σοι (τὸ C.)

βαλλομένη, ἆρα τυραννεῖν θέλεις, ἢ τὴν πόλιν σῶσαι; πάντως ἐρεῖς μοι τυραννεῖν. A.B.M.I. *ἐὰν δὲ νικήσῃ οὗτος, καὶ ἡ τῶν Ἀργείων ἰσχὺς τοὺς Καδμείους νικήσῃ, θεάσει φθαρὲν τὸ ἄστυ τῶν Θηβαίων, καὶ πολλὰς κόρας αἰχμαλωτιζομένας σὺν βίᾳ παρὰ τῶν πολεμίων ἀνδρῶν. ἐπώδυνος λοιπὸν ὁ πλοῦτος καὶ αἰσχύνης αἴτιος γενήσεται ταῖς Θήβαις, ὅντινα ζητεῖς κεκτῆσθαι.* I.

561. *ἐρεῖς τυραννεῖν: ἐὰν γὰρ τυραννεῖν θέλῃς, πολεμηθήσεται ἡ χώρα.* M.T. Flor. 33. *ἢν δὲ νικήσῃ σ' ὅδε: ἐὰν δὲ νικήσῃ σε οὗτος, τί; λείπει τὸ τί.* M.

562. *Καδμείους ἕλῃ: ἀντὶ τοῦ τοὺς Θηβαίους νικήσῃ.* B.M.

564. *κόρας: τὰς ἐν νεαρᾷ φησιν ἡλικίᾳ.* Bar. Gr.

πορθουμένας: αἰχμαλωτιζομένας. Gr. *γρ. καὶ λελησμένας.* B.M.

565. *ὀδυνηρός: πονηρός.* M. *γράφεται καὶ δαπανηρός, ὅ ἐστιν ὃν ζητεῖς ἔχειν ἐπιζήμιος· ἀνάγκη γὰρ εἰς πόλεμον συμμάχους προτρέψασθαι καὶ δαπανᾶν.* B.M.I.

ὀδυνηρός: ἐπώδυνος, ὀδύνης αἴτιος. Cant. Gr. *ὁ πλοῦτος καὶ ἡ εὐδαιμονία. ἐπειδὴ πρὸς ὄλεθρον σὸν καὶ τοῖς περὶ σὲ συμβήσεται· ἔστι δὲ τοῦτο συμπέρασμα τῶν ἄνω.* Bar. Gu. *ἆρ': συλλογιστικὸς ἐνταῦθα ὁ ἄρα, οὐκ ἀπορηματικός.* Cant. Gr. Mosq. *ὁ πλοῦτος: ἡ εὐδαιμονία.* Bar. Gu.

567. *φιλότιμος: φιλόνεικος.* I. *φιλόδοξος δὲ σὺ ἔσῃ. λείπει τὸ ἔσῃ.* M. *πλεονέκτης καὶ ἄδικος δόξεις.* Bar. Gu. *φιλόνεικος γενήσῃ.* Gr.

568. *σοὶ μὲν τάδ' αὐδῶ: ἵνα μὴ δόξῃ δυσχερὴς Ἐτεοκλεῖ, αὐτῷ*

τυραννεῖν. ἐὰν δὲ τυραννῇς, πολεμηθήσεται ἡ χώρα:—" Paulo aliter Florr. 5. 6. 9. 21. 56. 59. 76: Gr. *ἤγουν ἢν* (Gr. *ἐὰν*) *σε ἐρωτήσω, δύο ἅμα λ. προβαλομένη, οὕτως· ἄγε εἰπὲ, πότερον θέλ. βασ. ἢ σῶσ. τὴν π. ἐρ. βασιλεύειν εἰ δὲ νικήσει σε οὗτος, καὶ ἡ ἰσχ. τῶν Ἀργ. ἕλῃ τὴν ἰσχὺν τῶν Κ.* (*καὶ* add. Florr.) *θεάσῃ μὲν φθ. τὸ ἄ. τόδε τῶν Θ. θεάσῃ δὲ π. κ. αἰχμαλώτιδας παρὰ ἀνδρῶν πολ. σὺν βίᾳ αἰχμαλ.* (*τί ἐρεῖς δηλονότι* add. Fl.)" MATTH.

3. *νικήσῃ*] *νικήσει* I.

7. *ἐὰν γὰρ τυραννεῖν θέλῃς*] *εἰ δὲ τυραννεῖς* Fl.

8. *ἡ χώρα*] *ἡ πόλις* Fl.

11. *νεαρᾷ*] *νέᾳ* Bar.

12. *γρ. καὶ*] *καὶ* om. B.

ib. *λελησμένας*] *λεληϊσμένας* B.M.

13. *γράφεται*] *δὲ* addit I. ubi hoc scholion legitur post *κεκτῆσθαι* (ad v. 559.) In M. supra versum *γρ. καὶ πονηρός.* et schol. *ὃν ζητεῖς ἔχειν ἐπιζήμιος* etc.

14. *ὃν ζητεῖς ἔχειν* om. B.I.

18. *συλλογιστικὸς—ὁ—ἀπορηματικός*] *συλλογιστικὸν—τὸ—ἀπορηματικόν* Cant. Mosq.

μόνῳ ἐπιτιμῶσα, στρέφεται καὶ πρὸς Πολυνείκην. τοιούτους γὰρ χρὴ τοὺς διαλλακτὰς εἶναι, μὴ πρὸς ἕνα τῶν μαχομένων, ἀλλὰ πρὸς ἀμφοτέρους χρῆσθαι τοῖς λόγοις, ἵνα μὴ πρὸς ἕτερον νεύοντες τὸν ἕτερον ἀγριαίνωσιν. Bar. Gu.

569. ἀμαθεῖς: ἀνοήτους. B. Gr. μωράς. Gu. ἀμαθεῖς χάριτας λέγει δοῦναι αὐτῷ τὸν Ἄδραστον, ἐπειδὴ κατὰ τῆς πατρίδος ἐπιστρατεῦσαι αὐτὸν παρεσκεύασεν. Bar. Gu.

ἀνήψατο: ἀνέθηκε. Gu. I. περιήψατο, ἀπὸ μεταφορᾶς τῶν πλοίων τῶν ἀποδεσμουμένων εἰς λιμένα. B.I.

570. ἀσύνετα: ἀσυνέτως. Gr. ἀσυνέτως δὲ καὶ σὺ ἦλθες λεηλατήσων τὴν πόλιν. I. ἐνὶ γὰρ διαφερόμενος ἁπάσῃ τῇ πόλει ἐπάγεις κίνδυνον, καὶ ταῦτα ἐπιστάμενος οὐ δημοκρατουμένην, ἀλλὰ μοναρχουμένην. A.B.M.I.

571. φέρ᾽: εἰπέ. Gr. ἕλῃς: ἀντὶ τοῦ ὑποχειρίους λάβοις. M. παραλάβῃς κοινῶς. Gr. μὴ τύχοι: εἴθε μὴ συμβαίη. Cant. Gr. γρ. μὴ τύχῃ. M.

572. τρόπαια: εἰώθασιν οἱ παλαιοί, ἐπειδὰν ἐνίκων τοὺς ἀντιπάλους, ἀνιστᾶν τείχη, γράφοντες ἐνταῦθα τὴν κατὰ τούτων νίκην, ἀείμνηστον ἐνταῦθα καθιστάντες τὴν σφῶν αὐτῶν ἀρετήν, ἅπερ ἐκάλουν τρόπαια, ὡς δεικνύντα τὴν τῶν ἐναντίων τροπήν. ἔμελλεν οὖν καὶ Πολυνείκης, εἴπερ ἐνίκησεν Ἐτεοκλέα, τοῦτο ποιήσειν, ἐπιγράψειν τε τὴν κατὰ τῆς πόλεως πόρθησιν· ὃ ἐπειδὴ πλείω μέμψιν εἶχεν αὐτῷ ἢ φιλοτιμίαν, ἀποτρέπει ἡ μήτηρ τῆς πρὸς τὸν ἀδελφὸν συμβολῆς. οὐ μόνον δὲ τοῦτο ἐποίουν, ἀλλὰ καὶ τὰς ἀσπίδας τῶν πολεμίων σκυλεύοντες τοῖς θεοῖς ἀνετίθουν, ὡς αἰτίοις τῆς νίκης, ἐπιγράφοντες εἰς αὐτὰς ἃ καὶ ἐν τοῖς τροπαίοις. Bar. Gu. τρόπαια: οἱ παλαιοὶ Ἀττικοὶ προπερισπῶσιν. B. νικητήρια, ἀπὸ τοῦ τρέψαι καὶ διῶξαι τοὺς πολεμίους. λέγει δὲ τὰ ἱστάμενα συμβόλαια τῆς νίκης. B.I. ἀναστήσεις: ἀναθήσεις τοῖς θεοῖς. Fl. 59. ἀναστηλώσεις, ἀνεγερεῖς. Gu.

573. πῶς δ᾽ αὖ κατάρξει: ἀντὶ τοῦ καταρχὴν ποιήσεις. M. Fl. 59. ἐπιστατήσεις. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἁγνὸν γὰρ

4. ἀγριαίνωσιν] ἀγριάνωσιν Gu.
8. περιήψατο Valck. pro παρήψατο.
11. διαφερόμενος] περιφερόμενος A.M.
12. δημοκρατουμένην, ἀλλὰ μοναρχουμένην] δημοκρατίαν, ἀλλὰ μοναρχίαν A.
17. εἰώθασιν] εἰώθεσαν Bar. Conf. p. 175, 25.
21. τοῦτο om. Gu.

δεῖ τὸν θύοντα εἶναι, σὺ δὲ οὐχ ἁγνὸς, καθελὼν πατρίδα. Gu. ἑλών: παραστησάμενος τὴν πατρίδα τὴν σήν. Gr. πάτραν: γρ. πόλιν. C.

574. σκῦλα γράψεις: ἀντὶ τοῦ τὰ ὅπλα ἐπιγράψεις, ἤτοι τὰ ἀναθήματα τῶν πεφονευμένων. B.I. τί δ' ἔσται τὸ ἐπίγραμμα; "Θήβας πυρώσας τάσδε Πολυνείκης θεοῖς ἀσπίδας ἔθηκεν." I. καὶ ἐπιγραφὰς πῶς ἐπιγράψεις ταῖς ῥοαῖς τοῦ Ἰνάχου; ποταμὸς ἐν τῷ Ἄργει ὁ Ἴναχος. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

Ἰνάχου ῥοαῖς; ἀντὶ τοῦ ἐν Ἄργει. C.M. Ἴναχος ποταμὸς Ἄργους. M. ἐν τῷ Ἄργει, ἀπὸ μέρους τὸ πᾶν. Gu.

575. Θήβας πυρώσας: τοῦτο ἔχεις ἐπιγράψαι, τοῦτο ἔχεις εἰπεῖν. A.M. ἆρα ἐπιγράψεις τοῦτο τὸ ἐπίγραμμα; Gr. Fl. iidem. πυρώσας: ἀφανίσας. Gu.

576. ἔθηκε: ἀντὶ τοῦ ἀνέθηκε. M. μήποτ': εἴθε μὴ γένοιτό σοι, τέκνον, λαβεῖν ὑπὸ τῶν Ἑλλήνων τοιαύτην φήμην, τουτέστι νικητὴν τῆς πατρίδος ᾄδεσθαι. Gr. Bar. I.

κλέος: ἀντὶ τοῦ ὄνειδος. λόγῳ μὲν παραινεῖ αὐτῷ, τῇ δ' ἀληθείᾳ ἐπεύχεται τῷ πράγματι, ὡς παρ' Ὁμήρῳ "μή σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων ποιήσῃ." A.C.M.T.

578. ὑπεκδράμῃ: κρατηθῇς, νικηθῇς. M. παρέλθῃ, νικήσῃ. μετενήνοχε δὲ ἀπὸ τῶν δρομέων. οἷον ὑπέρτερα γένηται. A.B.C.M.I. ὑπερβάλλῃ. Gu.

580. ὦ κακὰ μνηστεύματα: τὸ "ὦ κακὰ μνηστεύματα" καὶ τὸ "Ἄδραστε" ταυτόν ἐστιν· οὕτω γὰρ ἄν τις εἶπεν· ὦ Ἄδραστε, ὁ κακὴν μνηστείαν καὶ κῆδος πρὸς Πολυνείκην ποιήσας, προσθεὶς καὶ τοῦτο, "διὰ μιᾶς γυναικὸς," τῆς σῆς θυγατρὸς, ἡμεῖς ἀπωλόμεθα. ἐποίησε δὲ οὕτω κατὰ ποιητικὴν ἄδειαν, ὅπερ, εἰ καὶ ταῖς λέξεσι

3. σκῦλα] τὸ δὲ σκῦλα B.I. (post τῆς νίκης schol. ad v. 572.)

13. εἴθε om. I.

14. Verba τουτέστι — ᾄδεσθαι e Bar. addita. Eadem sunt in Gr. addito insuper μὴ, μὴ νικ. π. ᾄ. Verba εἴθε μήπ. ἂν, ὦ (sic) τέκνον, γέν. σοι λαβ. ὑπὸ sunt a Gr. ὑπὸ τῶν Ἑ.—ᾄδ. a Gu. MATTH.

16. μὲν om. C.

ib. αὐτῷ] αὐτὸν C.

17. ἐπεύχεται τῷ πράγματι] ἐπεύχεται τῷ στρατεύματι A. ἀπεύχεται τὸ πρᾶγμα Valck.

ib. ὡς παρ'] ὡς τῷ παρ' M. quod est ὡς τὸ παρ' vel ὡς παρὰ τῷ.

ib. Ὁμήρῳ] Od. 1, 586.

18. βασιλῆα] βασιλέα C.

ib. ποιήσῃ] ποιήσειεν M.

19. παρέλθῃ] παρέλθοι M. παρέλθῃ, νικήσῃ etiam in Gr.

20. δρομέων] τρεχόντων A.C., reliquis omissis.

26. οὕτω] τοῦτο Bar.

κεχώρισται, ἀλλὰ τῷ νῷ συνάπτεται. Ἄδραστος γὰρ καὶ οὐχ ἕτερος ἦν ὁ τὴν μνηστείαν ποιήσας. ἢ τὸ προσθεὶς πρὸς τὸ κακὰ συντακτέον, καὶ οὐ πρὸς τὸ "διὰ μιᾶς νύμφης," ἵν' ᾖ οὕτως, ὦ μνηστεύματα κακὰ προσθεὶς, τουτέστι μετὰ τοιαύτης προσθήκης ταῦτα ἀναβοήσεται. Gu. Bar. ἐπιγαμβρεύματα, γάμοι. B.M. ὦ κακῶς θυγατρὶ μνηστευσάμενος. A.M. δυστυχεῖς συμφωνίας γάμων. Gr.

581. προσθείς: συνθέμενος, συμφωνήσας. Gr. Cant. Mosq.

583. κείνων στέρεσθαι: τῶν Ἀργείων, καὶ ὑπὸ Θηβαίων θανεῖν. A.C.M. Ἄλλως. τοῦ Ἄργους δηλονότι. ὁ δὲ νοῦς, μήτε ἐκεῖνα μήτε ταῦτα ἔχων κἀκείνων στερηθῆναι, τούτων τε μὴ τυχεῖν. τὸ γὰρ ἐν μέσῳ πεσεῖν, τουτέστι τὸ πρὸ τοῦ ἀφικέσθαι ἐπ' αὐτὰ ἐκπεσεῖν τῆς ἐλπίδος. A.B.C.T.M.I. ἐν τῷ μέσῳ: τοῦ Ἄργους δηλονότι. M. ἐν τῷ μεταξύ. Gr. Fl. 5. 6. 9. 56. 76. τῶνδε: τῶν μετὰ σοῦ στρατευμάτων. Gu. Fl. 21.

584. μέθετον τὸ λίαν: μέθετον, ἄφετε τὸ λίαν φιλονεικεῖν. Ἄλλως. μέθετον τὸ λίαν ἀντὶ τοῦ τὸ θυμικόν. καὶ ἐν Ὀρέστῃ "τῷ λίαν χρῆσθαι καλῶς." Ἄλλως. ἐν τούτοις Ἰοκάστη οὐδὲν συμβεβούλευκε τοῖς παισὶ κοινωφελὲς, ἀλλὰ τῷ μὲν λέγει, εἰς τί φιλοτιμῇ τυραννεῖν; τῷ δὲ, εἰς τί πολεμεῖς τὴν πατρίδα; ἐχρῆν δὲ τούτοις συμβουλεῦσαι, διελομένους τὰ πατρῷα καὶ τὴν βασιλείαν παύσα-

2. τὸ προσθεὶς] τὸ om. Gu.

6. θυγατρὶ μνηστευσάμενος] θυγατέρας μεμνηστευμένος A.

9. Ἄλλως om. I.

ib. τοῦ Ἄργους] ἀπὸ ἄργους M.

ib. ὁ δὲ νοῦς] δὲ om. A.C.

ib. μήτε ἐκεῖνα] μήποτε ἐκεῖνα A.C.M.

10. μήτε ταῦτα] καὶ ταῦτα A.C.

ib. ἔχων κἀκείνων] ἔχειν ἤτοι κἀκείνων B.I.

ib. τούτων τε A.M. τούτων δὲ C. καὶ τούτων ceteri.

11. πεσεῖν, τουτέστι τὸ πρὸ] πεσεῖν οὗ (οὐ A.C.) φησὶ πρὸ C.M. "Valckenaerio legendum videbatur τὸ γὰρ ἐν μ. πεσεῖν ἐστι τό. Ego conjeceram: τοῦτο γὰρ τὸ ἐν μέσῳ πεσεῖν φησὶ, τουτέστι πρὸ τοῦ ἀφ." MATTH.

15. μέθετον (μέθετον om. A.) ἄφετε —τὸ θυμικὸν] τὴν ὑπερβολὴν τῶν ὀρέξεων, ἢ τὸ θυμικὸν I. μέθετον τὸ λίαν ἀντὶ τοῦ τὸ θυμικὸν B. μέθετον λίαν φ. —θυμικόν C.

ib. ἄφετε τὸ om. C.

ib. φιλονεικεῖν] τὸ μηδὲν ἄγαν addit M. Confer scholion proximum in fine.

16. μέθετον τὸ] μέθετε τὸ A.

ib. Ὀρέστῃ] 694.

ib. τῷ Valck. pro τό.

17. οὐδὲν hic A.C.M., ante Ἰοκάστη B.I. Quae post κοινωφελές sequuntur om. C.

18. τί φιλοτιμῇ] τὸ φιλοτιμ" M. τί φιλοτιμεῖν κοινωφελῶς A.

19. πολεμεῖς] πολεμεῖ C.

ib. τούτοις] τοῦτο M.

20. τὴν βασιλείαν] τῆς βασιλείας M.

σθαι τῆς διχοστασίας, ὅπως ὑπέστησαν ἐξ ἀρχῆς ἀνὰ μέρος ἄρχειν. καὶ γὰρ ἐπὶ τῷ ποιητῇ ἦν ποιῆσαι αὐτοὺς μὴ πειθομένους, ὅπως τὰ τῆς ἱστορίας μένῃ βέβαια· εἵμαρτο γὰρ αὐτοὺς, ἀλληλοκτόνους γενομένους, κατὰ τὰς ἀρὰς τοῦ πατρὸς ἀποθανεῖν. νῦν δὲ οὐδὲν τούτων πεποίηκεν. A.B.C.I.

τὸ λίαν μέθετον: ἐάσατε. M. ἄφετε τὴν ὑπερβολὴν τῶν ὀρέξεων, καταλείψατε τὸ ὑπερβάλλον τῆς ἐνστάσεως. Gu. Bar. τὸ θυμοῦσθαι κατ' ἀλλήλων. Fl. 59.

ἀμαθία δυοῖν: αἱ τῶν δύο ἀμαθίαι, ὅταν μόλωσιν εἰς ταυτὸν, μέγιστον κακὸν γίνεται. Ἄλλως. δεινὸν κακὸν, ὅταν εἰς τὸ αὐτὸ κακὸν τῆς ἀμαθίας ἔλθητε. A.B.C.M.T. Gu. I. Ἄλλως. ὅταν διὰ τὸ αὐτὸ κακὸν τῆς ἀμαθίας ἔλθητε ἀμφότεροι, δεινὸν κακόν. A.C. ὅμοιον δέ ἐστι τῷ "μηδὲν ἄγαν" τὸ ἄφετε τὸ λίαν φιλονεκεῖν. B.I. ἀπαιδευσίαι ἀνθρώπων εἰς ταυτὸ ὅταν ἔλθωσιν, ἤγουν ὅταν συνδράμωσι, πάνυ μεμισημέναι. Gr. Cant.

585. εἰς ταὔθ' ὅταν: ὅταν ἔλθητε εἰς τὸ πολεμεῖν ἀλλήλοις, ἀμαθία τοῦτο ἀμφοτέροις ἔσται, ὃ μέγιστον κακὸν τοῖς ἔχουσιν, ὡς μὴ τὰ συνοίσοντα σφίσι γνῶναι δυναμένοις. Gu. Bar.

586. ἀπότροποι κακῶν: ἤγουν ἐκκρούετε, ἀποπέμπετε τάδε τὰ κακά. Gr. Cant. λυτήριοι, κωλυταὶ, ἀποσοβηταί. M. Gu.

587. ξύμβασιν: εἰρήνην. Gu. ξυμβίβασιν. B.I.

588. οὐ λόγων: οὐκ ἐριδός ἐστ' ἀγών· ἀπώλετο γὰρ ὁ καιρὸς ὁ ἐν μέσῳ ἀκαίρως, περαίνει δὲ, ἤτοι πληροῖ, οὐδαμῶς ἡ σὴ προθυμία. ὁ δὲ νοῦς, περαίνει δ' οὐδὲν ἡ προθυμία, ἀντὶ τοῦ προθυμουμένη ἡμᾶς εἰς φιλίαν ἀγαγεῖν οὐ πείθεις· οὐ γὰρ φιλιωθείημεν καὶ εἰς ξύμβασιν καὶ φιλίαν ἔλθοιμεν ἄλλως ἢ ἐπὶ τοῖς εἰρημένοις ὑπ' ἐμοῦ, ὥστε

1. ὅπως] ὅπερ Valck.
2. ποιητῇ] ποικίλον A.
3. ἀλληλοκτόνους] ἀλλοκτόνους A.
ib. γενομένους om. A.M.
6. ἄφετε et καταλείψατε om. Bar. invertitque ordinem, verbis τὸ ὑ. τῆς ἐ. in initio positis.
9. ἀμαθία (in textu ἀμαθίαι) δυοῖν εἰς ταῦθ' (sic) ὅταν μόλητον lemma in B., ὅταν μόλητον in A.C.M. ἀμαθίαι δυοῖν in I.
ib. μόλωσιν] μολῶσιν B.I. μόλητον C. μολοῦσι A. μόλητον καὶ μολῶσι (sic) καὶ ἔλθωσιν G.
ib. ταυτὸν] ταὐτὸ B. ταυτὸ καὶ εἰς ἓν ἐμοῦ Gu.
10. γίνεται] γι" M. γίνονται B.I. Sequentia om. M. Gu.
11. διὰ τὸ αὐτὸ] δι' αὐτὸ τὸ C.
13. τῷ—τὸ B. τὸ—τῷ I.
15. μεμισημέναι] μεμισημένον Gr.
16. ἔλθητε] ἔλθωτε Cant.
20. κωλυταὶ M. διῶκται Gu. In B. rec. λυτήριοι et κωλυταί.

με τὰ σκῆπτρα κατέχειν δηλονότι καὶ βασιλέα ὑπάρχειν τῆς χθονὸς τῆσδε. τῶν ἐπὶ πολὺ δὲ παρατεινομένων νουθετημάτων ἀποστᾶσα ἄφες ἡμᾶς. καὶ σὺ δὲ τῶν τειχῶν τούτων ἐξέρχου· εἰ δὲ μή, ἀποθανῇ. I.

οὐ λόγων: *ἀντὶ τοῦ ἔριδος.* B.M. *ἀλλ'*: *ὁ ἀλλά ἀντὶ τοῦ γάρ.* B.M. Gu.

ἀνάλωται: *ἀντὶ τοῦ δεδαπάνηται.* M. Gu. *ἀπώλετο γὰρ μάτην, ἀκαίρως.* Gr.

589. *περαίνει δ' οὐδὲν ἡ προθυμία*: *ἡ σὴ προθυμία δηλονότι. ὁ δὲ νοῦς, περαίνει δ' οὐδὲν ἡ προθυμία, ἀντὶ τοῦ προθυμουμένη ἡμᾶς εἰς φιλίαν ἀγαγεῖν οὐ πείθεις.* A.B.C.M. *ἡ σή. ἐκ τοῦ προτεθυμῆσθαί σε, ὦ μῆτερ, διαλλάξαι ἡμᾶς οὐδὲν πλέον γίνεται· ὁρᾷς γὰρ ἡμᾶς μὴ πειθομένους.* A.C.M. Fl. 33.

περαίνει: *πληροῖ.* Gr. *τελειοῖ.* Gu.

590. *ξυμβαῖμεν*: *εἰς σύμβασιν καὶ φιλίαν ἔλθοιμεν.* B. *συμβιβασθείημεν.* Gr. *ἢ 'πὶ τοῖς εἰρημένοις*: *ἤγουν αὐτὸν ὡς ἰδιώτην οἰκεῖν τὴν πόλιν, ἐμὲ δὲ ἄρχειν.* Gu.

592. *τῶν μακρῶν*: *τῶν παλαιῶν.* M.

593. *κομίζου*: *τῷ σῷ ἵππῳ· εἰ γὰρ πεζῇ ἔμελλεν ἐξέρχεσθαι, οὐκ ἂν ἔλεγε κομίζου, ἀλλὰ ἀπέρχου, ἢ ἔξιθι, ἤ τοιοῦτόν τι.* Gr. Cant.

594. *πρὸς τίνος*: *παρὰ τίνος ἀποθανοῦμαι*: *τίς δ' οὕτως ἄτρωτός ἐστιν ὅστις, εἰς ἡμᾶς φονικὸν ἐμβαλὼν ξίφος, τὸν ὅμοιον οὐκ ἀπολαβὼν οἴσεται θάνατον;* I. *τίς δ' ὧδ'*: *οὕτως εὔτολμος.* M.

595. *ἀποίσεται*: *ἀπολήψεται, ἀπαγάγοι, κατ' ἐρώτησιν.* M.

596. *ἐγγύς, οὐ πρόσω*: *οὗτινος ἐγγὺς καὶ ἔμπροσθεν ἵστασαι. τὸ δὲ "εἰς χέρας λεύσσεις ἐμάς" ἐν ἐρωτήσει, λεύσσεις εἰς χεῖρας ἐμάς; ἐκ τούτων ἀποθνήσκεις.* A.B.C.M.I. *τοῦτο λέγει ἐπειδήπερ*

9. *νοῦς, περαίνει δ'*] *δ'* om. C.
ib. *ἡμᾶς* om. A.M.
10. *ἡ σή* addidi ex A.M.
ib. *ἐκ τοῦ—*] In Flor. est *ἐκ τοῦ προθυμήσεσθαι, ὦ μῆτερ, διαλλάσσειν ἡμᾶς, οὐ πλ. τι γίν. ὁρ. γ. ἡμᾶς μὴ π. προθυμίαν γὰρ λέγει τὴν τῆς μητρός. οὐ γὰρ ἂν ξυμβῶμεν, φίλοι γενοίμεθα εἰς φιλίαν ἔλθωμεν.* MATTH.
12. *ἡμᾶς* om. A.C.
19. *τοιοῦτον*] *τοιοῦτο* Cant. "Flor.
21. addit: "*διὰ δὲ τούτου δείκνυται ἔφιππον εἶναι τὸν Πολυνείκην· εἰ γὰρ ἦν πεζὸς, ἀπέρχου ἂν εἶπεν.*" MATTH.
20. *παρὰ τίνος* gl. in M. Gr.
24. *οὐ*] *οὗ* C.I. et in textu B., annotato a m. rec. *γρ. ἐγγὺς οὐ πρόσω.*
ib. *ἔμπροσθεν*] *οὐ πρόσθεν* A.
25. *τὸ δὲ*] *τὸ γὰρ* A.C.
ib. *χέρας*] *χεῖρας* libri.
ib. *ἐν ἐρωτήσει—ἐμάς* om. C.
26. *ἀποθνήσκεις*] *θνήσκεις* B.I.

ἐφοβήθη Πολυνείκης μή πως Ἐτεοκλῆς κρατῶν ξίφος αὐτὸν ἀποκτείνῃ. Gu. ἐς χέρας λεύσσεις: δείκνυται αὐτῷ ξίφος. Fl. 59.

πρόσω βέβηκας: ἐγώ εἰμι, φησὶν, ὁ φονεύς σου γενησόμενος. τὸ δὲ "οὐ πρόσω βέβηκας;" ἀντὶ τοῦ οὐ πέφευγάς με; A.C.M. οὐ πόρρω ἵστασαι. Gr. Mosq.

597. εἰσορῶ: ὁρῶ. δειλὸν δ' ὁ πλοῦτος: ἀντὶ τοῦ δειλίας ποιητικὸν καὶ φιλοζωΐας. Gr. Cant.

δειλὸν δ' ὁ πλοῦτος: παρόσον οἱ πλούσιοι δειλοί εἰσι πρὸς θάνατον, ὡς μεγάλων ἀγαθῶν στερούμενοι· οἱ δὲ πένητες ῥιψοκίνδυνοί εἰσιν, ἐπιλογιζόμενοι ὡς λυσιτελεῖ κινδυνεύσαντας κτήσασθαι καὶ ἀποθανεῖν μᾶλλον ἢ πτωχὸν ὄντα ζῆν. φησὶν οὖν ὅτι φιλόψυχος εἶ σύ. A.B.C.M.I.

δειλὸν δ' ὁ πλοῦτος: ἐπειδὴ οἱ πλουτοῦντες μὲν δειλιῶσι διὰ τὴν ὑπάρχουσαν αὐτοῖς τύχην, οἱ δὲ πένητες ῥιψοκίνδυνοι, ἵνα τῆς πενίας ἀπαλλαγῶσι. διὰ τοῦτο καὶ αὐτὸς πρὸς τὴν ὑπάρχουσαν εὐδαιμονίαν αὐτῷ θεωρῶν τοῦτό φησι. Gu. καὶ οὐ μέλλεις συνάπαι πόλεμον, οἷα δειλός. Fl. 59. φιλόψυχον: φιλοψύχους ποιῶν. C.M.

598. κᾆτα: καὶ εἶτα πρὸς τὸν φιλόζωον καὶ ἄνανδρον σὺν πλείστοις ἦλθες μαχέσασθαι; I. ἐπεὶ οὖν κατὰ τὸ εὔλογον δειλὸν ὁ πλοῦτος, διὰ τί μετὰ πολλῶν πρὸς ἐμὲ ἀφίκου; καὶ ἔστι τὸ κᾆτα συμπερασματικὸν, ἢ καὶ ἀπορηματικὸν λέγε ἐκφέρων κατ' ἐρώτησιν. Gu. βαρύτητος τὸ σχῆμα. Gu. πρὸς τὸν οὐδέν: ὄντα, ἤγουν τὸν δειλόν. Gr. Fl. 5. 6. 9. 21. 56. 76. πρὸς τὸν ἄνανδρον. M. πρὸς τὸν φιλόψυχον καὶ ἄνανδρον. B. τὸν ἄνανδρον ἐμὲ καὶ οὐ βουλόμενον μάχεσθαι. Gu.

599. ἀσφαλὴς γάρ: ναί. καὶ γὰρ ὁ ὠχυρωμένος ἐν ὅπλοις στρατηλάτης κρείττων ἐστὶ τοῦ θρασέος. I. ἀσφαλής: ἤγουν ἠσφαλισμένος γὰρ δυνάμει ἀξιολόγῳ στρατηλάτης ἐστὶν ἀμείνων ἢ χωρὶς δυνάμεως θρασυνόμενος. Gr. Cant. ὁ ἀσφάλειαν ἔχων εἰς ἑαυτόν. Gu. οὐ δειλός εἰμι, ἀλλ' ἀσφαλής. Gu.

3. πρόσω—γενησόμενος om. B.
4. οὐ πέφευγας] οὐ om. C.
8. παρόσον—στερούμενοι] Haec etiam in Gu.
11. πτωχὸν ὄντα] πτωχοὺς ὄντας B.I.
ib. φησὶν οὖν] φησὶ γοῦν I.
ib. ὅτι—εἶ σύ om. A. in lacuna.
18. Gl. καὶ εἶτα in M.
20. Verba ἔστι τὸ κᾆτα—ἐρώτησιν etiam Bar. qui λέγεται.
26. ἤγουν] ὁ Cant. et mox ἢ ὁ χ.
29. οὐ δειλός—] Simile habet Flor. 33. οἷον ἄδηλός (l. οἷον οὐ δειλός) εἰμι, ἀλλ' εὔτολμος στρατηλάτης. MATTH.

600. *κομπὸς εἶ: ἀλαζονικὸς ὑπάρχεις, θαρρῶν ἐν σπονδαῖς, αἵ σε τηροῦσι θανεῖν.* I.

κομπός: κόμπος ἡ ἀλαζονεία, κομπὸς δὲ ὁ κομπαστὴς ἤτοι ὁ ἀλαζών. Gu.

κόμπος: τὸ μὲν προσηγορικὸν ὡς τὸ τέμπος, τὸ δ' ἐπίθετον ὡς τὸ καρπός. κόμπος γὰρ λόγος, κομπὸς δὲ ὁ κομπαστής. ὁ δὲ νοῦς, μεγαλοφρονεῖς ἐπὶ ταῖς γενομέναις σπονδαῖς καὶ συνθήκαις, αἵτινές σε ῥύονται τοῦ ἤδη τεθνήξεσθαι. A.B.C.M.T. Gu. I. *Ἄλλως. κομπὸς ὁ κομπηρὸς καὶ ἐπηρμένος, πρὸς ἀντιδιαστολὴν τοῦ κόμπος ἡ ἔπαρσις. γράφεται δὲ καὶ κομψός. κρεῖττον δὲ τοῦ κομψὸς τὸ κομπός. σπονδαῖς ταῖς εἰρηνικαῖς καταλλαγαῖς λέγει.* A.

κομπός: κομπηρὸς (*εἶ* add. Florr.), *ἤγουν φλύαρος.* (*φλυαρεῖς* Florr.) Gr. Fl. 5. 6. 9. 21. 56. 76. *φλύαρος.* M. *γαῦρος, σοβαρὸς, κομπαστὴς, ἀλαζονικός.* Gu. *ἐπηρμένος.* Fl. 59.

σπονδαῖς: σπονδάς φησι καθ' ἃς ἐπετράπη ἐξελθεῖν. A.C.M. *αἵ σε σώζουσιν θανεῖν: αἵ σοι τὸ ζῆν χαρίζονται καὶ οὐκ ἐῶσι θανεῖν. δέον δὲ εἰπεῖν, αἵ σε σώζουσι θανάτου, ἀντὶ ὀνόματος ἀπαρέμφατον ἔθηκε τὸ θανεῖν, ὃ καὶ δυσκολίαν τινὰ παρέχει.* Gu. Bar. *σώζουσιν θανεῖν: ῥύονται μὴ θανεῖν.* Gr. Cant.

601. *καί σε δεύτερον: ἰδού, φησὶ, δεύτερόν σοι λέγω ἀποδοῦναί μοι τὸ μέρος τῆς βασιλείας. ἅπαξ γὰρ εἶπεν ἄνω* "*καὶ νῦν ἕτοιμός εἰμι τἀμαυτοῦ λαβὼν στρατὸν μὲν ἔξω τῆσδ' ἀποστεῖλαι χθονός.*" A.B.C.M.I.

2. *τηροῦσι*] *τηρῶσι* I.

5. *ὡς τὸ* (*τὸ* om. B. Gu. I.) *τέμπος*] *ὡς τὸ πόμπος* A.C. *ὡς τὸ κομπὸς* M. *ὡς κόμπος* T. "In Etym. M. legitur p. 527, 46. *κόμπος.—τὸ μὲν προσηγορικὸν οὕτως, ὡς τέμπος· κόμπος εἶ:—Εὐριπίδης Φοινίσσαις. κομπὸς δὲ λόγος, τὸ ἐπίθετον.* insolens ista forma singularis; notissima sunt *Tempe.*" VALCK.

ib. *ὡς τὸ καρπὸς*] *ὡς καρπὸς* B. Gu. I. *λάλος, κομπὸς* addunt M.T.

6. *κόμπος γὰρ λόγος, κομπὸς δὲ ὁ κομπαστὴς*] *γὰρ* et *δὲ* om. B.I. *ὁ* om. I. In A.C. *λόγος κομπὸς* (*κόμπος* C. omisso *ὁ*) *ὁ κομπαστής.*

7. *μεγαλοφρονεῖς*] *μεγαλοφωνεῖς* A.

ib. *γενομέναις*] *γινομέναις* C. Gu.

8. *σε* om. M.

ib. *τοῦ ἤδη τεθνήξεσθαι* om. A.C.

10. *τοῦ κομψὸς τὸ*] *τοῦ κομψὸς τοῦ* (sic) A.

16. *τὸ* om. Bar.

18. *ὃ* om. Gu.

20. *δεύτερον* A.B.C. *ἐκ δευτέρου* ceteri. In Gr. *καὶ δεύτερόν σε. ἰδοὺ ἀπαιτῶ σε τὴν βασιλείαν καὶ τὸ ἀνῆκον μέρος τῆς γῆς.* In Gu. *εἶπε γὰρ ἄνω τὸ πρῶτον, καὶ νῦν—λαβὼν καὶ τὰ ἑξῆς:—*

ib. *σοι*] *σε* A.

21. *μοι* om. A.C.

ib. *εἶπεν* (*εἶπον* A.) *ἄνω*] 484.

22. *τἀμαυτοῦ*] *τοῦτο* A.C.

23. *χθονός* om. B.

602. *οὐκ ἀπαιτούμεσθ'*: *οὐκ ἀποδίδομεν.* M. *οὐ διδόαμεν.* Gu. *οὐ χρεωστοῦμεν.* I.

603. *τοῦ μέρους*: *τοῦ ἐπιβάλλοντός σοι μέρους κεκτημένος τὸ περισσότερον*; I. *τοῦ σοῦ, ἤγουν τοῦ ἀνήκοντός σοι*; Gr. Fl. 5. 6. 9. 21. 56. 76. *ἤγουν τὸ ὅλον μέρος.* Gu. *φήμ'*: *ναὶ λέγω· ἐλευθεροῦ δὲ καὶ ἀπαλλάσσου τῆς γῆς.* I. *ἀπαλλάσσου*: *ἀπέρχου.* Gr. Florr.

604. *ὦ θεῶν*: *τὸ ἑξῆς· ὦ θεῶν βωμοὶ πατρῷοι, κλύετέ μου.* Gr. Fl. 5. 6. 9. 21. 56. 76. *πατρῷοι*: *πατρικοὶ, οὓς οἱ πρόγονοι ἡμῶν ἐσέβοντο.* Gu. *πάρει*: *ἦλθες.* Gu. *παρεγένου.* I.

605. *ἐπεστρατευμένου*: *κατὰ τῆς πατρίδος στρατευσαμένου.* Gr. Mosq.

606. *τῶν λευκοπώλων*: *εὐφήμως· λέγει δὲ τῶν μελανοπώλων, Κάστορος καὶ Πολυδεύκους, ἢ Ζήθου καὶ Ἀμφίονος, ὅπερ ἄμεινον.* A.B.M.I. *καὶ ὦ δώματα τῶν θεῶν τῶν λευκοπώλων, τοῦ Ἀμφίονος καὶ Ζήθου.* Gr. *Ἀπόλλωνος, Ἀρτέμιδος καὶ Ἡμέρας, ἢ Κάστορος καὶ Πολυδεύκους.* Gu.

607. *ἐξελαυνόμεσθα*: *τὸ ἑξῆς· ἐξελαυνόμεθα πατρίδος, ὦ θεοὶ, σὺν ἀδικίᾳ, ἤγουν ἀδίκως. τὸ δὲ ὦ θεοὶ διὰ μέσου.* Gr. Bar. I. *ἐξελῶν*: *ἐξελάσων, πορθήσων· διὸ ψιλῶς ἀναγνωστέον.* M. *ἀπὸ κοινοῦ τὸ ἦλθον ἐξελάσων. ἀδικίᾳ σῇ, ἤγουν διὰ τὴν σὴν ἀδικίαν μὰ τοὺς θεούς.* A. *ἡμᾶς ἐκ τῆς πατρίδος.* Fl. 59. *πορθήσων τὴν πατρίδα.* Gr. Fl. 6. 9. 21. 56. 76.

608. *ἀνακάλει*: *ἐν ταῖς Μυκήναις ἀνακάλει καὶ μὴ ἐνθάδε.* A. M. *ἐν τῷ Ἄργει.* Gr. *ἀντὶ τοῦ κάλει.* Gr. Fl. 5. 6. 9. 21. 56. 76. *μεγάλως, ἐκ δευτέρου κάλει.* Gu.

3. *τοῦ ἐπιβάλλοντός σοι* gl. est in B.M.

8. *ὦ θεῶν*—] King. e Cant. in paraphr. dedit *ὦ βωμοὶ τῶν θεῶν πατρῴων, οὓς σὺ πορθήσων παρεγένου.*

9. *πατρικοί* etiam I.

13. *εὐφήμως—μελανοπώλων* addidi ex M.

15. *καὶ ὦ δώματα*—] Sic hoc scholion legitur in Bar. *καὶ ὦ δ. τῶν θ. τῶν λ. ἢ τοῦ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, ἢ τοῦ Ἀμφίονος καὶ τοῦ Ζήθου.* Flor. 59. ad *λευκοπώλων* adscriptum habet *κατευφημισμὸν*, i. e. *κατ' εὐφημισμόν.*

18. *πατρίδος—τὸ δὲ*] *τῆς πατρίδος ἀδικίᾳ τῇ σῇ. τὸ δὲ* I.

ib. *πατρίδος, ὦ θεοὶ*] *ὦ θεοὶ τῆς πατρίδος* Bar.

19. *τὸ δὲ—μέσου* om. Gr. Bar.

20. *ἐξελάσων* est etiam in B.I., *ἐξελάσων, πορθήσων* in A.

ib. *ψιλῶς*] Non *δασέως* ut *ἐξελών*, aoristus verbi *ἐξαιρεῖν*.

609. ἀνόσιος πέφυκας: τὸ ἑξῆς, ἀνόσιος πέφυκας, ὅς μ' ἄμοιρον ἐξελαύνεις τὸ μέρος τῆς βασιλείας κατέχων. M. ἄδικος, ὡς οὐκ ἐμμείνας τοῖς ὅρκοις, οὓς ὤμοσας. Gu. ἀλλ' οὐ πατρίδος: καὶ μὴν οὐκ εἰμὶ πολέμιος τῆς ἐμῆς πατρίδος, ὡς σύ. Gr. Bar.

610. ἄμοιρον: χωρὶς μερίδος. I. τοῦ ἀνήκοντός μοι μέρους. Gr. Cant. μέρος τῆς βασιλείας οὐκ ἔχοντα. Gu. Fl. 33. ἤγουν μὴ τοῦ πατρῴου κλήρου τὸ μέρος ἔχοντα. Gu. καὶ κατακτενῶ γε πρός: σὺν τῷ ἐξελάσαι σε ἄμοιρον καὶ κτανῶ σε. Gr. Cant.

612. οὔ σε θεμιτόν: οὐ πρέπον. Gr. δίκαιον, ὡς κατὰ τῆς αὐτὴν ἐχούσης πόλεως ἐστρατευκότι. Gu.

613. ἀνακάλει: ἀναζήτει. Fl. 5. 6. 9. 21. 56. 59. 76. Λέρνης ὕδωρ: ἤγουν τὰς Μυκήνας· ἀπὸ μέρους τὸ πᾶν. Gu.

614. μὴ πόνει: μὴ κάμνε, μὴ θορυβοῦ τούτου χάριν· ἄπειμι γάρ. ἐπίτηδες δὲ περιεσταλμένῳ φρονήματι ταῦτά φησι, προσδοκῶν εἰς τὸ δίκαιον ἔτι μετακαλέσειν τὸν ἀδελφόν. A.B.C.M.I. μὴ δεινοπάθει. Gr. μὴ περὶ τούτου ἀγανάκτει, θορυβοῦ. Gu.

σὲ δ' αἰνῶ: σὲ δὲ, ὦ μῆτερ, ἀποδέχομαι, ὅτι ἐσπούδασας εἰς φιλίαν ἡμᾶς ἀγαγεῖν. A.B.C.M.I.

σὲ δ' αἰνῶ: σὲ δὲ ἐπαινῶ, μῆτερ, τῆς προθυμίας, ἣν ἔσχες ἡμᾶς διαλλάξαι, εἰ καὶ ἡμεῖς οὐκ ἠβουλήθημεν. Gu. Bar. ἐπαινῶ σε ἕνεκα τῆς σπουδῆς τῶν διαλλαγῶν. Gr. Bar. Mosq. ὅτι θελήσασα ἡμᾶς καταλλάξαι οὐκ ἠδυνήθης. Gu.

615. εἶμι: τὸ μὲν εἶμι διὰ τῆς ει διφθόγγου παραλόγως, ἡ δὲ ἀπ' αὐτοῦ πᾶσα κλίσις διὰ τοῦ ἰῶτα. B.C.M.T. ὅ ἐστι, μέχρι

1. τὸ ἑξῆς—] In Gr. τὸ ἑξῆς—ὅς μ' ἄμοιρον ἐξελαύνεις, ἤγουν ἐστερημένον, reliquis omissis. Similiter Cant. et Flor. 5. 6. 9. 21. 56. 59. 76. In A. τὸ ἑξῆς—ἄμοιρον ἐξελαύνεις. ἄλλως. ἄδικος πέφυκας, ἀλλ' οὐδὲ πατρίδος πολέμιος.

13. μὴ] εἶμι, μὴ A.

14. ἐπίτηδες—φρονήματι om. C.

15. μετακαλέσειν Matth. μετακαλέσαι C. μετακαλέσασθαι A.M. καλέσειν B.I.

17. ὦ μῆτερ om. A.M., μῆτερ post ἀποδέχομαι habet B., post ἐπαινῶ (nam sic habet pro ἀποδέχομαι) I.

18. ἡμᾶς post ἐσπούδασας habent C.I.

ib. ἀγαγεῖν] συναγαγεῖν C.

19. τῆς] ἕνεκα τῆς Bar.

20. ἠβουλήθημεν] ἐβουλήθημεν Bar.

23. εἶμι] In C. lemma nullum, in A.B.M. ἔξειμι: ἔξιθι. τὸ μὲν etc.

24. ἀπ'] ἐξ B.C.

ib. πᾶσα κ. M. κ. πᾶσα T. πᾶσα om. A.C.

ib. ὅ ἐστι—] Haec in B M. infra leguntur ad v. 618. vel 619.

θανάτου χωρήσω· ἢ πρὸς τὸ ῥηθὲν ὑπὸ Ἐτεοκλέους "οὐ θεμιτόν σοι μητρὸς ὀνομάζειν κάρα." B.C.M.

616. *ἀλλά: εἰ καὶ μὴ πατέρα δώσεις ἰδεῖν.* Gu.

617. *ὦ κασίγνηται: ἄφατος ἡ οἰκονομία.* M.

ἔχθιστος: πάνυ μεμισημένος. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *μισητὸς, ὡς κατ' αὐτῶν στρατεύσας.* Gu.

618. *ἀλλά: ἀντὶ τοῦ κἄν.* I. *κἄν.* Gr. Florr. iidem. *ἀντὶ τοῦ κἂν σύ· οὕτως γάρ.* M. *εἰ καὶ μὴ ὁ πατὴρ καὶ αἱ ἀδελφαί μου· σὲ γὰρ εἰσορῶ.* Gu.

χαρτά: ἐν ἤθει τοῦτο· Ἰοκάστη, ἐπεὶ εἶπεν αὐτῇ χαῖρε, χαρᾶς, φησὶν, ἄξια πάσχω, τέκνον. ὁ δὲ λόγος ἐν εἰρωνείᾳ μετὰ ἤθους. B. M.T. Fl. 33.

χαρτὰ γοῦν: εἰ μὲν κατ' ἀπόφασιν τοῦτο ἐρεῖς, κατ' εἰρωνείαν ὁ λόγος, εἰ δὲ κατ' ἐρώτησιν, οὐ κατ' εἰρωνείαν. Gu. Bar.

619. *οὐκέτ' εἰμί: ἤγουν τὸ ἀπὸ τοῦ δεοὺκ ἄν με ὄψει· ἄπειμι γάρ.* Gu. Bar.

εἰς πόλλ' ἄθλια: ἀντὶ τοῦ κατὰ πολλὰ ἀθλία γέγονα ἐγώ. M. *πατέρα γὰρ τὸν σὸν παρὰ τὴν τῶν θεῶν βουλὴν συλλαβοῦσα ἔτεκον. τοῦτό μοι πρῶτον τῆς ἀθλιότητος. ἔπειτα συνῆλθον αὐτῷ παρανόμως, καὶ τυφλὸν εἶδον, καὶ πρόσθεν τὴν σὴν ἀπουσίαν ἤνεγκα, καὶ νῦν ὁρῶ πολεμοῦντας ὑμᾶς ἀλλήλοις καὶ τὸν περὶ ψυχῆς κινδυνεύοντας. ἆρα ἔστι τις ἀθλιώτερος βροτῶν;* Gu. Bar.

621. *ποῦ ποτε: κατ' ἐρώτησιν, ἀντὶ τοῦ ἐπὶ ποίῳ μέρει παρατάξῃ, ἵνα κἀγὼ ἐκεῖ παρατάξωμαι;* A.B.M.I.

622. *ἀντιτάξομαι: ἐπὶ τῷ κτενεῖν σε.* Gr. Fl. 5. 6. 9. 21. 56. 76. *εἰ μὲν τὸ κτανων βαρύνεις, ἀντιστρόφως συντάξεις κατά τινας*

10. *ἐν ἤθει—*] Fragmentum hujus scholii est in I. *ἐν ἤθει. ἄξια χαρᾶς πάσχω τέκνον.*

ib. *ἐν ἤθει τοῦτο*] *ἐν ἤθει δὲ τὸ ἑξῆς* B.

ib. *Ἰοκάστη* om. Fl.

ib. *ἐπεὶ εἶπεν αὐτῇ* B. *ἐπεὶ αὐτὴ* (*αὐτὴν* T.) *εἶπε* M.T.

ib. *χαρᾶς—μετὰ ἤθους*] Pro his in B. leguntur verba *ὅ ἐστι μέχρι θανάτου—ὀνομάζειν κάρα*, quae vide ad v. 615. Eadem verba in M. adscripta sunt verbis *οὐκέτ' εἰμὶ παῖς σός* v. 619.

11. *φησὶν*] *οὖν* M.T.

ib. *μετὰ ἤθους*] *τὸ ἦθος καὶ παθητικώτερον* M.

18. *βουλὴν*] *βούλησιν* Bar.

20. *τὴν σὴν*] *τὴν* om. Gu.

23. *ἀντὶ τοῦ*] *ὅτε* I., om. A.

ib. *ἐπὶ ποίῳ μέρει παρατάξῃ*] *ἐν ποίῳ τόπῳ παρατάττῃ* B.I.

26. *κτανών*] In textu Gu. *κτένῶν* cum duplici accentu, in scholio *κτανῶν*.

λέγων ἀντιταχθεὶς κτενῶ σε· οὐ γὰρ ἄλλως ἔστιν εἰπεῖν· πρῶτον γὰρ ἀντετάχθη, εἶτα καὶ τὸν φόνον εἰργάσατ' ἄν. ἔστι δὲ ἡ τοιαύτη σύνταξις ψυχρά. εἰ δὲ περισπάσεις, οὕτω πως εἴποις, ἀντιτάξομαι κτανῶν καὶ φονεύσων σὲ, ὅπερ εἰς μέλλοντα δεύτερον κανονίζεται. ἔνεστι δὲ καὶ τὴν βαρεῖαν μὴ ἐναλλάξαντα συντάξαι βεβιασμένως καὶ οἷον παρακεκινδυνευμένως, ὅπερ ἔστι κρεῖττον ἤσπερ φασὶν ἐναλλαγῆς ἕτεροι. ἐπειδὴ γὰρ τοῦ κτεῖναι αὐτὸν ἐπεθύμει, διὰ τοῦτο παρῳχημένως τοῦτο ἐξήνεγκε, παριστῶν ἣν ἔχει πρὸς τοῦτο ἐπιθυμίαν· οἱ γὰρ περί τι ἐρωτικῶς διακείμενοι, εἰ καὶ μὴ τὸν αὐτῶν τελέσουσιν ἔρωτα, ἀλλ' ὥσπερ ποιήσαντες οὕτω διάκεινται. Gu. τοῦδ' ἔρως ἔχει: καὶ ἐγὼ τούτου ἐρῶ, τοῦ ἀντιτάξασθαι δηλονότι ἐπὶ τῷ κτενεῖν (κτανεῖν Gr.) σε. Gr. Fl. 5. 6. 9. 21. 56. 76. ἐπιθυμία. M.

623. αὐτὸ σημανεῖ: τὴν πρᾶξιν, ἣν ποιήσομεν, αὐτὸ δηλώσει τὸ πρᾶγμα, ἡνίκα ἀντιταχθῶμεν ἀλλήλοις. Bar. Gu.

624. πατρὸς οὐ φεύξεσθ': ἀποφαντικῶς, ἀντὶ τοῦ, ἐὰν μαχήσεσθε, πάντως ἀπολεῖσθε. A.B.M. Fl. 33. I.

ἐρινῦς: τὰς βλαβερὰς κατάρας. B.M. ἤγουν τὰς ἀρὰς, ἃς ὑμῖν ἠράσατο. σπεύδοντες γὰρ ἀλλήλους φονεῦσαι οὐ ταύτας φεύξεσθε. εἰ δὲ κατ' ἐρώτησιν εἴποις, οὕτως ἐρεῖς· οὐ φεύξεσθε τὰς ἐρινῦς τοῦ πατρός; τουτέστιν, οὐ πάντα τρόπον σπουδάσετε ἔξω τῶν ἀρῶν γενέσθαι; τοῦτο δ' ἂν γένοιτο, εἰ τοῦ πολεμεῖν παύσεσθε. ἐριννῦς δὲ ἐνταῦθα λέγει τὰς διὰ τῶν ἀρῶν ἐπαγομένας αὐτοῖς φθορὰς, ἐκ μεταφορᾶς τῶν φθοροποιῶν Ἐριννύων. Bar. Gu.

ἐρρέτω: φθειρέσθω πᾶσα ἡ γενεά. Gr. ἀπὸ τοῦ νῦν οὐ φροντίζω τοῦ οἴκου, ἀλλὰ χρήσομαι τῷ ξίφει, καὶ ἴσως οὐκ ἔσται ἀργόν. Bar. Gu. τὸ ἔρρω ἐνεργητικὸν ὂν ῥῆμα παθητικὴν σημασίαν ἔχει· οὐδὲ γὰρ ἀντὶ τοῦ φθείρω, ἀλλ' ἀντὶ τοῦ φθείρομαι κεῖται. καὶ τὸ ἐρρέτω ἀντὶ τοῦ φθειρέσθω. Fl. 21. πρόπας δόμος: εἰ βούλει, ἡ πρό περισσή. Fl. 59.

9. αὐτῶν Matth. pro αὐτόν.
15. ἀποφαντικῶς] ἀποφαντικὸν A.
ib. ἀντὶ τοῦ] ὅτι I., om. A.
16. πάντως] πάντων A.
ib. ἀπολεῖσθε Fl. 33. ἀπόλυσθε M. ἀπόλλυσθε A.B.I.
18. σπεύδοντες—] Conjunxi auctoritate cod. Gu. quae King. in tria discerpsit: σπεύδοντες—παύσετε. τὰς ἀρ.—ἠράσατο. Ἐριννῦς—Ἐριννύων. E Gu. etiam recepi εἰ δὲ κ. ἐρ. εἴποις pro εἴπῃς, σπουδάσετε pro σπουδάσεται, τοῦτο δ' ἂν γένοιτο pro τ. δ' ἂν γένηται, παύσεσθε pro παύσετε. Pro φθοράς Gu. συμφοράς. MATTH.
24. φθειρέσθω] φθαρήτω Bar. et Gu.

625. ὡς τάχ᾽: ὅτι ἴσως. Gr. Cant. ὡς ὄντως. M. αἱματηρόν: ὥστε γενέσθαι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἀργήσει: οὐκ ἄπρακτον μενεῖ. M. οὐκέτι ἀναίμακτον μενεῖ. M. Gu. Fl. 33.

626. γαῖαν: γρ. πάτραν. B.M. μαρτύρομαι: μάρτυρας προβάλλομαι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

628. ἀλλ᾽ οὐχί: ὁ ἀλλά ἀντὶ τοῦ καί. B.M. Gu. Fl. 33.

629. κἂν τί σοι: καὶ ἐάν τι δέ σοι συμβῇ κακὸν ὑπ᾽ ἐμοῦ, ὦ πόλις, μὴ ἐμὲ αἰτιῶ, τόνδε δὲ, ἤγουν Ἐτεοκλέα. οὕτω χρὴ γράφειν τὸν στίχον, καὶ οὕτω συντακτέον, οἱ δὲ τὸ ο μεγεθύνοντες καὶ τὸ δέ ἀφαιροῦντες τὸ δεύτερον οὐκ ἴσασι τὰ περὶ τῶν μέτρων. Bar. καὶ ἐάν τι δέ σοι συμβῇ κακὸν ὑπ᾽ ἐμοῦ, ὦ πόλις, μή με τούτων αἰτιῶ, ἤγουν αἴτιον νόμιζε. ὅμοιον τῷ "κοινὰ δ᾽ εἴ τι πείσεθ᾽ ἑπτάπυργος ἅδε γᾶ." Bar. Gr. τὸ τῶνδε εἰ μὲν μέγα γράψεις, οὕτως εἴποις· μὴ αἰτιῶ καὶ αἴτιον ἡγοῦ, ὦ πόλις, ἐμὲ τῶνδε ὧν μέλλεις παθεῖν· εἰ δὲ μικρὸν, οὕτως· μὴ αἰτιῶ ἐμὲ ὧν μέλλεις παθεῖν δηλονότι, τὸν δὲ αἰτιῶ. ἔστι δὲ ἀσύνδετον. Gu. κἂν τί σοι συμβῇ, ὦ πόλις, κἂν πορθηθῇς. τοῦτο δὲ καλεῖται μαρτύριον. M. Fl. 33.

631. ἀγυιεῦ: προπύλαιε. τὸν ἀγυιέα πρὸ τῶν πυλῶν ἵστασαν. κίων δὲ οὗτος ἦν εἰς ὀξὺ ἀπολήγων. ἐπεὶ πρὸ τῶν πυλῶν ἵστασαν ἀγάλματα τοῦ Ἀπόλλωνος ὡς ἀλεξικάκου δεσπότου καὶ φύλακος τῶν ὁδῶν. διὰ γὰρ τοῦτο ἀγυιεύς. A.C.M.T. ἐν τοῖς προπυλαίοις καὶ οἰκήμασιν ἱδρυμένε, ὅτι τὸν ἀγυιέα πρὸ πυλῶν ἵστασαν. κίων δὲ οὗτος ἦν εἰς ὀξὺ λήγων. I.

ἀγυιεῦ: εἰώθασιν οἱ παλαιοὶ ἐν τοῖς στενωποῖς τὸν Ἀπόλλωνα γράφειν· εἰ γὰρ οὗτος ἀλληγορεῖται εἰς ἥλιον, ὁ δ᾽ ἀνίσχων πρώτοις προσβάλλει τοῖς στενωποῖς, εἰκότως τοῖς προπυλαίοις ἀγάλματα

9. οὕτω χρὴ—] Annotatio Triclinii.

13. ὅμοιον τῷ] 251.

17. ὦ om. Fl.

19. τὸν ἀγυιέα] ἀγυιεῦ C.

ib. ἵστασαν] ἔστασαν A.C.M. ἔστησαν Fl. 33.

20. ἀπολήγων M. καταλήγων A.C.T. λήγων Fl.

ib. ἵστασαν] ἔστασαν A.C.M. ἔστησαν Fl.

21. τοῦ Ἀ.] τοῦ om. C. Fl.

ib. δεσπότου om. A.M. Fl.

22. γὰρ om. Fl.

ib. ἀγυιεύς] Pergit Fl. ἀγυιεῦ Ἀπόλλων ὁ ἐν ταῖς ἀγυιαῖς προπύλαιος ἱδρυμένος ἀλεξίκακος φύλαξ τῶν ὁδῶν, ὅτι τὸν ἀγ. πρὸ τῶν ὁδῶν ἔστησαν, κίων δὲ ἦν οὗτος εἰς ὀξὺ λήγων.

23. ὅτι τὸν—ὀξὺ λήγων] Haec etiam in B., sed a manu paullo recentiore.

Ἀπόλλωνος ἀγυιέως ἵστασαν. Bar. Gu. ἃ καὶ ἐκαλοῦντο Ἀπόλλωνος ἀγυιέως ἀγάλματα. Bar.

632. δεξίμηλα: τὰ δεχόμενα τὰς θυσίας. M.I.

634. ἐλπίδες δ' οὔπω: πρῶτον μὲν ἐλπίδας εἶχον περὶ τοῦ δόμου ἀβεβαίους καὶ σκοτεινὰς, νῦν δὲ οὐ καθεύδουσιν αὗται, ἤγουν οὐκ ἄδηλοί εἰσιν, ἀλλὰ προφανεῖς καὶ βέβαιοι. Bar. Gu. Leid. καθεύδουσ': ὑπνοῦσιν. Gr. οὔπω καθεύδουσ': ἀλλὰ γρηγοροῦσιν, ἀπαγορεύουσιν, ἐκβέβληνται. Gu.

637. νεικέων ἐπώνυμον: παρετυμολογεῖ τὸ ὄνομα Πολυνείκους. ὄνομα νεικέων φερώνυμον, τουτέστιν ἀπὸ τῶν νεικέων τὴν ἐπωνυμίαν λαβόν. I.

638. Κάδμος: ὁ Κάδμος ἦλθεν εἰς τήνδε τὴν γῆν ὁ Τύριος, οὗ χάριν ἡ τετράπους μόσχος ἔρριψεν ἑαυτὴν αὐτόματον πτῶμα, μὴ ὑπό τινος πληγῆς γεγονὸς, διδοῦσα τέλος φέροντα τὸν χρησμὸν, ὅπου οἰκεῖσθαι ἐποίησε. πεδία δὲ σιτοφόρα τῶν δόμων ὁ χρησμὸς ἔχρησε, γενέσθαι δηλονότι, ὅπου τε ἡ καλλιπόταμος νοτὶς τοῦ ὕδατος τῆς Δίρκης ἐπέρχεται τὰς βοτανηφόρους αὔλακας τῆς γῆς καὶ βαθυσπόρους, ἔνθα τὸν Διόνυσον ἔτεκεν ἡ μήτηρ αὐτοῦ ἡ Σεμέλη διὰ τοῦ γάμου τοῦ Διός, ὅντινα τὸν Διόνυσον εὐθὺς ἔτι βρέφος ὄντα κισσὸς φύσιν ἔχων ἑλίσσεσθαι κύκλῳ ἐσκέπασε, μακάριον δείξας, κλάδοις χλοηφόροις κατασκίοις. κισσός δὲ εἰπὼν ἐπάγει βακχεῖον χόρευμα, ἤγουν λέγω χόρευμα βακχικὸν τῶν παρθένων τῶν Θηβαίων, καὶ τῶν γυναικῶν τῶν εὐίων, ἤγουν τῶν βακχικῶν. Gr. Florr. I.

Κάδμος ἔμολε τάνδε γᾶν: Κάδμος ζητῶν τὴν ἰδίαν ἀδελφὴν Εὐρώπην μαντεῖον ἔλαβε περὶ τῆς ἀδελφῆς οὐδὲν αὐτῷ σημαῖνον, ἀλλ'

6. προφανεῖς] προσφιλεῖς Bar.

9. παρετυμολογεῖ τὸ ὄνομα Πολυνείκους etiam in M.

12. ὁ Κάδμος ἦλθεν—] In I. haec et proximae paraphrases (656. 676.) leguntur post schol. v. 683.

14. γεγονὸς] πτῶμα hic quoque addit I.

15. ἐποίησε. πεδία δὲ σ.] Sic Gr. et haud dubie Bar.. Florentini omnes et I. ἐποίησε πεδία τὰ σ. Quod post γεγονὸς addit πτῶμα I. deest in Gu. in quo continua haec exhibentur, sed inter versus eadem manu scriptum est μὴ ὑπό τινος πληγῆς γεγονὸς πτῶμα. Hinc error natus. MATTH.

19. ἔτι om. Gr. Conf. p. 182, 21.

23. βακχικῶν] τῶν τῷ εὐοῖ—ἔστι δὲ ὕμνος εἰς διόνυσον—ᾀδουσῶν addunt Florentini. MATTH.

24. ἰδίαν addidi ex M.

25. τῆς ἀδελφῆς] αὐτῆς B.I.

ib. οὐδὲν αὐτῷ σημαῖνον] Sic solebat Apollo Delphicus ad id, quod quaerebant, non dare responsum consulentibus: Cadmus, πρὸς ὃ μὲν ἤρετο, ἤκουσεν οὐδὲν, inquit Eustath.

ὥστε αὐτὸν ἐξελθόντα ἕπεσθαι βοΐ, καὶ οὗ δ' ἂν αὐτόματος πέσῃ κτίζειν πόλιν. ἔχει δὲ ὁ χρησμὸς τοῦ Πυθίου θεοῦ οὕτως·

Φράζεο δή μοι μῦθον, Ἀγήνορος ἔκγονε Κάδμε·
ἠοῦς ἐγρόμενος προλιπὼν ἴθι Πυθὼ δῖαν,
ἠθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσὶ,
τὴν διά τε Φλεγυῶν καὶ Φωκίδος, εὖτ' ἂν ἵκηαι
βουκόλον ἠδὲ βόας κηριτρεφέος Πελάγοντος.
ἔνθα δὲ προσπελάσας συλλάμβανε βοῦν ἐρίμυκον
τὴν ἥ κεν νώτοισιν ἐπ' ἀμφοτέροισιν ἔχῃσι
λευκὸν σῆμ' ἑκάτερθε, περίτροχον ἠΰτε μήνης·

in Il. B. p. 204, 27. Oedipus Sophoclis v. 798, πορεύομαι Πυθώδε· καί μ' ὁ Φοῖβος ὧν μὲν ἱκόμην, ἄτιμον ἐξέπεμψεν· scholiastes: περὶ ὧν γὰρ ἀπῆλθεν, οὐκ εἶπεν. Regi Theraeorum χρεωμένῳ περὶ ἄλλων χρᾷ ἡ Πυθίη κτίζειν ἐν Λιβύῃ πόλιν· Herodot. 4, 150. idem evenit Batto, c. 155. Tisameno, 9, 32. hunc morem ore liberrimo sacerdotibus objicit Oenomaus ap. Euseb. Προπαρ. 5, p. 220 D. οὐδὲν εἰπὼν ὧν ἕνεκα ἦσαν ἀφιγμένοι (οἱ Κνίδιοι) ἀπέπεμψας οἰομένους ἀκηκοέναι τι. VALCK.

1. ἀλλ' ὥστε] ἄλλως A. ἀλλ' ὡς C.

ib. βοΐ] βοῦν A.

ib. αὐτόματος] αὐτόματον M. αὐτομάτως A.C. et schol. Gu. p. 179, 15.

2. χρησμὸς δοθεὶς τῷ κάδμῳ praescriptum in I. Tres primos oraculi versus attulit Tzetza Hist. 10, 454. 12, 112. Oraculum totnm scholiis in Aristoph. Ran. 1496. apud Aldum editis a. 1496. inseruit Musurus ex scholiis in Euripidem tum nondum editis. Quamobrem scripturae diversitatem sigla "Mus." significatam notamus, quae partim codici quo usus est Musurus partim ipsius conjecturis debetur.

ib. θεοῦ om. I.

3. δή μοι μῦθον Mus. δὴ μῦθον M. B.I. δὲ μῦθον A.C. δὴ τὸν μῦθον Tzetza. Antiqua scriptura haud dubie δὴ μῦθον fuit, cui Tzetza τὸν, Musurus μοι ex conjectura addidit.

4. ἠοῦς ἐγρόμενος προλιπὼν] ἰοῦς ἀγρόμενος προλιπόμενος C. ἀγρόμενος etiam A.

5. ἠθάδ' Musurus. ἔνθα δ' A.B. C.M. et Tzetza. ἐνθάδ' I.

6. τὴν] In τὴν subaudiendum ὁδὸν, qua nulla frequentior est ellipsis: in hac historia Pausanias 9, 12, 1. ἀπιόντι (scribendum ὡς ἀπιόντι) ἐκ Δελφῶν Κάδμῳ τὴν ἐπὶ Φωκέων βοῦς γένοιτο ἡγεμὼν τῆς πορείας. ex oraculo corrigendum puto τὴν διὰ Φωκέων. Apollodor. 3, 4, 1. et ex Apollod. schol. Hom. ad init. Boeotiae de Cadmo: διὰ Φωκέων ἐπορεύετο. VALCK.

ib. διά τε Φλεγυῶν (φλεγιῶν A. φλεγγιῶν C.) καὶ Φωκίδος] διά τε φωκίδος καὶ φλεγύων B. et omisso τε I.

ib. εὖτ' A.C.M. ἔστ' ceteri.

ib. ἵκηαι] ἵκν cum compendio super ν A.

8. συλλάμβανε] συλλαμβάνου M. ξυλλάμβανε I. λάμβανε A.C.

ib. ἐρίμυκον] ἐρίμικον C.

9. τὴν om. C. abfuitque haud dubie ab codice Musuri, qui δὴ post ἥ κεν inseruit haud dubie ex conjectura.

ib. νώτοισιν] νωτεῖσσῖν (sic) C. νήτοκιν (sic) A.

10. σῆμ'] σχῆμ' Mus.

ib. ἑκάτερθε] ἑκάτερθεν C.

ib. περίτροχον] περίδρομον B.I. περίπλοκον Mus. "De tribus his positum videtur antiquitus περίτροχον,

τήνδε σὺ ἡγεμόνα σχὲ περιτρίπτοιο κελεύθου.
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς, οὐδέ σε λήσει·
ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο
ἵζηται κλίνῃ τε πέδῳ γόνυ ποιήεντι,
καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
ἁγνῶς καὶ καθαρῶς, γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς,
ἔχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν,
δεινὸν Ἐνυαλίου πέμψας φύλακ' Ἄϊδος εἴσω.
καὶ σύ γ' ἐπ' ἀνθρώπους ὀνομάκλυτος ἔσσεαι αὖθις,
ἀθανάτων λεχέων ἀντήσας, ὄλβιε Κάδμε.

ταῦτα ἀκούσας ὁ Κάδμος ἀφίκετο εἰς τὸ βουκόλιον τοῦ Πελάγοντος τοῦ Ἀμφιδάμαντος, παρ' οὗ ἀγοράσας βοῦν καὶ ἡγεμόνα ταύτην τῆς ὁδοῦ ποιησάμενος κτίζει τὰς Θήβας ὁμωνύμους τῶν Αἰγυπτίων Θη-

quomodo restituendum monuit Tollius ad Palaeph. p. 171. Oraculi pater, forte Mnaseas in Europiacis, transcripsit ex Homeri Il. Ψ versus aliquot: equum poëta memorat Il. Ψ, in cujus fronte 455. λευκὸν σῆμ' ἐτέτυκτο περίτροχον ἠΰτε μήνης. Ubi Tryphiodoro Luna dicitur v. 509. κυκλώσασα περίτροχον ὄμματος αὐγὴν, alia dedit Merrickius. Versus oraculi 10. σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς, οὐδέ σε λήσει, totidem literis scriptus est 326 istius Iliadis. Sequitur, βοὸς κέρας ἀγραύλοιο· Hom. Il. Ψ, 780, κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο. e quibus ista, μετὰ χερσὶν ἔχων, adhibuit noster ad versum oraculi tertium implendum: sed Homereum κέρας βοὸς ἀγραύλοιο vide mihi quaeso quam egregie transtulerit, sive cyclicus poëta seu Mnaseas. E Mnasea petitum oraculum in scholiis legitur ad Phoen. 411." VALCK.

P. 177. l. 10. μήνης] μήνη C. μόνης M.

1. τήνδε (τῆνδε B.) σὺ] τὴν δέ σοι A.C. τὸν δέ σοι M.

ib. ἡγεμόνα] ἡγεμόνος A.C.T.

ib. σχὲ B.I. σχεῖν Mus. γε A.T. θέσθαι M., om. C.

ib. περιτρίπτοιο] περιτρεπτοῖο A.C. ἀτρέπτοιο Musurus.

2. ἐρέω] ἐξερέω I.

ib. μάλ] μάλλ' M.

3. ἔνθα κε] ἔνθα καὶ M. ἔνθα δέ B. ἐνθάδε I.

ib. πρώτιστα] πρώτιστε C.

4. ἵζηται] ἵξηται C.

ib. κλίνῃ] κινῇ M. κινεῖ A.C.

ib. ποιήεντι om. C.

5. ἔπειτα] ἔπεστα (sic) A.

ib. μελαμφύλλῳ] μελαμφύλῳ A. M. μελαμφίλῳ C.

6. ἁγνῶς] ἀγῇ A. ἁγνῶς καὶ abscissum in C.

7. ὄχθῳ] ὄζῳ A.C.

ib. κτίζειν] κτίζει C.

ib. εὐρυάγυιαν] εὐρυάγειαν I. εὐρυάγγιαν C.

9. καὶ σύ γ' ἐπ' ἀνθρώπους] καὶ σύ γ' ἐπ' ἀνθρώπων I. καὶ σὺ ἐν (ἐπ' A.) ἀνοίσ A.C.

ib. ἔσσεαι] ἔσεαι A.C.M.

10. ἀντήσας Mus. αἰτίας A.C. ἀντιάσας B.M.I. et ut opinor T.

12. τοῦ Ἀ.] τοῦ om. A.

ib. παρ' οὗ ἀ.] καὶ ἀ. I.

ib. καὶ ἡγεμόνα—τῆς ὁδοῦ] καὶ et τῆς om. C.

13. ὁμωνύμους] ὁμωνύμως M.I. ὁμωνύμας A.

βῶν, ἐπεὶ τὸ ἀνέκαθεν Αἰγύπτιος ἦν ὁ Κάδμος. καὶ ἡ Βοιωτία δὲ ἀπὸ τῆς βοὸς ἐκλήθη. A.B.C.M.T.I.

Κάδμος πεμφθεὶς ὑπὸ τοῦ πατρὸς Ἀγήνορος ζητῆσαι τὴν ἀδελφὴν αὐτοῦ Εὐρώπην σὺν τοῖς ἀδελφοῖς, καὶ μὴ εὑρὼν αὐτὴν, εἰς τὸ μαντεῖον τοῦ Ἀπόλλωνος ἐν Πυθοῖ παραγίνεται, πυνθανόμενος ποῦ ὀφείλει κατοικεῖν· ὁ δὲ ἔφη, ὅπου καθίσει ἡ βοῦς αὕτη, ἐκεῖ κτίσον πόλιν. καὶ δὴ ἐξελθὼν τοῦ μαντείου εὗρε βοῦν, καὶ ἠκολούθησεν αὐτῇ, καὶ εἰς Θήβας ἔθηκε, καὶ ἐκεῖ ᾠκοδόμησε τὰς Θήβας· θήβα γὰρ Συριστὶ λέγεται ἡ βοῦς. C.

Εὐρώπης ἁρπασθείσης ὑπὸ Διὸς ταύρου γεγονότος καὶ ἀπαχθείσης εἰς Δικταῖον ἄντρον τῆς Κρήτης, Ἀγήνωρ ὁ ταύτης πατὴρ ἀγνοῶν τὸ συμβὰν ἔπεμψε τοὺς ἀδελφοὺς αὐτῆς κατὰ ζήτησιν. ἄλλων οὖν ἄλλοσέ πη ἰόντων Κάδμος ἐλθὼν εἰς τὸν Πύθιον αἰτεῖται μαντεῖον περὶ τῆς ἀδελφῆς. καὶ ὃς αὐτῷ μὲν οὐδὲν περὶ τούτου ἔχρησεν, ἐξελθόντα δὲ ἕπεσθαι βοῒ, καὶ ὅπη ἂν ἐκείνη αὐτομάτως καὶ μηδενὸς δαμάσαντος πεσεῖται, πόλιν ἀνεγείρειν ἐκεῖ. ἀκούσας οὖν Κάδμος ἀφίκετο εἰς τὸ βουκόλιον τοῦ Πελάγοντος, ἀφ' οὗ πριάμενος βοῦν, καὶ ἡγεμόνα ταύτην τῆς ὁδοῦ ποιησάμενος, ἔνθα πέπτωκεν αὕτη, κτίζει τὰς Θήβας, ὁμωνύμους τῶν Αἰγυπτίων Θηβῶν· Αἰγύπτιος γὰρ ἦν τὸ ἀνέκαθεν Κάδμος. ἀπὸ δὲ τῆς βοὸς ταύτης καὶ ἡ Βοιωτία τοὔνομα ἔσχε. Gu.

τάνδε γᾶν: λείπει εἰς, εἰς τήνδε γῆν. λέγει δὲ τὰς Θήβας. M.

639. Τύριος: οὐδέπω ἐκαλεῖτο Φοινίκη, ὅτε κατέλιπεν αὐτὴν ὁ Κάδμος, ἀλλὰ Τύρος. μετὰ ταῦτα ἀπὸ Φοίνικος τὴν προσηγορίαν ἔσχεν, ὡς καὶ αἱ λοιπαὶ πόλεις ὁμοίως ὠνομάσθησαν ἀπὸ τῶν ἀδελφῶν. C. ᾧ: ἤγουν οὗ χάριν. Gr. τετρασκελής: ἡ τετρασκελὴς μόσχος. M. ἤγουν τετράπους. Gr.

1. δὲ om. C.

2. τῆς β.] τῆς om. A.C.

3. Κάδμος πεμφθεὶς—] Haec usque ad τῶν ἀδελφῶν (schol. v. 639.) in C. non inter scholia leguntur, sed inter Argumenti fabulae enarrationes fol. 58 a.

7. καὶ εἰς Θήβας ἔθηκε] Videntur excidisse nonnulla: scripserat forte grammaticus: καὶ εἰς Θήβας (locum deinceps sic dictum) ἦλθε, καὶ ὤκλασε· in simili nullius momenti scholio ad Aeschyli Theb. v. 492, ἦλθεν εἰς Θήβας, ὤλισθεν ἡ βοῦς, καὶ ὁ Κάδμος ἐκεῖ ᾤκησε. Quod de Syriaca vocis Θηβά significatione traditur, invenerat apud Etymologum et ridet Sam. Bochartus Geogr. S. P. 2, 2, 14. Conf. 1, 14. VALCK.

11. Δικταῖον] δίκτεον Gu.

23. Τύριος om. C.

24. Τύρος] τύρις C.

640. ἀδάμαστον πέσημα: τὸ μὴ ὑπό τινος ἠναγκασμένον πτῶμα, ἀλλ' αὐτορριφές. πέσημα δὲ τὸ πτῶμα τοῦ σώματος. Ἄλλως. ἀδάμαστον ἀντὶ τοῦ αὐτόματον ἔβαλε τὸ σῶμα ἐπὶ τὴν γῆν· δικεῖν γὰρ τὸ βαλεῖν, ὅθεν καὶ δίσκος. τινὲς δὲ ἀδάμαστον πέσημα τὸ μηδέπω δαμασθὲν ζεύγλῃ σῶμα. ἐμφαίνει δὲ τὸν νέον μόσχον. A.B.C.M.I.

641. δίκε: ἔρριψεν. M. Gu. ἔπεσε. B. rec. κατέβαλε. καὶ ἐν Βάκχαις "δίκετε τρομερὰ σώματα." A.B.M.I. ἔρριψεν, ἑαυτὴν δηλονότι, ἔπεσεν. Gr. τελεσφόρον διδοῦσα: τέλεον διδοῦσα ἡ μόσχος. M. ἡ μόσχος δηλονότι· θηλυκῶς γὰρ εἶπεν. M. τέλος φέροντα. Gr. πεπληρωμένον, τέλειον. Gu.

642. οὗ κατῴκισε: ὅπου κατῳκίσθη πόλις. Ἄλλως. ἐνταῦθα ἔπεσεν ὅπου κατῴκισε Κάδμος τὴν πόλιν. A.B.C.M.I. ἐν ἐνίοις τῶν ὑπομνημάτων ἀντὶ τοῦ "οὗ κατῴκισε" κατοικίσαι. ὁ δὲ λόγος, πλεονάζοντος τοῦ μέν, οὕτως· οὗ κατοικίσαι μὲν καὶ οἱονεὶ κτίσαι τὰ πεδία τῶν δόμων ὁ θεὸς ἐμαντεύσατο, ἔνθα ἡ τῆς Δίρκης πηγὴ καταρδεύει τὰς γύας. A.B.C.M.I.

οὗ κατῴκισεν: οὗ οἰκεῖσθαι ἐποίησεν. τοῦτο κατὰ σύνταξιν οὐ συνδεῖται τῷ προτέρῳ, ἀλλ' ἔστι κομματικὸν, συναπτομένου τοῦ κατῴκησε πρὸς τὸ ὄπισθεν. ἢ πρὸς τὸ χρησμὸν στίξον, καὶ κομμα-

2. αὐτορριφές] αὐτοριφές B.
ib. τὸ πτῶμα—ἀδάμαστον ἀντὶ τοῦ M. πτῶμα ἀπὸ (ἀντὶ C.) τοῦ παρεπομένου. ἄλλως. ἀδάμαστον ἀντὶ τοῦ A.C. τὸ σῶμα ἀπὸ τοῦ παρεπομένου. ἢ ἀντὶ τοῦ B.I.
3. ἔβαλε τὸ σῶμα B.M. ἔβαλλε τὸ σῶμα I. ἔβαλε τὸ πτῶμα A.C.
ib. δικεῖν] δείκει (sic) A. δίκειν ceteri.
4. βαλεῖν A. βάλλειν ceteri.
ib. ὅθεν καὶ] ὥσπερ καὶ A.C.
ib. δὲ A.C. δὲ τὸ B.M.I.
7. δίκε] ἄλλως praefixum in A.M.
ib. κατέβαλε] ἔβαλλε M. εἴσβαλλε A.
8. Βάκχαις] 557. Quo loco etiam Etym. M. utitur s. v. Δίσκος.
12. πόλις] ἡ πόλις C.
13. ὅπου] ἄλλως (omisso lemmate) praefixum in C.M. in quibus hoc scholion infra legitur post τὰς γύας. Contra in C. ἄλλως post πόλις est omissum. In I. postrema tantum leguntur ἐνταῦθα—τὴν πόλιν. In B. est etiam gl. rec. ἤγουν κατῳκίσθη ἢ ἀντὶ τοῦ κατοικίσαι.
14. ἀντὶ τοῦ] αὐτοῦ A.C.M. Idem C. κατῴκησε (ut l. 13.) et κατοικῆσαι: sed M. κατῴκισε, κατοικῖσαι (sic).
15. οὕτως] ἀντὶ τοῦ I.
ib. κατοικίσαι] κατοικῆσαι A.C.
16. πεδία] παιδία C.
ib. ἡ τῆς] καὶ τῆς A.
17. καταρδεύει] καταδεύει C.M.
ib. τὰς γύας (γυίας A.I.)] Hoc si scripsit scholiasta hic et ad v. 643. contra morem veterum scripsit, qui τοὺς γύας dicebant.

τικῶς, ἀρξάμενος ἀπὸ τοῦ "*οὗ κατῴκησε*" *σύναψον τοῦτο πρὸς τὸ* "*πεδία μὲν τὸ θέσφατον,*" *λέγων οὕτως· οὗ καὶ ὅπου κατῴκησεν ὁ* Κάδμος, *ἔχρησε τὸ θέσφατον καὶ ἡ μαντεία πεδία δόμων πυροφόρων, τουτέστι γῆν πίονα καὶ ἱκανὴν τοὺς ἐνοικοῦντας αὐτῇ τρέφειν.* Gu.

643. *πεδία μέν: τοῦτο ἀπ' ἄλλης ἀρχῆς· κεῖται γὰρ νῦν ὁ μέν ἀντὶ τοῦ δέ, ἵν' ᾖ, πεδία δὲ τὸ θέσφατον ἔχρησε πυροφόρα ἔσεσθαι.* Ἄλλως. *πεδία δόμων δι' ὧν αἱ συστάσεις τῶν δόμων ἔσονται. ὁ δὲ νοῦς οὕτως, τὸ θέσφατον δὲ ἔχρησεν ἐκεῖ τοὺς ἀγροὺς γενέσθαι, ὅπου ἡ καλλιπόταμος νοτὶς ἐπινέμεται τὰς γύας τῆς Δίρκης.* A.B.C.M. I. *τῆς δὲ πόλεως κτισθείσης καὶ τὴν χώραν πυροφόρον ἔσεσθαι ὁ χρησμὸς ἐσήμηνε διὰ τοῦ τῆς Δίρκης ὕδατος. ἐμφαίνει δέ τινα ποταμὸν ὑπὸ τῆς Δίρκης ἀποτελεῖσθαι Δίρκην ὁμωνύμως καλούμενον. ὁ δὲ νοῦς οὕτως, ἔνθα τὸ καλλιπόταμον ὕδωρ τῆς Δίρκης ταῖς βαθυσπόροις ἐπεμβαίνει γύαις.* A.C.M.T.

644. *πυροφόρα δόμων: σιτοφόρα.* M. Gr. *σιτοποιά. δι' ὧν οἱ δόμοι συνίστανται.* Gu.

1. *σύναψον* —] Hanc partem scholii habet etiam Bar.

2. *κατῴκησεν*] *κατῴκισεν* Bar.

6. *τοῦτο ἀπ' ἄλλης*] *τοῦτο γὰρ ἀπὸ ὕλης* A.

7. *ἀντὶ τοῦ*] *ἀν* B. ut saepe.

ib. *πεδία δὲ*—*ἔσεσθαι* B.C.M. *πεδία δὲ πυροφόρα ὁ θεὸς ἔχρησεν ἔσεσθαι* B.I.

ib. *ἔσεσθαι*] *προσυπακουστέον* addit C., *προσυπακούεσθαι* T. *ἔσεσθαι προσυπαγαγέσθαι* A.

8. *πεδία δόμων* — *δόμων ἔσονται*] Haec addidi ex A.C.M.

ib. *ὁ δὲ νοῦς οὕτως τὸ* M. *ὁ νοῦς οὕτως τὸ* A.C. *ὁ νοῦς τὸ* B.I.

9. *δὲ* om. C.

ib. *τοὺς* om. I.

ib. *ὅπου*] *ἔνθα* C.

10. *γύας*] *γυίας* M.I. *γυιᾶς* C. *γᾶς* A.

ib. *τῆς Δίρκης*] *Δίρκη δὲ ποταμὸς Θήβης ὁμώνυμος τῇ πηγῇ* addunt B.I.

11. *τῆς δὲ*] *περὶ δὲ* A.

13. *ποταμὸν* om. C.

ib. *ὑπὸ*] *ἀπὸ* M.T.

ib. *ἀποτελεῖσθαι* om. C. In A. T. est *ἀποτελεῖσθαι ὑφ'* (*ἀφ'* T.) *οὗ ποταμηδὸν ῥεούσης ὅτι* (*ὅτι* om. T.) *ἀπὸ τοῦ ποταμοῦ δίρκης ὁμωνύμως καλούμενος.*

ib. *Δίρκην* addidi ex M.

14. *οὕτως* (non *οὗτος*) A.C. et ut videtur T., om. M.

15. *γύαις*] *γυίαις* M. *γαῖς* C. quod probabat Valck. cum hac annotatione "*γαῖς* ne quis in *γύαις* transmutandam putet, impediet usus recentiorum plebeius: Eustathius in Od. Θ. p. 311, 45. *οἱ Λύκιοι, ἐθέλοντες εἰπεῖν τὰς ἄνω χώρας, τὰς ἄνω γᾶς λέγουσι.* Sui temporis Lycios designat semper in talibus Eustathius: vid. ad Od. Δ. p. 176, 42. E. p. 218, 50. Il. E. p. 408, 11. Λ. p. 772, 51. Ξ. p. 959, 6. Saepius ista forma plurativa recurrit in Aquilae reliquis versionis antiqui Foederis. *Γαιῶν* semel legitur apud Herodot. 4. 198."

645. *καλλιπόταμος ὕδατος*: ἡ καλλιπόταμος νοτὶς τοῦ ὕδατος τῆς Δίρκης· Δίρκη δὲ ποταμὸς Θηβῶν ὁμώνυμος τῇ πηγῇ· ὅπου τὸ καλλιπόταμον ὕδωρ τῆς Δίρκης τὰς εὐκάρπους χώρας ἐπιβαίνει. A. C.M. ἡ καλὸν ποταμὸν ποιοῦσα τὸν Ἰσμηνόν. Gu. ὁ Ἰσμηνός. Fl. 33.

646. *νοτίς*: ἡ ὑγρασία. M. Gr. *γυίας*: γᾶς. M.

647. *χλοηφόρους*: βοτανοτρόφους. B. βοτανηφόρους. Gr.

648. *βαθυσπόρους*: εὐκάρπους χώρας. M. τὰς εἰς βάθος δεχομένας τὸν σπόρον, διὰ τὸ μεγαλόβωλον εἶναι τὴν γῆν καὶ οὐ λεπτόγεων, ὅπερ γῆς ἀρετή· ἢ βαθυσπόρους διὰ τὴν τῆς γῆς πιότητα, ἣν ἀπὸ τῶν τῆς Δίρκης ναμάτων ἔχει. Bar. Gu. ἃς Ὅμηρος ἐριβώλακας λέγει. ἔπαινος δέ ἐστι τῆς γῆς τὸ μὴ ξηρὰν αὐτὴν εἶναι, ἀλλὰ λιπαρὰν καὶ εἰς βάθος παρέχουσαν ῥιζοῦσθαι τὰ σπέρματα. Gr. Cant.

649. *βρόμιον*: ἠχητικόν. Gu. τὸν Διόνυσον. Gr. Bar. *ἔνθα τέκετο*: ἔνθα, φησὶν, ἐν Θήβῃ τὸν Διόνυσον τῷ Διὶ ἡ Σεμέλη ἐτέκετο. B.M.I. *τέκετο*: ἀντὶ τοῦ ἔτεκε. Gr. ἐγέννησεν ἡ Σεμέλη. Gu.

651. *κισσὸς ὃν περιστεφής*: ὁ πανταχόθεν αὐτὸν σκέψας· τοῦ γὰρ οἴκου κεραυνωθέντος ἐξήμβλωσεν αὐτὸν ἡ μήτηρ φοβηθεῖσα, κισσὸς δὲ περιείλιξεν. Ἄλλως. ὅντινα Διόνυσον κισσὸς ἔξωθεν περιπλακεὶς ἔτι βρέφος ὄντα κατὰ τοῦ νώτου ἐκάλυψεν. ἱστορεῖ γὰρ Μνασέας ὅτι τῶν Καδμείων βασιλείων κεραυνωθέντων κισσὸς περὶ τοὺς κίονας φυεὶς ἐκάλυψεν αὐτὸν, ὅπως μὴ αὐθημερὸν καὶ ἐν μηδενὶ τὸ βρέφος διαφθαρῇ καλυφθέν. διὸ καὶ περικιόνιος ὁ θεὸς ἐκλήθη παρὰ Θηβαίοις. A.B.C.M.T.I.

2. ὁμώνυμος] ὁμωνύμως τῶν Θηβῶν A.

ib. τῇ πηγῇ—ἐπιβαίνει om. A.

ib ὅπου] γρ. γὰρ ὅπου M.

16. ἐν Θήβῃ τὸν Διόνυσον om. M.

ib. ἐτέκετο M. ἔτεκε B.I.

18. κισσὸς ὃν περιστερής: ὁ] Sic M.C. κισσὸς δὲ ὁ B.I.

ib. πανταχόθεν] πάντοθεν A.C.

ib. σκέψας A.M. στέψας C. περισκέψας B.I. Verbo περιστέφειν utuntur schol. ad v. 649. 654.

19. ἐξήμβλωσεν] ἐξήμβλω (vel ἐξήμβλωσε) μὲν Valck.

20. περιείλιξεν] περιέλιξεν A.B.I.

ib. ἔξωθεν περιπλακεὶς] ἔξω περιτεθεὶς C.

22. ὅτι τῶν om. C.

ib. τῶν K.] τῶν om. A.

ib. βασιλείων] βασιλήων C. Haec pars scholii excerpta est in Gu. τῶν Καδμείων βασιλείων κερ. ἐξήμβλωσεν αὐτὸν ἡ μήτηρ καταφλεχθεῖσα, κισσὸς δὲ περὶ τοὺς κ. φὺς ἔτι βρέφος ὄντα κατὰ νώτου περιείλιξεν, ὅπως μὴ αὐθημερὸν ἐν μηδενὶ τὸ βρέφος διαφθαρῇ.

23. αὐτὸν] αὐτοὺς A C.M.T.

24. καλυφθέν] κισσῷ add. A.C.M.

ib. περικιόνιος Valck. pro περικίονος. παρακίωνος C.

649. *μάτηρ*: ἡ μήτηρ αὐτοῦ δηλονότι, ἡ Σεμέλη. Gr. *γάμοις*: διὰ τοῦ γάμου, ὃν ὁ Ζεὺς αὐτὴν ἔγημεν. Bar. Gr. Ζεὺς ἤρα Σεμέλης καὶ συνῆν αὐτῇ τὰ ἐρωτικά. ζηλοτυπήσασα οὖν ἡ Ἥρα τοιόνδε τι μηχανᾶται πρὸς ἔρωτος ἄμυναν, ὡς οὐκ εἴη Ζεὺς ὁ σοί γε συνών, φράζουσα πρὸς Σεμέλην· εἰ γὰρ ἔστιν ἀληθῶς, ἀφικέσθαι αὐτὸν μετὰ κεραυνοῦ παρακάλεσον. ἀπατηθεῖσα οὖν Σεμέλη αἰτεῖται τοῦτο τὸν Δία· καὶ ὃς ἐπιὼν μετὰ κεραυνοῦ κατέφλεξε τὴν Σεμέλην κύουσαν· καὶ πεπτωκὼς ὁ Διόνυσος περιέστεπται ὑπὸ κισσοῦ, μέχρις ἂν Ζεὺς ἐρράψατο τῷ μηρῷ, ἕως ἂν ὡραῖον τὸ βρέφος γενήσεται. διὰ τοῦτο οὖν αἱ βάκχαι πρὸς τιμὴν τοῦ θεοῦ κισσοῦ κλάδους ἔφερον χορεύουσαι περὶ τὸν θεὸν, καὶ βοῶσαι εὐοῖ εὐὰν ὕης, ἤγουν υἱὲ τοῦ Διός· τοῦτο γάρ ἐστι τὸ εὐΐοις. Gu. Bar. Leid.

652. *ἑλικτός*: φύσιν ἔχων ἑλίσσεσθαι. Gr. Cant. ἐστραμμένος ἐν κύκλῳ. Gu.

653. *χλοηφόροις*: θάλλουσι. Gu. *ἔρνεσιν*: κλάδοις. C. Gr.

654. *κατασκίοισιν*: κατασκιάζουσιν. M. κατάσκιος τόπος ὁ ὑπό τινων σκιαζόμενος· ἐνταῦθα δὲ κατάσκιοι κλάδοι οἱ σκιὰν ἐμποιοῦντες τῇ πυκνότητι τῶν φύλλων. Cant. Gr. σκιεροῖς. Gu. *ὀλβίσας*: πλουτήσας. B. rec. C. εὐτυχῆ αὐτὸν ποιήσας. C. μακάριον δείξας. Gr. τιμήσας αὐτὸν διὰ τοῦ στέψαι. Gu. καλλωπίσας. Fl. 33. *ἐνώτισεν*: περιεκάλυψεν. C. ἐσκέπασεν. Gr. περιέστεψεν, κατὰ νώτων ἐκάλυψεν, νῶτα ἔδωκεν. Gu. *ὀλβίσας ἐνώτισεν*: ἀντὶ τοῦ τὸ νῶτον περιείλιξε. B.I. μεγάλη γὰρ αὐτῷ

11. τὸν θεὸν] αὐτὸν Bar. Leid.

ib. εὐοῖ εὐὰν ὕης] εὖ οἶ, εὖ αὖ υἷις Leid. εὖ οἶ· οἶ εὖ· υἷι; Gu. Emendavit Valck. "Saepius excitata sunt Demosthenea p. 350 A. [p. 313, 26.] βοῶν εὐοῖ σαβοῖ καὶ ἐπορχούμενος Ὕης Ἄττης. Etymol. p. 775, 2. Ὕης, ἐπίθετον Διονύσου. adpellationis rationem dederat ibi citatus Clidemus in Exegetico rerum sacrarum. Vulgatur apud Hesych. Γύης, Διονύσιος αὐτὴν Γύτις εἴρηκεν. ceteris conjecturis mea subjungatur corrigentis, Γύης, Διόνυσος· Ἄττιν Γύην τις εἴρηκεν. apud Etymologum quoque legitur p. 553, 46. Εὔας, Εὔαντος, ἐπίθετον τοῦ Διονύσου. Baccha dici quoque videretur Εὐὰς, nisi pro Εὐάδι minus dubitanter corrigendum esset Θυάδι apud Philostr. Icon. 1, 19. p. 793. πηδᾷ κοῦφα καὶ ἴσα Θυάδι." VALCK.

13. ἑλικτός] In M. gl. π̊ εἰλύμ̊ (cum compendio literarum εν sub μ), i. e. περιειλυμένος.

17. τινων] τινος Cant.

19. πλουτήσας] Immo πλουτίσας.

23. ἀντὶ τοῦ om. I.

ib. τὸ νῶτον] τ῀ νώτ῀ (i. e. τῶν νώτων) B.

ib. περιείλιξε] περιέλιξεν B. περιέλιξε I.

δόξα τὸ τῆς παραδόξου σωτηρίας τέλος. ὀλβίσας ἐνώτισεν αὐτὸν τὸν Διόνυσον αὐτὸς ὁ κισσός. A.C.M.I. ἐνώτισε γὰρ ὁ κισσός, τὸ τοῦ βακχεύειν καὶ χορεύειν τὰς Θήβας αἴτιον καὶ λέγειν εὐοῖ εὐάν. C.I.

655. *βακχεῖον*: πρὸς τὴν γραφὴν ὁ τόνος. B.M. *χόρευμα*: σκίρτημα. M. ἡ ἑορτὴ οὖσα. C.

βακχεῖον χόρευμα: ὁ κισσὸς δηλονότι, ὃν ταῖς χερσὶ φέρουσαι Βάκχαι εἰς τιμὴν Διονύσου χορεύουσι. Gu. τὸ χόρευμα ἢ διὰ τὸν Διόνυσον νοητέον, περὶ ὃν αἱ Βάκχαι χορεύουσιν, ἢ διὰ τὸν κισσόν, ὃν ἐν χερσὶ φέρουσαι χορεύουσιν. Gu. Bar.

656. *γυναιξὶν εὐΐοις*: ταῖς περὶ τὸν Διόνυσον χορευούσαις, καὶ τὸ εὐοῖ εὐάν ἐπιφθεγγομέναις. A.B.M.I.

γυναιξὶν εὐΐοις: ἤγουν ταῖς Βάκχαις ταῖς βοώσαις εὖ οἷ, ἤγουν εὖ καὶ καλῶς ἔστω οἷ καὶ αὐτῷ τῷ Διονύσῳ. Gu.

657.—675. *ἔνθα φόνιος*: ἔνθα δράκων ἦν τοῦ Ἄρεος φονικός, ἄγριος, ἀπηνὴς φύλαξ, τῆς πηγῆς δηλονότι, τὰ νάματα τὰ εὔυδρα καὶ τὰ ὑγρὰ ῥεῖθρα ἐφορῶν ὀφθαλμοῖς ἐπὶ πολλὰ διάγουσι τὸ βλέμμα καὶ σκοπουμένοις· ὃν ὁ Κάδμος ὁ ὀλεσίθηρος ἐπὶ θυσίας ἐλθών, ὀλέσας λίθῳ, βαλὼν αὐτὸν βολαῖς χειρῶν κατὰ τὸ κρᾶτα τὸ φόνιον κατὰ τὰς βουλὰς τῆς ἐνδόξου Ἀθηνᾶς τῆς ἀμήτορος, ἔσπειρε χαμαιριφεῖς τοὺς ὀδόντας αὐτοῦ εἰς αὔλακας βαθυσπόρους, ὅθεν ἀνέδωκεν ἡ γῆ ὡπλισμένους ἄνδρας ἐπάνω τῆς ἐπιφανείας τῆς γῆς· σιδηρόφρων δὲ φόνος πάλιν ἥνωσεν αὐτὴν τῇ προσφιλεῖ γῇ. ἀπὸ τοῦ αἵματος δὲ αὐτῆς ἔδευσε τὴν γῆν, ἥτις, ἤγουν ἡ γῆ, ἔδειξεν αὐτὴν ταῖς πνοαῖς τοῦ ἀέρος ταῖς εὐκόλως ὑπὸ τοῦ ἡλίου φωτιζομέναις. Gr. Cant. I. ἐν τῇ Δίρκῃ δράκων ἦν φύλαξ υἱὸς Ἄρεος, ὃν ἀνεῖλε Κάδμος λίθῳ βαλὼν Ἀθηνᾶς συμβουλῇ. εἶπε γὰρ Ἀπόλλων αὐτῷ τὴν ἡγησαμένην βοῦν θῦσαι τῇ γῇ, ὅτι σύμβολον αὐτῷ αὐτόθι γέγονε τοῦ κτίσαι

1. σωτηρίας I. θυσίας A.C.M.
ib. ὀλβίσας — κισσός M. ὀλβίσας αὐτὸν τὸν διόνυσον ἐνώτισεν C. ὀλβήσας (sic, quod est ὀλβίσας superscripto η, ut est in textu C.) δὲ αὐτὸν τὸν διόνυσον ὁ κισσός I.
2. ἐνώτισε γὰρ ὁ κισσὸς C. ἐνώτισεν ὁ κισσὸς A. ἐνώτισεν I.
ib. τὸ τοῦ] τό τε A.C.
3. αἴτιον] ἄρτιον C.
ib. καὶ λέγειν εὖ οἱ εὖ ἄν addidi ex C.
11. ταῖς περὶ τὸν (τὸν om. A.) διόνυσον A.M. ταῖς π̄ διονύσ B. ταῖς διονύσῳ I.
12. εὐοῖ εὐάν (εὐᾶν I.)] εὖ οἷ εὖ ἄν B.
20. Ἀθηνᾶς] ἢ τῆς ἀπὸ τοῦ Διός addit I.
23. ἥνωσεν αὐτὴν] ἥνωται αὐτῇ I.

τὴν πόλιν. ἐπεὶ οὖν θυσίαν τελέσειν ἔμελλεν ἀπελθὼν εἰς Δίρκην ἐπὶ χερνίβας ἤτοι χειρῶν ἀπονίψεις, ὡς ἔθος, κωλυόμενος ὑπὸ τοῦ δράκοντος ἀναιρεῖ αὐτὸν, καὶ τοὺς αὐτοῦ ὀδόντας λαβὼν ἔσπειρεν εἰς γῆν, ὅθεν ἀνεδίδοντο πάνοπλοι ἄνδρες οἱ γίγαντες, καὶ συνάψαντες πρὸς ἀλλήλους αὐτίκα μάχην ἀναιροῦνται πάντες πλὴν τινῶν. Gu.

657. ἔνθα φόνιος: ἔνθα παρὰ τῇ Δίρκῃ δεινὸς ὑπῆρχε δράκων, ὠμὸς τὴν φύσιν, φύλαξ ὑπὸ τοῦ Ἄρεος κατασταθεὶς τῆς Δίρκης, πρὸς τὸ μηδένα ἀπ' αὐτῆς ὑδρεύσασθαι. A.B.C.M.I.

658. Ἄρεος φύλαξ: ὡς τὸ βασιλέως ἄρχων, ἀντὶ τοῦ ὑπὸ τοῦ βασιλέως κατασταθεὶς ἄρχων. A.B.C.M.I. ὠμόφρων: ἀπηνὴς, ἄγριος. Gr. παρόσον οἱ φονεύοντες ὠμόφρονες εἰσίν. Fl. 33.

660. χλοερά: χλοηφόρα, βοτανώδη. χλοερὰ δὲ εἶπε, διὰ τὸ ἄνθη εἶναι ἐν αὐτοῖς. λέγει δὲ περὶ τῆς Ἀρείας οὕτω καλουμένης πηγῆς. A.C.M.T. παραφύονται γὰρ ταῖς πηγαῖς πόαι. ἢ ἃ ποιοῦσιν ἀναφύεσθαι πόας. Gu.

δεργμάτων: ταῖς κόραις τῶν ὀφθαλμῶν. B.M.I.

661. πολυπλάνοις: ταῖς πανταχοῦ περιαγομέναις. B.M.I. ταῖς πανταχοῦ στρεφομέναις τῇ θέᾳ. Gu.

ἐπισκοπῶν: ἵνα μή τις ὑδρεύσηται. M.

662. ὃν ἐπὶ χερνίβας μολών: ὅντινα δράκοντα θηρίον ὄντα χαλεπὸν ἐλθὼν ὁ Κάδμος ἐπὶ τὴν κρήνην τοῦ νίψασθαι ἕνεκα ἀπώλεσε λίθῳ

6. ἔνθα παρὰ] ἔνθα om. I.

ib. παρὰ τῇ Δίρκῃ] π̓ τῆς δίρκης A.

ib. ὑπῆρχε] ἦν B.I.

7. κατασταθεὶς—ὑδρεύσασθαι om. M.

8. ἀπ'] ὑπ' A.C.

ib. ὑδρεύσασθαι C. ὑδρεῦσαι B.I. Illud etiam in gl. Gu. πρὸς τὸ μηδένα ἐκ τῆς πηγῆς ὑδρεύσασθαι.

9. τὸ βασιλέως] τοῦ βασιλέως M.

ib. ὑπὸ τοῦ] ὑπὸ om. I., τοῦ om. B.C.I.

12. χλοηφόρα (χλοητρόφα A.) βοτανώδη om. M.

13. αὐτοῖς periit in C. in fine versus. In Gu. est gl. διὰ τὸ ἄνθεα εἶναι ἐν αὐτοῖς.

ib. τῆς Ἀρείας πηγῆς] Proprio nomine dicebatur Ἀρητιάς: schol. Aesch. Theb. 106. (perperam in schol. B. scribitur ἀρειτράς). Apud Apollodor. 3, 4, 1. ut hic, legitur: πέμπει—ληψόμενον ἀπὸ τῆς Ἀρείας κρήνης ὕδωρ. sed in schol. ad Homeri Il. 2, 494. ex Apollodori Bibl. descripto, sequentia prostant meliora: πέμπει—ληψομένους χέρνιβα ἀπὸ τῆς Ἀρητιάδος κρήνης. Apud Apollon. Rhod. 3, 1179, *Aonium draconem Cadmus* πέφνεν, Ἀρητιάδι κρήνῃ ἐπίουρον ἐόντα, sic recte corrigebat H. Stephanus. VALCK.

20. ὅντινα (ὄντα C.) δράκοντα—ἀπὸ τοῦ χερνὶψ om. B.I.

21. κρήνην et λίθῳ (λίθον A.) et ἀπὸ abscissa in C. in fine versuum.

βαλὼν τῇ ἑαυτοῦ χειρί. χερνίβας ἀπὸ τοῦ χερνίψ. A.C.M. ἐπὶ τὸ νίψασθαι τὰς χεῖρας· ἐβούλετο γὰρ θῦσαι τοῖς θεοῖς, ὅτι σύμβολον αὐτῷ αὐτόθι γέγονε τοῦ κτίσαι τὴν πόλιν. ὁ μὲν οὖν Ἑλλάνικος λίθῳ φησὶν ἀναιρεθῆναι τὸν δράκοντα, ὁ δὲ Φερεκύδης ξίφει. Ἄλλως. ἕνεκα τοῦ πρὸς τὴν θυσίαν ὕδωρ λαβεῖν μολών· ἔθυε γὰρ τῇ γῇ τὴν βοῦν. A.B.C.M.I. χερνίβας: χερόνιπτρα, ἀπὸ τοῦ χέρνιψ. B.I.

663. ὤλεσε μαρμάρῳ: ὤλεσε ταῖς τῆς χειρὸς ῥίψεσι. M.

Κάδμος ὤλεσε: ὃν ὁ Κάδμος ὤλεσε, σπείρας τοὺς ὀδόντας αὐτοῦ εἰς τὰς αὔλακας τῆς γῆς. ἀντιστρόφως τοῦτο λέγεται, ἀντὶ τοῦ ὃν ὁ Κάδμος ὀλέσας ἔσπειρε τοὺς ὀδόντας βαλὼν αὐτὸν κατὰ τὸ κρᾶτα τὸ φόνιον. ὅμοιον τῷ "ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων." Gr. Cant. Bar. Mosq. ἔστιν ὅλον καὶ μέρος τὸ ὃν καὶ τὸ κρᾶτα. Gu.

664. ὀλεσίθηρος: τοῦ ἀπολέσθαι ἀξίου θηρός. ἢ ὀλεσίθηρος αὐτὸς ὁ Κάδμος, ὁ τὸν θῆρα ὀλέσας. A.B.C.M. Gu. I. ὠλέναις

1. χερνίψ] χερνίτην (χερνίπτειν?) A.

ib. ἐπὶ τὸ] ἐπὶ τοῦ A. ἀπὸ τοῦ M.

ib. νίψασθαι] νίψαι C.

2. ἐβούλετο] ἐβούλοντο A.C.M.

ib. γὰρ] τὴν βοῦν add. B.I.

3. αὐτῷ B.M. αὐτὸ C.I.

ib. ὁ μὲν οὖν] ὅθεν οὖν A.C.

4. φησὶν ἀναιρεθῆναι] φονευθῆναι φησὶ A.C.

ib. Φερεκύδης] Sic A. ut videtur. φερεκράτης ceteri. "Pherecydis bic nomen restituere non dubitavi. Docti recte me fecisse fatebuntur: alii primum sciant, nullum uspiam in talibus Pberecratem testem citari; deinde, sicut in boc scholio, alibi saepius Hellanicum et Pherecyden adpellari, tanquam qui diversa tradiderint in eadem historia; his ipsis in scholiis ad Phoen. v. 71. Φερεκύδης ἐκβεβλῆσθαι τὸν Πολυνείκην φησὶ μετὰ βίας, Ἑλλάνικος δὲ ἱστορεῖ etc. ad v. 162. Niobidae memorantur ex Pherecyde duodecim, ex Hellanico pauciores et diversis insignes nominibus. Denique, qnod rem conficit, certo constat Cadmum spectantia tractasse Pherecydem Historiarum libro quinto: insignem inde decerptam partem nobis servavit accuratissimus Apollonii Rbod. scholiastes 3, 1178, ubi, praeter Hellanicum citatum, Ionica prostant Pherecydae verba de Cadmo agentis e l. 5. Isthoc loco docte Salmasius utitur in Plinianis p. 846. Apollodor. Pherecydea respicit Bibl. 3. 4, 1." VALCK.

ib. ξίφει] φησὶ ξίφει A.C.

ib. Ἄλλως] ἢ οὕτως B. μολὼν κάδμος A.C.M.

5. πρὸς τὴν θυσίαν] τὴν om. C.M. πρὸ θυσίας A.

ib. ὕδωρ A.C.M. ὕδατος B.I.

ib. μολὼν ante ὕδωρ A., om. C.M.

ib. γὰρ om. C.

6. χερόνιπτρα om. B.

9. τοῦτο om. Gr.

10. ὀδόντας] αὐτοῦ addit Mosq.

13. ἀξίου θηρὸς] ἄξιος θήρ I.

14. ὁ τὸν θῆρα ὀλέσας om. I.

δικών: βαλὼν ταῖς τῶν χειρῶν ῥίψεσιν. δύναται δὲ τοῦτο τοῖς ἄνωθεν συνάπτεσθαι, ἄμεινον δὲ πρὸς τὸ ἑξῆς συνάπτειν τὸν καί σύνδεσμον προσλαμβάνοντας. A.B.M. ὀλεσίθηρος: τοῦτο ἢ πρὸς τὸ ὠλένη συντακτέον, ἢ πρὸς τὸ Κάδμος. Gu. τοῦτο πρὸς τὸ Κάδμος σύναπτε. Bar.

666. δίας ἀμάτορος: ταῖς ὑποθήκαις τῆς ἐνδόξου Ἀθηνᾶς πεισθεὶς τῆς ἀμάτορος καὶ μὴ ἐκ μητρὸς γεννηθείσης. A.C.M.T. τῆς ἐνδόξου Ἀθηνᾶς τῆς μὴ ἐχούσης ὄνομα μητρός· ἐκ γὰρ τῆς κεφαλῆς τοῦ Διὸς ἐξῆλθε. C. τῆς ἐκ Διὸς μόνου καὶ οὐκ ἀπὸ μητρός. Bar. Gu. ἀμήτωρ ἡ Ἀθηνᾶ, ἐπειδὴ ἄνευ μίξεως τῆς πρὸς γυναῖκα γέγονε τῷ Διὶ, ἐκ τῆς κεφαλῆς ἀναδοθεῖσα. ἤρισαν γὰρ πρὸς ἀλλήλους Ζεύς τε καὶ Ἥρα ἄνευ τῆς πρὸς ἕτερον μίξεως τεκεῖν. καὶ ἡ μὲν τὸν Ἥφαιστον ἔτεκεν, ὁ δὲ τὴν Ἀθηνᾶν. Gu. Fl. 33.

667. φραδαῖς: βουλαῖς, τουτέστι κατὰ τὰς βουλάς. Gr. ἐν γνώμαις. Gu.

668. γαπετεῖς: χαμαιρριφεῖς. Gr. εἰς τὴν γῆν πεσόντας, πεπτωκότας. ἐποίησε δὲ τὴν τοιαύτην αἰτιατικὴν πρὸς τὸ ὀδόντας. Gu.

δικὼν ὀδόντας: τοὺς ἐπὶ γῆς πεσόντας ἔρριψεν, κατέσπειρεν. M. ἀντὶ τοῦ ἔδικεν, ἐγκατέσπειρεν. B.C.M.I. γαπετεῖς δικών: μετοχὴ ἀντὶ ῥήματος. εἰς τὴν γῆν πίπτοντας ὑπὸ Παλλάδος φραδαῖς. A.B. C.M.I. σπείρας. Gr. ῥίψας. Gu.

669. εἰς βαθυσπόρους: εἰς τὰς εὐκάρπους χώρας. C.M. εἰς βάθος δεχομένας σπόρον ἀρούρας, αὔλακας. Bar.

670. ἔνθεν ἐξανῆκε γᾶ: ἔνθεν ἐκ τῶν ὀδόντων ἐξεκίνησεν ἡ γῆ

1. βαλὼν—ῥίψεσιν] βάλλων—βολαῖς B.
ib. τῶν χειρῶν] τῆς χειρὸς A.
ib. δὲ om. B.
ib. ἄνωθεν] ἄνω A.B.
2. συνάπτειν—προσλαμβάνοντας om. M. τὸν καί σ. π. om. A.
6. πεισθεὶς] πεισθ (non πεια ut ap. Valck.) C. literis reliquis a bibliopego resectis, ut in praecedentibus literae tantum ὑποθήκ supersunt pro ὑποθήκαις.
7. καὶ μὴ ἐκ μητρὸς M. ἤγουν τῆς μὴ ἐκ μητρὸς A. τῆς ἐκ μητρὸς ... C. (in quo οὐ vel μὴ resectum) et T.
10. γυναικὸς] γυναῖκα Gu.
11. ἐκ—ἀναδοθεῖσα om. Gu.
12. ἕτερον] ἀλλήλων Gu.
20. μετοχὴ] Lemma γαπετεῖς δικών omissum in A.B.I., praefixum in C.M., in C. etiam ἄλλως.
21. εἰς] Sic C. (non ἢ εἰς ut ap. Valck.) et A.
ib. εἰς—φραδαῖς (φραδαῖσιν M.) om. B.I.
25. ἔνθεν (ἔνθα A.M.) ἐκ] ἔνθεν om. I.

ὁπλοφόρους ἄνδρας. εἰσὶ δὲ οὗτοι ἐξ αὐτῶν ὑπολειφθέντες, Πέλωρ, Ἐχίων, Οὐδαῖος, Χθόνιος, Ὑπερήνωρ, κατὰ δὲ Τιμαγόραν, καὶ Κρέων, ἀφ' οὗ γέγονεν...Ἄλλως. ὁ μὲν Στησίχορος ἐν Εὐρωπείᾳ τὴν Ἀθηνᾶν ἐσπαρκέναι τοὺς ὀδόντας φησὶν, ὁ δὲ Ἀνδροτίων σπαρτοὺς αὐτούς φησι διὰ τὸ ἀκολουθήσαντας αὐτοὺς ἐκ Φοινίκης Κάδμῳ σποράδην οἰκῆσαι, Ἀμφίλοχος δὲ, διὰ τὸ ἐπεσπάρθαι τοῖς οἰκοῦσιν ἐν Θήβαις, Διονύσιος δὲ ἔθνος Βοιωτίας φησὶν αὐτούς. ἔνιοι δὲ παῖδας Κάδμου αὐτούς φασιν ἐκ διαφόρων γυναικῶν, ν' τὸν ἀριθμὸν ὄντας. A.B.C.M.T.I.

671. πάνοπλον ὄψιν: θέαν. τὴν πανοπλίαν ὄψιν. M. ἀπὸ τῆς

1. αὐτῶν om. C. in fine lineae.
ib. ὑπολειφθέντες] ἀπολειφθέντες M. C.
2. Οὐδαῖος] δαῖος C, sed relicto spatio. Conf. de his nominibus schol. vet. 942. et recentiorem ad v. 795.
ib. Χθόνιος] χθονὸς A.T., om. C.
ib. δὲ Τιμαγόραν] δέ τινας μαγόραν C. E Timagorae Thebaicis nonnulla de Spartis enarrantur in schol. ad Phoen 159. alia de iisdem Spartis sub teste Timagora profert Stephanus Byz. in Σπάρτη. Timagorae non nominati verba transcripsit Eustathius e Stephano ad Il. B. p. 222, 51. VALCK.
3. Κρέων om. C. in fine lineae.
ib. ἀφ' οὗ γέγονεν addidi ex A.M.T. Post γέγονεν indicavi lacunam. Nam excidit Creontis filii nomen.
ib. Ἄλλως] ἔνθα ἐξανῆκε γᾶ A.C.
ib. Εὐρωπείᾳ] εὐρῶ M. εὐρωπία A.C. Recta forma Εὐρώπεια est, de qua vid. Thesaur. vol. 3. p. 2437.
4. τὴν Ἀ. post ἐσπαρκέναι A.C.
ib. Ἀνδροτίων] Androtionis verba quaedam hac de re scribentis servarunt Pindari schol. ad Isth. 7, 13. et Tzetzes ad Lycophr. 1206. hic quidem pauca; plura dat enarrator Pindari: Ἀνδροτίων φησὶ φυγόντα ἐκ τῆς Φοινίκης τὸν Κάδμον μετὰ ἱκανῶν σποράδων κατελθεῖν εἰς Θήβας, ὅθεν διὰ τὸ συμμιγὲς καὶ σποράδην εἶναι Σπαρτοὶ ἐκλήθησαν· οἱ δὲ Θηβαῖοι τὰ περὶ αὐτῶν ψευδῶς ἐτερατούργησαν. VALCK.
5. διὰ τὸ ἀκολουθήσαντας—διὰ τὸ ἐπεσπάρθαι] διακολουθήσαντας — διεσπάρθαι C.
ib. αὐτοὺς] αὐτῷ I., om. A.C.
6. Ἀμφίλοχος] Amphilochus ille mihi quidem aliunde non innotuit: Lysimachus praeter ceteros citatur in schol. Apoll. Rh. 3, 1178. ubi quod hic Dionysio tribuitur aliis. VALCK. De Amphilochis pluribus v. Mueller. Fragm. Hist. vol. 4. p. 300.
7. Διονύσιος δὲ ἔθνος] διὸ ἔθνος M.
ib. Βοιωτίας] βοιωτικὸν C.
ib. φησὶν αὐτούς A.M. αὐτούς φησιν ceteri. Falsum est quod Valck. ait αὐτοὺς in C. ante ἔθνος positum esse.
8. αὐτούς φασιν] φασὶν αὐτοὺς A.C., non αὐτοὺς φασίν. quod ei tribuit Valck. Non minus falsum omissa in eo esse verba ἐκ διαφόρων γυναικῶν et reliqua: nam ea tantum quae post γυναικῶν leguntur A.C. omittunt.
ib. ν'] Ν̄ .. ν̄ M. πεντήκοντα T. πέντε καὶ κ̄ B. ιγ̄ I.
9. ὄντας addidi ex M. Post ἀριθμὸν B. pergit ἔπαφος ἐκλήθη — μετεμόρφωσεν, quae v. ad v. 678.
10. In Gr. vv. ἀπὸ τῆς ὁρ. τὸ ὁρ. in Gu. ὁπλοφόρους ἄνδρας τοὺς γίγαντας.

ὁράσεως τὸ ὁρώμενον, ἤγουν ἄνδρας ὡπλισμένους. Bar. Fl. 5. 6. 9. 21. 56. 59. 76. ὑπὲρ ἄκρων ὅρων γῆς: εἰς τὴν ἐπιφάνειαν τῆς γῆς. B.I. ἀντὶ τοῦ ἐπάνω τῆς ἐπιφανείας τῆς γῆς. Gr. Cant.

672. σιδαρόφρων δέ νιν: τὸ νίν πρὸς τὸ ὄψιν. B.I. οὗτοι δὲ, φησὶν, οἱ ἀναφανέντες ἐκ γῆς ὁμοῦ τῇ πανοπλίᾳ εὐθὺς ἅμα τῷ φανῆναι ἀλλήλους ἐφόνευσαν. τὸ οὖν νίν πρὸς τὴν ὄψιν ἀπέδωκε, τουτέστιν αὐτὴν δὲ τὴν πάνοπλον ὄψιν τὴν ἀναδοθεῖσαν ἐκ γῆς ὁ κατ' ἀλλήλων φόνος γενόμενος πάλιν εἰς γῆν κατήνεγκε. τὴν δὲ ὄψιν ὅταν λέγῃ, τοὺς ἄνδρας σημαίνει. A.B.C.M.I.

673. φόνος: ὁ δὲ φόνος αὐτοὺς ὁ ὠμόφρων, παρόσον οἱ φονεύοντες ὠμόφρονές εἰσι. A.M. ξυνῆψε: τῇδε γῇ πάλιν ξυνῆψεν αὐτοὺς, ὅ ἐστιν ἡ αὐτὴ μήτηρ καὶ τάφος γέγονεν. A.T. ἥνωσε τῇ προσφιλεῖ γῇ. Gr. I. τοῦτο λέγει διὰ τὸ ἐξ αὐτῆς ἀναδοθῆναι. Gu.

674. ἔδευσε: ἔβρεξεν ὁ φόνος. Gu.

ἅ νιν εὐηλίοισι: ἥτις αὐτοὺς ταῖς τοῦ ἡλίου ἀκτῖσιν ἀνέδειξεν καὶ ταῖς πνοαῖς τοῦ αἰθέρος, τουτέστι κατ' ἀρχὴν εἰς φῶς ἤγαγεν. M. ἥτις αὐτοὺς κατ' ἀρχὴν εἰς φῶς ἤγαγεν, ὡσεὶ ἔλεγεν, ἡ αὐτὴ μήτηρ καὶ τάφος. τὸ δὲ νίν πάλιν πρὸς τὴν ὄψιν ἀπέδωκεν. A.T. εὐηλίοισι: λαμπραῖς, ἡλιώδεσιν. Gu. Bar.

675. αἰθέρος: ἀντὶ τοῦ ἀέρος. Gr. καταχρηστικῶς· ἄλλο γὰρ αἰθὴρ καὶ ἄλλο ἀήρ. Gu. Bar. αἰθέρος: τοῦ ἡλίου. B. rec. πνοαῖς: ἀνατολαῖς. B. rec.

676.—689. καί σε τόν: καὶ δή σε, ὦ γένεθλον τοῦ Διὸς, τὸν

4. οὗτοι] πάλιν ξυνῆψε φίλᾳ γᾷ praefixum in M., νιν φόνος φῦλα (sic) ξυνῆψε γᾷ B. (qui in textu ξυνῆψε φίλᾳ γᾷ habet), σιδαρόφρων in I.

ib. δὲ om. B.I.

5. φησὶν] φασιν C.

6. τὸ οὖν—σημαίνει] Haec in paginae proximae margine repetuntur in M.

7. δὲ om. C. αὐτὴν δὲ om. M. infra.

ib. πάνοπλον B.M. πανοπλίαν A. C.I.

ib. ἐκ γῆς om. A.C.

8. γενόμενος add. A.B.C.M., om. I. Habet etiam Gu. in quo verba αὐτὴν δὲ—κατήνεγκε leguntur.

9. Post σημαίνει pergit B. ὁ δὲ ἔπαφος ἐκλήθη—μετεμόρφωσεν, quae v. ad v. 678. Eadem, omisso ab initio ὁ δέ, scholio v. 670. adjuncta esse in B. supra diximus. Post μετεμόρφωσεν pergit πυρφόρους δὲ θεὰς—βοηθῆσαι τῇδε τῇ χώρᾳ, quae v. ad v. 687.

10. αὐτοὺς] αὐτῶν M.

11. ὠμόφρονες] ὠμοί A.

15. ἥτις αὐτοὺς—] Pars hujus scholii est in M. etiam supra versum et in A. in margine interiore usque ad verba καὶ ταῖς πνοαῖς τοῦ αἰθέρος.

22. γένεθλον] γενέθλιον Gr.

Ἔπαφον λέγω, τὸν υἱὸν τῆς ποτὲ Ἰοῦς, τῆς προμήτορος ἡμῶν,—ἀντὶ τοῦ τῶν ἀρχόντων ἡμῶν· οἰκειοῦται γὰρ τὰ τῶν δεσποτῶν—ἐπικαλοῦμαι βαρβαρικῇ βοῇ, βαρβαρικαῖς λιταῖς. τὸ δὲ ἰὼ διὰ μέσου. βᾶθι, ἤγουν ἐλθὲ, εἰς τήνδε τὴν γῆν. οἱ σοὶ ἀπόγονοι ἔκτισαν αὐτὴν ἐκεῖ, ὅπου αἱ διτταὶ θεαὶ, ἡ Περσεφόνη καὶ ἡ προσφιλὴς Δημήτηρ, ἡ θεὰ γῆ, ἡ πάντων ἄνασσα, πάντων δὲ τροφὸς, ἐκτίσαντο καὶ κατῴκισαν, ἢ τὴν κτῆσιν ἔσχον. πέμπε σιτοφόρους θεὰς, ταύτας δηλονότι, τὴν Δήμητρα καὶ τὴν Περσεφόνην, βοηθῆσαι τῇδε τῇ γῇ. πάντα δὲ εὔκολα τοῖς θεοῖς. Gr. Cant. I.

678. Ἔπαφον: Ἔπαφος ἐκλήθη, ἐπεὶ ὁ Ζεὺς ἐπαφησάμενος τῆς Ἰοῦς πάλιν εἰς γυναῖκα αὐτὴν μετεμόρφωσεν. B.C.M.I. ἀπόγονος Ἐπάφου Κάδμος, ἐπεὶ Ἀγήνορός ἐστιν υἱὸς τοῦ Βήλου τοῦ Λιβύης τῆς Ἐπάφου τοῦ Ἰοῦς. M. ἐπικαλούμεθα σὲ, ὦ Ἔπαφε, ὃς Ἰοῦς καὶ Διὸς γένεθλον ὑπάρχεις, ἐλθὲ δὴ σωτήριος εἰς τὰς Θήβας ταῖς ἡμῶν λιταῖς ἐπινεύσας· οἱ γὰρ σοὶ ἔκγονοι, καὶ τὰ ἑξῆς. B.I. ἀπὸ γὰρ τῆς τοῦ Διὸς ἐπαφῆς πρὸς Ἰὼ Ἔπαφος ἐγένετο, ὃν νῦν ἐπιβοᾶται πρὸς ἀρωγὴν, ὡς πρόγονον. Gu.

682. σοί νιν ἔκγονοι: ὁ σὸς ἔκγονος Κάδμος, ὦ Ἔπαφε, τὰς Θήβας ἔκτισεν ἐν τούτῳ τῷ τόπῳ, ἐν ᾧ αἱ διώνυμοι θεαὶ ᾤκησαν. δεδόσθαι γὰρ τὰς Θήβας τῇ Περσεφόνῃ ὑπὸ τοῦ Διὸς ἀνακαλυπτήρια, ὡς Εὐφορίων·

3. τὸ δὲ—μέσου om. Cant. I.

6. γῆ] ἡ γῆ Cant. I.

ib. ἐκτίσαντο—ἢ om. Gr.

10. Ἔπαφον] ἔγγονον ἔπαφον C.

ib. ἐπεὶ M. ὅτι B.C.I.

ib. ὁ om. B.

11. τῆς Ἰοῦς] τὴν ἰὼ M.

12. τοῦ (codex τῆς) Ἰοῦς addidi ex Fl. 33. cujus scholion vide in annot. ad v. 682.

13. ἐπικαλούμεθά σε B. καὶ σὲ ἐπικαλούμεθα I.

18. ὦ ἔπαφε Fl. 33. ὁ ἐπάφου ceteri.

ib. τὰς Θήβας] νὶν καὶ αὐτὴν τὴν πόλιν Fl. 33. τὰς Θήβας om. A.

19. ἔκτισεν ἐν τούτῳ] ἔκτισι τούτῳ A.B.I.

ib. τόπῳ] πόθῳ A.

20. τοῦ om. A.B. ὑπὸ Διὸς post τῇ Περσεφόνῃ A.

ib. ἀνακαλυπτήρια] ἀνακαλυπτρία A. λέγεται addit Fl. 33. "In Gr. et Florr. 5. 6. 9. 56. 59. 76. vv. ἀνακαλ. γὰρ ὑπὸ τοῦ Διὸς, ὡς φησὶν Ἐφορίων (sic) ἐδόθησαν αἱ Θῆβαι τῇ Περσεφόνῃ ad v. 687. referuntur, praefixis etiam in Gr. ἐκτήσαντο, τὴν κτῆσιν ἔσχον." MATTH. Thebas Proserpinae ἀνακαλυπτηρίων die muneris nuptialis loco data esse nemo praeter Euphorionem tradidit: de quo dixit Meinek. Anal. Alex. p. 88. "Hunc locum ad ἀνακαλυπτήρια protulerunt illuminanda Spanheim in Callim. h. in Dian. v. 74. et Wessel. in Diodor. vol. 1. p. 331. Spanhemio notata pleraque jam dederant alii; postrema Meursium

ἀλλ' οὔπω Θήβη πεπρωμένα κεῖτο τάλαντα,
τήν ῥά ποτε Κρονίδης δῶρον πόρε Περσεφονείῃ,
ὃν γαμέτην ὅτε πρῶτον ὀπωπήσεσθαι ἔμελλε,
νυμφιδίου σπείροιο παρακλίνασα καλύπτρην.

A.B.M.T. Fl. 33. I.

σοί νιν ἔκγονοι: γράφεται καὶ "σῷ νιν ἐκγόνῳ κτίσαν," ἵν' ᾖ, τῷ ἐκγόνῳ σου, τῷ Κάδμῳ, αἱ θεαὶ κατέκτισαν τὰς Θήβας. γέγονε δὲ περὶ τὴν γραφὴν ἁμάρτημα. ἕως ἄρχοντος γὰρ 'Αθήνησιν Εὐκλεί-

spectant in Gloss. v. Θεώρητρον. in qua voce plura notat Ducangius." VALCK.

p. 190. l. 21. Εὐφορίων] Addit M. αν cum compendio syllabae ιν, et ὀπλιοις, in quo litera π non satis apparet. COBET. Codex potius ἐν εἰν ὁ. λίοισιν. Fortasse Εὐφορίων φησὶν ἐν Χιλιάσιν. Nam Euphorionis versus ex carmine sumti esse videntur quod Χιλιάδες inscriptum fuit.

1. πεπρωμένα] πεπρωμένον A. πεπρωμένων M.

ib. τάλαντα quid sit obscurum est. τάλαντ' (i. e. τάλαντον) M. Geelius θέμεθλα Bibl. crit. nov. 1. p. 51.

2. Περσεφονείῃ] περσεφονίῃ A.

3. ὃν γαμέτην Meinekius. ἐγγαμετὴν B.I. ἐν γαμετῇ A. ἐγγαμετῇ M.T. γαμετῇ Fl. ᾗ γαμετῇ Cobetus. "Scripsisse forte videbitur Euphorion: ἐν γαμέτην· —ὅτε πρῶτον ἐνοπαπήσασθαι ἔμελλε γαμέτην. isthaec enim accipiebant dona, ὅταν τὸ πρῶτον ἀνακαλύπτωνται ὥστε ὀραθῆναι τοῖς ἀνδράσιν, ut scribit Harpocration." VALCK.

ib. ὀπωπήσεσθαι Cobetus pro ὀπωπήσασθαι.

4. σπείροιο] γάμοιο A.

6. Addidi lemma σοί νιν ἔκγονοι. In B. est ἄλλως.

ib. γράφεται] γράψον A.

ib. καὶ addidi ex M.

ib. σῷ νιν] σοὶ νὶν A.C.

7. τῷ ἐκγόνῳ σου] τῷ σῷ ἐκγόνῳ ἔπαφε (ἔπαφος C.) A.C.

ib. αἱ θεαὶ κατέκτισαν] κατέκτισαν αἱ θεαὶ A. ἔκτισαν αἱ θεαὶ C.

ib. γέγονε δὲ—] Haec usque ad finem scholii om. C.

8. περὶ τὴν ἀρχὴν ἁ.] Scribendum arbitror: γέγονε δὲ περὶ τὴν ἀρ[χαίαν γραφ]ὴν ἁμάρτημα. memorat scholiastes inferius τὴν ἀρχαίαν γραφήν. In Homeri Il. Φ, 127, Aristophanis Grammatici tempore scriptum fuit ὅσκε φάγησι. Philemon in Porphyrii Quaest Hom. c. 8. p. 92. ὁ βέλτιστος 'Αριστοφάνης, inquit, τὸ ὅσκε φάγησι δείκνυσιν ὡς ἡμαρτημένον λείποιτο ἐκ τῆς παλαιᾶς γραμματικῆς ἀντ' ἐπιρρήματος τοῦ ὡς. Neutrum attigerunt viri docti qui hoc sibi scholion sumserunt illnstrandum: hos inter eminet Salmasius, hanc in universum materiam erudite pertractans in Addendis ad notas in Herodis Att. Inscript. p. 232. et seqq. corrigens in scholiis nostris: πρὸ (vulgatur ἐπ') ἄρχοντος γὰρ 'Αθήνησιν Εὐκλείδου —τοῖς βραχέσιν ἀντὶ μακρῶν ἐχρῶντο, τῷ E (recepi pro I) ἀντὶ τοῦ H, καὶ τῷ O ἀντὶ τοῦ Ω. ἔγραφον οὖν, τοῖ δήμοι, μετὰ τοῦ I, ἀντὶ τοῦ δήμῳ. postrema quia nimium recedebant a vulgatis, cum Battierio scripsi τὸ δήμῳ· ubi vulgabatur τῷ δήμῳ. nihil in reliquis fuit mutatum.—— Postquam ista jam dedisset Salmasius, Io. tamen Meursins sine suspicione vitii scholio fuit usus de Archont. 3, 17. Vulgatam quoque lectionem, ἐπ' ἄρχοντος—Εὐκλείδου, sequuntur Maittaire de Dialect. p. 169. et Chishull. ad Inscript. Sigeam p. 48. Salmasii correctionem adprobasse videtur Ez. Spanhemius de Praest. et Usu

δου, μήπω τῶν μακρῶν εὑρημένων, τοῖς βραχέσιν ἀντὶ τῶν μακρῶν ἐχρῶντο, τῷ ε ἀντὶ τοῦ η, καὶ τῷ ο ἀντὶ τοῦ ω. ἔγραφον οὖν τὸ δήμῳ μετὰ τοῦ ι δήμοι. μὴ νοήσαντες δὲ ὅτι κατὰ τὴν ἀρχαίαν γραφήν ἐστι καὶ δεῖ μεταθεῖναι τὸ ο εἰς τὸ ω ἐτάραξαν τὸ νοητόν. A.B. C.M.T.I.

σοί νιν ἔκγονοι κτίσαν: τὸ νὶν ἀντὶ τοῦ τὴν γῆν, τουτέστι τὰς Θήβας. προμάτορα δὲ αἱ Φοίνισσαι τὴν Ἰὼ ἔφησαν, διὰ τὸ Φοίνικα ἀπ' Ἰοῦς γένος κατάγειν· Κάδμου γὰρ καὶ Εὐρώπης ἀδελφὸς Φοῖνιξ. C.T. Ἄλλως. σοί νιν ἔκγονοι: ἀντὶ τοῦ ὁ σὸς ἔκγονος αὐτὴν

Num. Diss. 2. p. 86, dubitans tamen p. 92. utrum Alphabetum Ionicum receptum fuerit Athenis anno 1. Ol. 95. an triennio ante sub Euclide. Re pensiculatius expensa, mihi quidem primum vulgata lectio, ἐπ' ἄρχοντος, absurda videtur; deinde suspicor sic illam commode corrigi posse, ut legatur: ἕως ἄρχοντος γὰρ Ἀθήνησιν Εὐκλείδου τοῖς βραχέσιν ἀντὶ μακρῶν ἐχρῶντο. Praeterea prorsus non possum in animum inducere scholii scriptorem eruditum et antiquum his verbis interseruisse vulgata: μήπω τῶν μακρῶν εὑρημένων· quae mihi quidem recentioris esse videntur indoctum emblema: prorsus enim constat literas longas Η et Ω dudum ante repertas atque in Ionia usurpatas fuisse, cum aliis in Alphabetum vetus introductas a Callistrato Samio: Athenis autem ut sub Euclidis magistratu reciperentur Archinum effecisse Suidas auctor est; cujus locum praeter Salmasium aliosque Sam. Petitus adhibuit Obs. 2, 1. Mors Euripidis incidit in Ol. 93. annum 2. Euclides fuit Archon Athenis Ol. 94, 2. Est quidem in Archonte dissensus, sub quo sic Athenis in scribendo novatum tradiderint; nec memoratur tamen, qui non gesserit magistratum post annum Euripidi fatalem; ut adeo verum videretur, quod hic nobis tradidit scholiasta. VALCK.

p. 191. l. 8. γραφὴν A.B.M.T. ἀρχὴν I.

ib. ἕως addidit Valck.

ib. ἄρχοντος A.B.M. ἐπ' ἄρχοντος I.

1. ἀντὶ τῶν A.B.M. Aberat τῶν.

2. τῷ ε] τὸ ε A. τῷ ει M. quod servari potest si scribatur εἶ et mox οὖ pro ο: nam sic ε et ο ab antiquioribus appellantur. COBET. τῷ ι I.

ib. τῷ ο] τὸ ο I.

ib. τοῦ ω] τοῦ ω ἔγραφον I.

3. ὅτι] καὶ ὅτι I.

4. ἐστι om. I

ib. μεταθεῖναι] μετατεθῆναι I.

ib. τὸ ω] τὸ ω μέγα I.

ib. νοητόν] Pergit A. καὶ ἄλλως. σοί νιν ἔκγονοι κτίσαν: ὁ σὸς ἔκγονος etc. quae vide ad v. 682.

7. διὰ τὸ T. διὰ τὴν C.

8. ἀπ' addidit Valck. et γένος κατάγειν scripsit pro κατεισάγειν.

ib. Post Φοῖνιξ (nam sic C.T.) sequuntur in C. illa ἔγγονον ἔπαφον: ἔπαφος—ἐκλήθη—μετεμόρφωσεν (ad v. 678.); deinde σοί νιν ἔκγονοι: γρ. σοὶ νιν—αἱ θεαὶ τὰς θήβας. καὶ ἄλλως. σοί νιν ἔκγονοι: ἀντὶ τοῦ σὸς ἔκγονος—ἔδει γὰρ εἰπεῖν σὸς κάδμος ἔκγονος.

9. Ἄλλως] καὶ ἄλλως A.C.

ib. σοί νιν ἔκγονοι: ἀντὶ τοῦ] Haec om. M., τὸ σοί νιν ἔκγονοι ante καὶ ἄλλως habet A.

ib. ὁ om. C.

ib. αὐτὴν ἔκτισεν ὅπου] ὅπου ἔκτισαν (ἔκτισεν A.) αὐτὴν ὅπου (sic) A.C.

ἔκτισεν ὅπου αἱ διώνυμοι θεαὶ ᾤκήσαντο. ἀπόγονος ὁ Κάδμος Ἐπάφου, ἐπεὶ Ἀγήνορός ἐστιν υἱός. ὁ δὲ νοῦς, κατακαλουμέθα σὲ, ὦ Ἔπαφε, Ἰοῦς καὶ Διὸς γένεθλον, εἴσελθε δὴ σωτήριος εἰς τὰς Θήβας καὶ ταῖς παρ' ἡμῶν ἱκεσίαις ἐπίνευσον· ὁ σὸς γὰρ ἔκγονος Κάδμος ἔκτισε τὰς Θήβας, ὅθεν δικαίως ἂν σώζοις αὐτάς. τὸ οὖν πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ κεῖται· ἔδει γὰρ εἰπεῖν, σὸς Κάδμος ἔκγονος. A.C.M.

683. ᾇ διώνυμοι θεαί: ἀντὶ τοῦ ἔνθα. M. ἀντὶ τοῦ ὅπου. ᾗ ἄρθρον ἐστὶ καὶ λείπει ὁ καί σύνδεσμος. M. Ἄλλως. τὸ ᾇ Δωρικόν ἐστιν ἀντὶ τοῦ ᾗ, ὅ ἐστιν ὅπου. τὸ δὲ ἐκτίσαντο ἀντὶ τοῦ ᾤκησαν, ὡς τὸ "ὀρικτίτου συός" παρὰ Πινδάρῳ ἀντὶ τοῦ ὀρειοίκου. ἱερὰν δὲ Δήμητρος τὴν Θήβην εἶπεν ἢ διὰ τὸ εὔκαρπον, ἢ ἐπειδὴ πάντα τὰ ἐκ γῆς φυόμενα ἱερὰ τῇ θεῷ, καὶ οἱ σπαρτοὶ δὲ ἐκ τῆς γῆς. διώνυμοι δὲ παρόσον ἡ μὲν Κόρη καὶ Περσεφόνη, ἡ δὲ Δημήτηρ καὶ Γῆ ὀνομάζεται, ἢ ὅτι δύο οὖσαι ἑνὶ ὀνόματι χρῶνται· ἑκατέρα γὰρ Δημήτηρ καλεῖται, ἡ μὲν πρεσβυτέρα, ἡ δὲ νεωτέρα. A.B.C. M.I. ὁ λόγος τοιοῦτος· ὁ σὸς ἔκγονος, ὦ Ἔπαφε, τὰς Θήβας ἔκτι-

1. θεαὶ om. C.

ib. ᾠκήσαντο] Corrige ᾤκησαν.

2. ὁ δὲ (μὲν M.) νοῦς—] Simile scholion in Fl. 33. ἐπεὶ ἀπὸ ταύτης γένους οἱ παρὰ Πολυνείκην. ὁ δὲ νοῦς οὕτως· ἐπικαλ. σὲ—εἰς τὰς Θ. καὶ ταῖς παρ' ἡμῶν ἱκεσίαις ἐπίνευσον· καὶ γὰρ ὁ σὸς ἔκγονος Κάδμος ἔκτισε τὰς Θήβας. ἀπόγονος δὲ Ἐπάφου Κάδμος, ἐπεὶ Ἀγήνορός ἐστιν υἱὸς τοῦ Βήλου τοῦ Λιβύης, τοῦ Ἐπάφου, τῆς Ἰοῦς. MATTH. Cum postremis conf. schol. v. 678.

ib. κατακαλούμεθα A.T. κατὰ καλούμεθα M. κατεγκαλούμεθα C. ἐπικαλούμεθα Fl. 33.

3. Ἰοῦς] ὃς ἰοῦς A. ὡς ἰοῦς C.

ib. γένεθλον] γενέθλιον C.

ib. δὴ σωτήριος] δὲ σωτὴρ C.

4. ὁ σὸς γὰρ] ὁ γὰρ σὸς A.C.

6. ἔδει—ἔκγονος om. M. in quo sequuntur illa ἔπαφος ἐκλήθη etc. quae v. ad v. 678. Simile scholion in Gu. πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ· ἔδει γὰρ εἰπεῖν ὁ σὸς ἔκγονος Κάδμος, ὦ ἔπαφε, τὰς θήβας ἔκτισε ταύτας ἐν τούτῳ τῷ τόπῳ ἐν ᾧ αἱ διώνυμοι θεαὶ ᾤκησαν.

9. Ἄλλως add. M.

ib. Δωρικόν] δωρικῶς C. δώριον B.

10. ᾤκησαν A.B.C.I. ᾤκισαν M.

11. ὀρικτίτου] ὀρεικτήτου A.B.C.M. ὀρυκτῇ τοῦ I. Correctum ex schol. Orest. 1621.

ib. Πινδάρῳ] Fragm. 267.

ib. ὀρειοίκου] ὀροισίκου I.

12. Δήμητρος] τῆς δήμητρος B.I. δήμητραν C.

ib. ἐπειδὴ] ἐπεὶ A.I.

13. καὶ οἱ] καὶ om. A.C.

ib. σπαρτοὶ δὲ ἐκ B.M. σπαρτοὶ οὖν ἐκ I. σπαρτοὶ ἐκ C. σπάρται ἐκ A.

14. παρόσον] παρ' ὅσον B.C. ut saepe.

15. ὀνομάζεται—ἑκατέρα γὰρ (γὰρ ἡ M.) δημήτηρ addita ex A.B.C.M., om. I.

σεν ἐνταῦθα, ἔνθα ἡ Περσεφόνη καὶ ἡ Δημήτηρ, αἱ διώνυμοι θεαὶ, ᾤκησαν· τὸ γὰρ κτίσαι ἀντὶ τοῦ οἰκῆσαι λέγουσιν. C.

διώνυμοι θεαί: ἢ ὀνομασταὶ καὶ ἐξάκουστοι, ἢ αἱ δύο ὀνόματα ἔχουσαι. ἡ γὰρ Γῆ καὶ Δημήτηρ ἡ αὐτὴ καὶ ἡ Περσεφόνη καὶ Κόρη ἡ αὐτή. B.

διώνυμοι θεαί: διωνύμους λέγει τὰς θεὰς, ἢ διὰ τὸ ἑκάστῃ δύο ὀνόματα εἶναι· τήν τε γὰρ Δήμητρα καὶ Γῆν καλοῦσι, τήν τε Περσεφόνην καὶ Κόρην· ἢ ἐπειδὴ δύο ἦσαν καὶ δύο ὀνόματα εἶχον. τὴν οὖν Περσεφόνην πάντων ἄνασσαν καλεῖ, τὴν δὲ Δήμητρα πάντων τροφόν. Gu. Bar.

Τοῦτο ἀπὸ ἄλλης ἀρχῆς. χρὴ δὲ μὴ ὡς πληθυντικὸν ἄρθρον τὸ αι, ἀλλὰ ὡς Δωρικὸν περισπῶντας ἀναγινώσκειν, ἵνα σημαίνῃ τὸ ἔνθα. καὶ γίνεται ὁ λόγος τοιοῦτος· ὁ σὸς ἔκγονος, ὦ Ἔπαφε, τὰς Θήβας ἔκτισεν ἐνταῦθα, ἔνθα ἡ Περσεφόνη καὶ ἡ Δημήτηρ αἱ διώνυμοι θεαὶ ᾤκησαν· τὸ γὰρ κτίσαι ἀντὶ τοῦ οἰκῆσαι λέγουσιν, ὡς καὶ παρ' Ὁμήρῳ "ἐΰκτιτον Αἰπύ" ἀντὶ τοῦ εὖ κατῳκημένον. πῶς δὲ αἱ θεαὶ αὗται οἰκισθῆναι ἐποίησαν τὰς Θήβας; οὕτως· τῆς γὰρ γῆς ἀναδιδούσης τοὺς σπαρτοὺς ἐκ τῶν τοῦ δράκοντος ὀδόντων ὁ Κάδμος τοὺς μὲν ἀπεθέριζε, τοὺς δὲ εἶχε συνεργοὺς εἰς τὴν τῆς πόλεως κατασκευήν. ἐπεὶ οὖν πάντα τὰ ἐκ γῆς ἀναδιδόμενα τῆς Δήμητρος ἂν εἰκότως νομίζοιτο, διὰ τοῦτο καὶ τούτους ὥσπερ βλάστημά τι ἐκ γῆς ἀναδεδόσθαι τῷ Κάδμῳ φαμὲν συνοικίσαντας αὐτῷ τὴν πόλιν. ὅθεν εἰκότως ἔφη τὰς θεὰς ταύτας συνεκτικέναι τὴν πόλιν. τί δ' ἂν εἶεν οἱ ἀναδοθέντες ἐκ γῆς ἔνοπλοι; οἱ καρποί· ἄντικρυς γὰρ τούτων φυομένων ἀφθόνως εὐμαρές ἐστι πολεμικοὺς ἄνδρας τρέφειν, καὶ

2. κτίσαι] κτῆσαι C.
4. καὶ Κόρη] καὶ om. B.
6. τὰς θεὰς] τὰς om. Gu.
7. et 9. Δήμητρα] δημήτερα Gu. δήμητραν Bar.
9. τροφόν] Pergit Gu. τὸ δὲ ἐκτίσαντο etc. (ad v. 687.)
11. Τοῦτο ἀπὸ—λόγος τοιοῦτος om. Fl. Scholion totum grammatici recentioris est. Primam partem usque ad οἰκῆσαι λέγουσιν habet A., praefixo ἄλλως.
12. ὡς Δ.] ὡς om. T. Fl. 33.
ib. ἵνα] καὶ ἵνα T. Fl. 33.
14. δημήτηρ] δημήτρα T. Fl.
15. λέγουσιν A. λέγεται T. λέγει Fl.
16. Ὁμήρῳ] Il. 2, 592.
17. οἰκισθῆναι] οἰκηθῆναι T.
ib. οὕτως· τῆς γὰρ γῆς] ὅτι τῆς γῆς Fl.
20. πάντα τὰ] καὶ αὐτὰ T.
22. φαμὲν] φησὶ Fl.
23. ὅθεν — συνεκτικέναι τὴν πόλιν om. Fl.
24. ἄντικρυς γὰρ τούτων Matth. pro ἄντικρυς τῶν.

συμμάχων ἔχειν πλῆθος, καὶ διὰ τὸ ἐπικουρεῖν καὶ παρέχειν τοῖς δεομένοις. ἢ τὸ ἔνοπλον δηλοῖ τὸ ἀσφαλὲς τοῦ καρποῦ καὶ οὔποτε τὴν πόλιν ἐπιλείψαντος. εἰκότως οὖν νομίζοιντο ἂν αἱ θεαὶ αὗται συνῳκηκέναι τὴν πόλιν, ἐπεὶ τὸ ἀναγκαιότατον τῶν ἐν ἀνθρώποις παρέσχον τὸν σῖτον. A.T. Fl. 33.

684. φίλα: πᾶσιν. Gu.

685. Δαμάτηρ θεά: γῆ· ἐπ' αὐτῆς γὰρ οἰκοῦμεν καὶ τῶν ἐξ αὐτῆς σπερμάτων ἀπολαύομεν. Gu.

686. πάντων ἄνασσα: διὰ τὸ πάντας ἀνθρώπους εἰς Ἅιδου φοιτᾶν. Gu. Bar.

687. ἐκτίσαντο: ᾤκισαν. M. ᾤκησαν. B. rec. τὸ δὲ ἐκτίσαντο ἀντὶ τοῦ ᾤκισαν· οὐ γὰρ κτίζει τις, ἐνταῦθα καὶ οἰκεῖ. φησὶ δὲ καὶ Πίνδαρος ὀρείκτιτον σῦν τὸν ἐν τῷ ὄρει οἰκοῦντα. κατῴκουν δὲ ἐν Θήβαις Δημήτηρ καὶ Περσεφόνη, ὡς μέν τινές φασι, διὰ τὸ δωρήσασθαι Θήβας Περσεφόνῃ τὸν Δία χάριτός τινος ἕνεκα προϋπαρξάσης αὐτῷ παρὰ τῆσδε· ὡς δ' ὁ ἀληθὴς ἔχει λόγος, διὰ τὸ τὴν γῆν πυριφόρον (sic) εἶναι, διὰ τοῦτο ἐμυθεύσαντο Δήμητρα ἐνταῦθα οἰκεῖν, ἐξ ἀνάγκης δὲ καὶ τὴν αὐτῆς θυγατέρα Περσεφόνην. Gu.

πυροφόρους θεάς: τοῦτο πρὸς τὸ ἄνω ληπτέον· τουτέστιν, ὦ Ἔπαφε, πέμπε τὰς πυροφόρους θεὰς βοηθῆσαι τῇ γῇ. πυροφόρους δὲ εἶπε Δήμητρα καὶ Κόρην, ἐπειδὴ δᾳδουχίαι αὐταῖς γίνονται, τοῦ φωτὸς ἐμφαίνοντος τὴν ἐκ τῶν καρπῶν τοῖς ἀνθρώποις ζωήν. ἢ τὰς σιτοφόρους λέγει. ἔστι δὲ ταυτόν. A.C.M.T.

Πυρφόρους δὲ καλεῖ, ἐπειδὴ ἐν νυκτὶ γινομένων τῶν μυστηρίων οἱ μυούμενοι πῦρ ἔφερον, ὅθεν καὶ ταύτας πυρφόρους εἰκόνιζον. ἢ πυρφόρους τὰς παρεχούσας τὸν σῖτον. εἰ γὰρ καὶ μόνη Δημήτηρ παρέσχεν, ἀλλὰ μετ' αὐτῆς καὶ ταύτην συνέλαβεν. κρεῖττον δέ ἐστι τὸ πρόσθεν· ἐπὶ γὰρ τῷ ποιῆσαι ὄλεθρον τοῦ τῶν πολεμίων στρατεύματος διὰ τοῦ πυρὸς ἐπιβοᾶται τοῦτον αὐτὰς πέμψαι. Gu. Bar.

11. De scholio Gr. vid. annot. ad p. 190, 20.
11. 12. ᾤκισαν] Corrige ᾤκησαν.
13. Πίνδαρος] Conf. p. 193, 11.
17. Δήμητρα] δημητρ, Gu.
21. δήμητρα A. δήμητραν C.M.T.
ib. ἐπειδὴ] ἐπεὶ A.
25. ὅθεν καὶ] καὶ om. Gu.
26. παρεχούσας] παρασχούσας Gu.
27. μετ'] καὶ μετ' Bar.
ib. κρεῖττον—πέμψαι om. Bar.

688. ἀμῦναι τᾷδε γᾷ: βοηθῆσαι τῇδε τῇ χώρᾳ. ἢ οὕτως, ἀμῦναι τᾷδε γᾷ ἀντὶ τοῦ ἀμύνετε, τουτέστιν ἀντὶ τοῦ ἀμείβετε, ὡς καὶ Θουκυδίδης "ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνασθαι," τουτέστιν, οἶδεν εὐχαριστεῖν ταῖς θεαῖς ἡ χώρα, εἰ εὐεργετήσουσιν αὐτήν. γράφεται καὶ "ἀμύνεται δὲ γᾶ," ὅ ἐστιν ἱκανή ἐστιν ἡ πόλις ἀμείψασθαι ταῖς εὐεργεσίαις. A.B.C.M.T.

689. πάντα δ' εὐπετῆ θεοῖς: ὥστε, ἐπεὶ καὶ αὗται τοῦ τῶν θεῶν γένους εἰσὶ, ῥᾷστόν ἐστι σοὶ καὶ ταύταις βοήθειαν παρασχεῖν ἡμῖν. Gu. εὔκολα. M. εὐχερῆ, ῥᾴδια. B.

690. χώρει σύ: δεῖ νοεῖν ὅτι τοῦ χοροῦ ᾄδοντος ἔσω ἦν ὁ

1. ἀμῦναι] ἢ οὕτως ἀμύναι C.

ib. τῇ om. C.T.

ib. οὕτως ἀμῦναι—ὡς καὶ M. et (omissis verbis τουτέστιν ἀ. τ. ἀμείβετε) A. οὕτως ἄμυνε τᾷδε γᾷ ἀντὶ τοῦ ἀμείβετε ὡς καὶ T. οὕτως ἀντὶ τοῦ ἀμύνετε ὡς καὶ C.

3. Θουκυδίδης] Locus Thucydidis exstat 1, 42. de quo quia pauca dicenda sunt, ante non vulgare veteris grammatici scholion, e cod. petitum Aug. emendatius sic videtur scribendum: Ἀμῦναι τᾷδε γᾷ] βοηθῆσαι τῇδε τῇ χώρᾳ. ἢ οὕτως· ...... ἀντὶ τοῦ ἀμείβεται, ὡς καὶ Θουκυδίδης —Γράφεται καὶ, Ἀμύνεται δὲ γᾶ· ὅ ἐστιν, ἱκανή ἐστιν ἡ πόλις ἀμείψασθαι ταῖς εὐεργεσίαις. —Thucydidae locus quia propemodum unicus est in suo genere, (Schol. Thucyd. p. 32, 2. μόνος δὲ (l. μόνον δὲ) Θουκυδίδης ἐνταῦθα κέχρηται τῇ ἐναλλαγῇ τῆς λέξεως.) hinc ab Aristophane grammatico fuit prolatus, ubi καινοφώνους λέξεις interpretabatur: ex boc nempe Glossario petita suspicor haec Eustatbii in Il. E. p. 414, 33. φησὶν ὁ γραμματικὸς Ἀριστοφάνης τὸ Ἀμύνεσθαι—τεθεῖσθαι καὶ ἀντὶ ψιλοῦ τοῦ ἀμείψασθαι ἐτιοῦν. καὶ φέρει χρῆσιν ἔκ τε Ἀλκμᾶνος "οὐ γὰρ πορφύρας τόσσος κόρος ὥστ' ἀμύνασθαι" (*carmina possumus Donare, et pretium dicere muneri; non paterae neque purpuram*) καὶ ἐκ τῶν Θουκυδίδου τὸ, ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνασθαι. Haec, Wassio non ignota, H. Stepbanus attigit Thes. L. G. vol. 1. p. 104 c. Egregiam e Lexico ms. notam exhibet Montefalc. in Biblioth. Coislin. p. 231. quam Suidas in suum Lexicon transcripsit; illinc Suidae restitui poterit: κυρίως ἐπὶ τῶν προηδικημένων τάσσουσιν οἱ ῥήτορες τὸ ἀμύνασθαι. Hinc praeterea discimus, e veteribus Simonidem quoque verbum ἀμύνασθαι in eumdem usurpasse sensum, quo posuerat illud Alcman, pro χάριτας ἀποδιδόναι, *gratiam referre*. Cum Tbucydideis rectius, Budaeo citata, contulissent Aristotelis verba e Problem. Sect. 29. p. 206, v. 6. verum sermonis elegantiae minus studiosum Philosophum non adbibent in talibus grammatici. Phalaridis loca Lennepio meo relinquam tractanda. VALCK.

ib. ἀξιούτω] ἀξιοῦτο M. ἐξιούτω C.

ib. ἀμύνασθαι C. ἀμύνεσθαι T. ἀμείβεσθαι M.

4. οἶδεν] οἶδα C.

ib. ἡ χώρα] τὴν χώραν A.C.

ib. εὐεργετήσουσιν] εὐεργετήσωσιν A.

5. γράφεται καὶ] γρ. δὲ B.

ib. ἀμύνεται (αι abscissum in C.) δὲ γᾶ A.C. ἀμύνεται τᾷδε (τᾷ B.) γᾷ ceteri.

6. ταῖς εὐεργεσίαις] τὰς εὐεργεσίας B.

Ἐτεοκλῆς, νῦν δὲ ἔξεισιν οἰκέτης, ἐπιταχθεὶς καλέσαι τὸν Κρέοντα. B.I. τραγῳδεῖ ὁ Ἐτεοκλῆς. A.B.

χώρει: ἀντὶ τοῦ ἀπέρχου. χωρῶ τὸ δέχομαι, οἷον "τοσοῦτον ὕδωρ τόδε τὸ ἀγγεῖον χωρεῖ·" ἀφ' οὗ χώρα, ἡ ἄδεια καὶ ἡ ἐλευθερία, καὶ τὸ ἐγχωρεῖν τὸ ἐνδέχεσθαι. χωρῶ καὶ τὸ ἔρχομαι, ἀφ' οὗ συγχωρῶ, ὅταν ἑκὼν ἀπολύω τι, καὶ παραχωρῶ, ὅταν ἄκων ἀπολύω, καὶ προχωρεῖ ἀντὶ τοῦ προβαίνει, καὶ ἀναχωρεῖ ἀντὶ τοῦ ἐπαναστρέφει, καὶ ἀποχωρεῖ ἀντὶ τοῦ ἀφίσταται, καὶ ὑποχωρεῖ ἀντὶ τοῦ ὑπεξίσταται. Gr. Cant. Bar. Leid. Mosq. κόμιζε: δεῦρο παράπεμπε. Gr. Florr. omnes.

692. ὡς οἰκεῖα: συγγενῶν. M. ἤγουν ἴδια ἐμοῦ, τουτέστι περὶ ἐμοῦ ἰδίως, καὶ κοινὰ τῆς χθονὸς, ἤγουν καὶ ὁμοῦ περὶ πάσης τῆς γῆς. διττῶς δὲ δύναται ταῦτα νοεῖσθαι· λέγοιτο γὰρ ἂν βουλεύματα ἴδια ἐμοῦ, ἢ διότι ἐγὼ αὐτὰ ἰδίως συνεβούλευσα, ἢ διότι περὶ ἐμοῦ ἐγὼ αὐτὰ συνεβούλευσα, ἢ ἕτερος. καὶ κοινὰ τῆς χθονὸς, ἢ διότι κοινῶς αὐτὰ ἡ γῆ συνεβούλευσεν, ἢ διότι ἕτερος αὐτὰ περὶ αὐτῆς ὁμοῦ πάσης συνεβούλευσεν, ἢ αὐτὴ περὶ ἑαυτῆς. Gr. Bar. Florr. omnes Mosq. χθονός: δημόσα. M.

693. συμβαλεῖν βουλεύματα: ἀντὶ τοῦ βουλεύσασθαι καὶ ἀνακοινώσασθαι. B.M.I.

694. δορὸς τάξιν: εἰς παράταξιν πολέμου. B.M. πολέμου παράταξιν. Gr. Cant.

695. καίτοι ποδῶν σῶν: κατὰ τὸ σιωπώμενον εἶδεν αὐτὸν ἐρχόμενον· διὸ καὶ ἐπιφέρει "ὁρῶ γὰρ αὐτόν." M. ἀντιστρόφως λέγεται ἀντὶ τοῦ ἐλευθεροῖ τοὺς σοὺς πόδας τοῦ μόχθου. οἱ πόδες γὰρ ἐδέοντο τῆς ἐλευθερίας, καὶ ἐπὶ τούτων ἁρμόζει ἡ ἐλευθερία, καὶ οὐκ ἐπὶ τοῦ μόχθου. Gr. Bar. Mosq.

1. οἰκέτης ἐπιταχθεὶς] οἰκέτῃ ἐπιτάττων A.

3. ἀντὶ τοῦ ἀπέρχου] Haec e Gr. accesserunt, ut et τὸ ante ἐγχωρεῖν. χωρῶ καὶ τὸ ἔρχ. deerant in Cant. et Bar. addidit Valck. e Leid. quocum conspirat Gr. Pro ἐπαναστρέφει Bar. ἐπάνω στρ. MATTH.

4. ἡ ἄδεια (ἄδια Mosq.) καὶ (ἡ addidi ex Gr.) ἐλευθερία om. Cant. Leid.

11. ἤγουν—ἰδίως] Sic Gr. E Bar. King. dedit τουτέστιν ἐμοῦ ἴδια καὶ κ. Mosq. οἰκεῖα ἤγουν ἐν ἰδίᾳ ἐμοῦ, τουτέστιν περὶ τῶν ἐμοῦ ἰδίων, καὶ κοινὰ τῆς χθ. ἤγουν ὁμοῦ καὶ περὶ πάσης χθ. MATTH.

19. ἀντὶ τοῦ om. I.

ib. ἀνακοινώσασθαι] βουλάς addidit I.

21. παράταξιν πολέμου] πολέμου om. B.

ἐκλύει: ἀπαλλάσσει, παύει. M. παύει. B.

697. ἦ πόλλ' ἐπῆλθον: περισπαστέον τὸ ἦ ἀντὶ τοῦ ὄντως. M. ὄντως ἐπὶ πολλοὺς τόπους ἐπέδραμον χρῄζων εἰσιδεῖν σε, βασιλεῦ. περιῆλθον γὰρ τὰς τῶν Καδμείων πύλας καὶ φύλακας, ζητῶν τὸ σὸν δέμας, περιφραστικῶς, ἤγουν σέ. I.

698. πέριξ; κύκλῳ. B.M.

699. φυλακάς: τὰ συστήματα τῶν φυλακῶν. B.M.

σὸν δέμας: περιφραστικῶς, σὲ ζητῶν. M. ἀντὶ τοῦ σέ. Gr.

θηρώμενος: θηρῶν, ἀντὶ τοῦ ζητῶν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

700. καὶ μὴν ἐγώ: πάντως κἀγὼ ἤθελόν σε ἰδεῖν, ὦ Κρέον· κατὰ πολὺ γὰρ εὗρον ἐνδεεῖς τὰς φιλιώσεις, ἡνίκα εἰς λόγους ἐλθὼν ἠνώθην τῷ Πολυνείκει. ἐλθὼν γὰρ εἰς λόγους τῷ Πολυνείκει πολὺ εὗρον ἀτελεῖς τὰς διαλλαγὰς ἡμῶν. ἢ οὕτως· πολὺ λειπομένας τὰς συμβουλὰς εἰς τὸ γενέσθαι, δοκῶν διαλλάττεσθαι πρὸς Πολυνείκην. ὥστε ὑπολείπεται πολεμεῖν. I.

701. πολλῷ γάρ: πολλῷ μέτρῳ, ἤγουν κατὰ πολὺ μέτρον ἐλλιπεῖς. Gr. ἢ καθὰ ἤλπιζον. Gu. τὰς φιλιώσεις. Gr. τοῦ πεῖσαι ἡμᾶς ἀλλήλους. Gu.

ἐνδεεῖς: ἀτελεῖς. M.

702. συνῆψα: ἡνίκα συνέτυχον. A.M. Ἄλλως. εἰσελθὼν εἰς λόγους τῷ Πολυνείκει πολὺ εὗρον ἀτελεῖς τὰς διαλλαγὰς ἡμῶν. ἢ οὕτω· πολλῷ λειπομένας τὰς συμβολὰς εἰς τὸ γενέσθαι, δοκῶν διαλλάττεσθαι πρὸς τὸν Πολυνείκην, ὥστε ὑπολείπεσθαι τὸ πολεμεῖν. A. M. συνάπτω ἕτερον ἑτέρῳ καὶ συνάπτω ἐγώ τινι, ἤγουν ἑνοῦμαι, καθὸ λέγεται ἐνταῦθα. Gr. Cant.

703. ἤκουσα μεῖζον: ὑπὲρ τὰς Θήβας. οἷον, ἤκουσα αὐτὸν τὸν Πολυνείκην μειζόνως καταφρονεῖν τῶν Θηβῶν. M. ἤκουσα αὐτὸν φρονοῦντα μεῖζον ἢ κατὰ δύναμιν Θηβῶν ἐπὶ τῇ συγγενείᾳ τοῦ Ἀδράστου καὶ τῷ στρατῷ θαρροῦντα. I. ἢ Θήβας φρονεῖν: ἤγουν

7. τὰ om. B.

ib. φυλακῶν] φυλάκων B.

11.—16. Antiquior hujus scholii forma servata est in A.M.: vide l. 21—24.

13. ἐλθὼν—πολεμεῖν] Haec etiam in B.

17. πολλῷ — ἐλλιπεῖς (ἐλλειπεῖς Gr.)] Haec sunt etiam in Flor. 5. 6. 9. 21. 56. 59. 76.

26. καθὸ] καθὰ Cant.

τὴν τούτων καταστροφὴν πάνυ ῥάστην ἡγεῖσθαι, καὶ πλέον οἴεσθαι ποιήσειν ἢ ταύτας πολιορκῆσαι. Gr. Bar. Leid.

704. κήδει: τῇ ἐπιγαμβρίᾳ. M.

705. ἀλλ' εἰς θεούς: ὡς Ὅμηρος "ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται." B.M. ἀλλὰ ταῦτα μὲν τῷ θεῷ ἀναθετέον· καὶ ἔστιν ὅμοιον τῷ παρ' Ὁμήρῳ "ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις." ἃ δ' ἔστιν ἐμπόδιον, ταῦτα παρῆλθον λέξων. I.

ταῦτα: ἤγουν τὸ μεῖζον ἐκεῖνον φρονεῖν ἢ τὰς Θήβας. Gu. ἀναρτήσαντ': ἀναθέντα. M. Gu. Fl. 5. 6. 9. 21. 33. 56. 59. 76. ἐξάψαντα. M. ἔχειν: τὰς ἐλπίδας εἰς τοὺς θεούς. Fl. 59.

706. ἐμποδών: ἐν μέσῳ. M. ἀντὶ τοῦ ἐν ποσίν. Gr.

707. τὰ ποῖα: περισσὸν τὸ τά. Gr. Cant.

708. ἥκει τις αἰχμάλωτος: ἴσως κατάσκοπος ληφθεὶς, νύκτωρ σταλείς. B.C.M.I.

ἥκει τις: ἡμέτερος παρ' Ἀργείων αἰχμαλωτισθεὶς καὶ πρὸς ἡμᾶς αὖθις ἐπανιών. Gu. ἐλθὼν γὰρ ὡς κατάσκοπος ἐλήφθη ὑπ' αὐτῶν. Fl. 59.

709. νεώτερον: παρ' ἃ ἴσμεν. Gu. παραδοξότερον. Fl. 33.

710. μέλλειν πέριξ: πολιορκήσειν μέλλειν κύκλῳ τὸν Ἀργείων στρατόν. M. ἐπειδήπερ οὐκ εἰς πᾶσαν τὴν πόλιν ἔμελλον οἱ πολέμιοι προσβαλεῖν λόχους, ἀλλ' εἰς μόνους τοὺς πύργους τοὺς πύλας ἔχοντας, διὰ τοῦτο πᾶσαν πόλιν εἰπὼν ἐπήγαγε τὸ πύργοις, δηλῶν ὅπερ ἔφην. ἔστι δὲ καθ' ὅλον καὶ μέρος. Gu. Bar.

710. 711. μέλλειν πέριξ: λέγει πέριξ ἑλίξειν ἀντὶ τοῦ περιελίξειν, ἤγουν κυκλώσειν. πύργοισι: κατὰ τοὺς πύργους. Gr. Cant.

711. ὅπλοις ἑλίξειν: περιβαλεῖν, πολιορκήσειν, κυκλώσειν. M. Gu. πολιορκήσειν κυκλώσαντα αὐτὴν τοῖς ὅπλοις. B. ὅπλοις: ὡπλισμένοις ἀνδράσιν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. αὐτίκα: οὐκ εἰς ἀναβολάς. Gr. Florr. iidem. εὐθύς. Gu. Fl. 59.

1. τούτων—] King. dedit tantum: τούτων — ποιήσειν. Seqq. e Leid. addidit Valck. quae eadem sunt in Gu. In eodem ab initio sunt haec, ἤγουν τὴν, et deest ποιήσειν. MATTH.

4. ὡς (ὡς om. M.) Ὅμηρος] Il. 17, 514.

5. κεῖται om. B.

6. Ὅμηρος] Il. 1, 140.

13. ληφθεὶς, νύκτωρ σταλείς] πεμφθεὶς, νυκτὸς ληφθείς C.

22. πόλιν] τὴν πόλιν Bar.

26. περιβαλεῖν Gu. περιβάλλειν M.

ib. πολιορκήσειν etiam in I.

ib. κυκλώσειν om. Gu.

712. ἐξοιστέον: ἐκκομιστέον. M. ἀνάγκη τῇ πόλει ἐξενεγκεῖν ὅπλα. Ἄλλως. οὐκοῦν δέον καὶ τὰς Θήβας ἐξενεγκεῖν ὅπλα καὶ παρατάττεσθαι. B.M.I. ἄξιον ἄρα ἐστὶ τῇ πόλει τῶν Καδμείων ἐξοίσειν ὅπλα, ἀντὶ τοῦ ὡπλισμένους ἄνδρας. Gr. Cant.

713. μῶν νεάζων οὐχ ὁρᾷς: οὐ λογίζῃ. ἐρωτηματικῶς τοῦτο ἀναγνωστέον. οὐκ ἐᾷ δὲ αὐτὸν ἐξελθεῖν. B.C.M.I. ἆρα νηπιάζων οὐκ οἶδας τὰ πρέποντα ποιεῖν τῷ παρόντι καιρῷ; Gu. ἆρα νέα φρονῶν οὐ λογίζῃ ἃ πρέπει λογίζεσθαι; Gu. νεάζων: νέος ὤν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. νέος ὑπάρχων διανοῆσαι. Fl. 33. ὁρᾷς—ὁρᾶν: νοεῖς—νοεῖν. Gr. Florr. iidem.

714. ἐκτὸς τάφρων: ἀντὶ τοῦ ἔξω τάφρων. ἡ εὐθεῖα ἡ τάφρος. Gr. Florr. iidem. τάφροι τὰ κοινῶς λεγόμενα χαντάκια. Fl. 59. ὡς μαχουμένους: οἷον ὡς ταχέως ὀφείλοντας μάχεσθαι. M. πρὸς τὸ σημαινόμενον ἀποδέδωκεν. ἐξοιστέον γὰρ εἰπὼν ὅπλα ἀποδίδωσιν ὡς μαχουμένους, ἐπεὶ διὰ τοῦ ὅπλα τοὺς ὡπλισμένους ἄνδρας ἐδήλου. Gr. Mosq.

715. σμικρόν: ἀντὶ τοῦ ὀλίγον. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἄφθονοι: οἱ Ἀργεῖοι πολλοί. M. Gr. Florr. iidem.

716. ἐγῷδα: οἱονεὶ ἐγὼ οὐ ψηφίσω ἐκείνους τοὺς ὄντας θρασεῖς ἐν λόγοις καὶ οὐκ ἔργοις. A.C.M.

θρασεῖς: προπετεῖς, προχείρους, ἀλλ' οὐκ ἔργοις. M. ὁρμητικούς. Gr. ὥστε καὶ πλείους ἡμῶν ὄντες ἡττηθήσονται. Gu.

717. ἔχει τιν' ὄγκον: ὅ ἐστιν, ὑπολήψεις ἔχει παρὰ τοῖς Ἕλλησι. τινὲς δὲ τὸ Ἄργος Ἑλλήνων, τὸ Ἑλληνικὸν Ἄργος, ἵνα πλεονάζῃ ἡ παρά. ὁ δὲ νοῦς, ἔχει τινὰ δύναμιν τὸ Ἑλληνικὸν Ἄργος. A.B.C.M.I.

ὄγκον: ὑπερηφανίαν, φρόνημα. M. μεγαλοπρέπειαν, μέγεθος ἰσχύος. Bar. μεγαλοπρέπειαν, ἰσχύν. Gr. Florr. omnes. μέγεθος ἰσχύος, ἐπειδήπερ Ἕλληνες οἱ οἰκοῦντες. Gu.

5. οὐ λογίζῃ addidi ex M.
ib. ἐρωτηματικῶς] ἐρωτηματικὸν M.
ib. τοῦτο om. B.C.I.
7. Gl. ἆρα νέα φρονῶν in M.
11. ἡ τ.] ἤδε ἡ τ. Fl.
14. ἀποδέδωκεν] ἀπέδωκεν Cant. Mosq.
18. οἱ Ἀργεῖοι addidi ex M.
19. οἱονεὶ om. M. Gu.
ib. ἐγὼ] ἐγὼ δὲ M.
ib. ἐκείνους] τοὺς ἄνδρας add. Gu. In M. etiam gl. interl. ἵν' ᾖ οὕτως ἐγὼ οἶδα ἐκείνους θρασεῖς ὄντας τοῖς λόγοις καὶ οὐκ ἔργοις.
24. τὸ Ἑλληνικὸν] τὸ om. C.

718. *θάρσει*: θάρρει, τῷ αὐτῶν φόνῳ τὸ ἐμὸν πεδίον πληρώσω. B.I. οἷον, ταχέως πληρώσω τὰ ἡμῶν πεδία τοῦ αἵματος αὐτῶν, τουτέστι τὸ ἐμὸν πεδίον. M. ἴσως ἐμπλήσω τὸ πεδίον τοῦ αἵματος αὐτῶν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἐμπλήσω: κορέσω. Fl. 59.

719. *θέλοιμ' ἄν*: οὕτω γενήσεσθαι Gu. ἅπερ λέγεις, εἰ γενήσονται. Fl. 59. πολλοῦ πόνου: δεόμενον. Gr. Bar.

720. *ὡς οὐ καθέξω*: ὡς ἀντὶ τοῦ ὄντως. M. ἴσθι ὅτι οὐκ ἐπισχήσω τὸν στρατὸν ἐντὸς τῶν τειχῶν. I. γίνωσκε ὅτι. Gr. λείπει τὸ γίνωσκε. Bar. ὅρα. Fl. 33. καὶ δὴ οὐ καθέξω τὸν στρατὸν εἴσω τειχέων. A.C. εἰ γὰρ καὶ ἀποτρέπεις ἡμᾶς τῆς ἐξόδου, ἀλλ' οὐχ ὑπακούσομαί σου, ἀλλ' ἐξελθὼν μετὰ τοῦ στρατοῦ μαχοῦμαι. Gu.

721. *καὶ μὴν τὸ νικᾶν*: ἀκολουθεῖ γὰρ τῇ εὐβουλίᾳ τὸ νικᾶν, καὶ ἡ εὐβουλία ἔχει τὸ κράτος ἐν ταῖς νίκαις, ὡς τὴν δύναμιν τῆς νίκης καὶ τὴν ἐνέργειαν οὐκ ἄλλο τι εἶναι ἢ εὐβουλίαν αὐτόχρημα. Gr. Cant. πᾶσα νίκη εὐβουλία ἐστὶ, τουτέστι δι' εὐβουλίας γίνεται· ὥστε καὶ αὐτὸς θέλων νικῆσαι μὴ μετὰ θράσους μεταχειρίζου τὰ πράγματα, ἀλλ' εὐβουλίᾳ χρώμενος. Gu.

καὶ μὴν τὸ νικᾶν εὐβουλία: ἐν παντὶ τὸ νικᾶν ἐστιν εὐβουλίας· ὅθεν ἐκεῖνός φησιν, εἰ οὖν εὐβουλίας ἐστὶ τὸ νικᾶν, βούλει ἑτέραν μέθοδον μετέλθω γνῶναι; Ἄλλως. τὸ κεφάλαιόν ἐστι τὸ νικᾶν· καθέξεις οὖν, ἢ οὐ καθέξεις περὶ τοῦ νικᾶν σκόπησον, ἀλλ' οὐ τοσοῦτον ἐν δυνάμει τὸ νικᾶν, ὅσον ἐν εὐβουλίᾳ καὶ συνέσει. A.C.M.T. καὶ μὴν τὸ νικᾶν οὐ τοσοῦτον ἐν δυνάμει ἐστὶν ὅσον ἐν εὐβουλίᾳ. B.

722. *βούλει τράπωμαι*: θέλεις βουλευσόμεθα γνώμας, προφάσεις, αἰτίας βουλευμάτων; M.T. βούλει ἵνα διανοήσωμαι μεθόδους

1. *θάρρει* om. B., in lemmate habet I.
10. *εἴσω τειχέων*] *ἔσω τῶν τειχῶν* A.
13. *ἀκολουθεῖ γὰρ* (*γὰρ* om. I.) *τῇ —ταῖς νίκαις*] Haec etiam in I.
19. *ἐστιν εὐβουλίας* (*εὐουλίας* C.)] *ἐστὶν πᾶν εὐβουλίας* M. *γίνεται εὐβουλίας* I.
20. *εὐβουλίας ἐστὶ* M. *εὐβουλία ἐστὶ* C.T.
ib. *βούλει* resectum in C.
21. *γνῶναι* om. M.
22. *ἢ οὐ* (*οὐ* A.) M. *ἢ* om. A.C.T.
ib. *τοῦ νικᾶν*] *τὸ νικᾶν* C.
23. *ἐν δ. τὸ νικᾶν* A.M. *τὸ νικᾶν ἐν δ.* C.T.
ib. *εὐβουλίᾳ καὶ* om. C.
24. *καὶ μὴν τὸ νικᾶν—εὐβουλίᾳ*] Haec in B. leguntur post verba *τοῦ φυλαττομένου ἀκριβῶς χεῖρόν ἐστι* (schol. v. 731.)
27. *μεθόδους ἄλλας*] *προφάσεις* B.

ἄλλας καὶ αἰτίας βουλευμάτων; B.I. τοῦτο μὲν ἐάσω, ἄλλα δὲ βουλεύσομαι. τὸ γὰρ ὁδούς οὐκ ἔστιν ἄλλο ἢ ὁδοὶ βουλευμάτων. Gu. βούλει ἵνα βαδίσω, ἀντὶ τοῦ βούλει ἵνα μεθόδους ἄλλας τινὰς διανοήσωμαι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

723. πάσας: τράπηθι, πρὶν ἐλθεῖν εἰς κίνδυνον. I. εἰσάπαξ: καθόλου. Gr. παντελῶς. Gu.

724. εἰ νυκτός: εἰ συμπλακείημεν αὐτοῖς νύκτωρ ἐκ λόχου, καλόν σοι δηλονότι τοῦτο δοκεῖ; ναὶ καλόν μοι δοκεῖ, εἴπερ ἀποτυχὼν δυνατὸς ἔσῃ πάλιν δεῦρο σωθῆναι. Gr. Cant. I. εἰ νυκτὸς αὐτοῖς: λείπει τὸ περιεσόμεθα. ἐρωτηματικὸς δέ ἐστιν ὁ λόγος· εἰ νυκτὸς αὐτοῖς ἐπέλθοιμεν, περιγενησόμεθα, ἵνα ἐξ ἐνέδρας αὐτοὺς λάβωμεν. A.B.C.M.T.

προσβάλοιμι: συμμίξαιμι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. ἐκ λόχου: ἐξ ἐνέδρας. Gr. Florr. iidem. Mosq. εἰ ἐπέλθοιμεν, περιγενησόμεθα, ἢ καλὸν τοῦτο, ἤγουν ἐξ ἐνέδρας αὐτοὺς λάβοιμεν. Fl. 33. τὸ ἢ γράφεται καὶ δίφθογγον ἀντὶ τοῦ ἐάν, οὕτως· εἰ νυκτὸς αὐτοῖς προσβάλλοιμεν ἐκ λόχου, τί σοι δοκεῖ δηλονότι. πρὸς ὃ οὐδὲν ἀπεκρίνατο Κρέων, ἀλλὰ ἄλλον νοῦν ἐρωτᾷ. Gu.

725. εἴπερ σφαλείς: τοῦτο ποίει, εἴπερ σφαλεὶς δύνασαι ὑποστρέψαι ὧδε. B.M. ἀποτυχών. B.M. εἰ μὲν τὸ σφαλῇς η γράψεις, κατ' ἐρώτησιν εἴπῃς. οἷον, ἐπειδή με ἐρωτᾷς, ὦ Ἐτεόκλεις, εἰ ἄρα δέον ἐστὶ νυκτὸς προσβαλεῖν αὐτοῖς, ἀντερωτῶ σε καὶ αὐτὸς, ἐὰν σφαλῇς τοῦ κατὰ τὴν νύκτα τολμήματος, σωθήσῃ δεῦρο πάλιν; τουτέστι δυνατόν ἐστί σοι, ἀποτυχόντι τῆς κατ' ἐκείνων ἐγχειρήσεως, καταφυγεῖν εἰς τὴν πόλιν καὶ σωθῆναι, ἀλλ' οὐχ ὑπὸ τῆς νυκτὸς ἐμποδισθῆναι; εἰ δὲ δίφθογγον, κατ' ἀπόφασιν οὕτω, σύναψον τοῖς πολεμίοις ἐν νυκτὶ, εἰ σωθήσῃ πάλιν δεῦρο, σφαλεὶς τῆς κατ' ἐκείνων ἐλπίδος. Gu. Bar.

8. καλόν σοι—σωθῆναι] Haec om. I., habent Cant. Gr., et Gr. cum lemmate προσβάλοιμ' ἂν ἐκ λόχου.

10. λείπει τὸ περιεσόμεθα est etiam in I. sine lemmate.

ib. ἐρωτηματικὸς] ἐρωτηματικὸν M.

ib. δέ om. B.

ib. νυκτὸς] νύκτωρ A.T. εἰ νυκτός—λάβωμεν om. B.

19. τοῦτο ποίει—] In Mosq. supra scripta haec: ναὶ καλὸν δοκεῖ (hoc etiam Gu.) ὅπερ (leg. εἴπερ ut Gr.) ἀποτυχὼν δυνατὸς ἔσῃ πάλιν δεῦρο σωθῆναι. MATTH.

ib. εἴπερ] ἐὰν εἴπερ (sic) B.

24. τῆς—ἐγχειρήσεως] τοῦ κατ' ἐκεῖνον ἐγχειρήματος Bar.

ib. εἰς τὴν] πρὸς τὴν Bar.

26. κατ' Valck. οὕτω κατ' Bar. Gu.

726. ἴσον φέρει νύξ: ἑκατέρῳ μὲν στρατεύματι ἐπίσης ἐμποδίζει τὸ τῆς νυκτὸς σκότος, τοῖς μέντοι προεπιτιθεμένοις πλέον τι παρέχει πρὸς νίκην τὸ ηὐτρεπίσθαι. ἢ οὕτως, καὶ τοῖς ἐπιχειροῦσι καὶ τοῖς ἐπιχειρουμένοις ἴσον παρέχει ἡ νὺξ ἐμπόδιον, τοῖς δὲ τολμηροτέροις τὴν νίκην χαρίζεται. A.B.C.T.I.

ἴσον φέρει: ἴσην ὠφέλειαν ἐπάγει ἡ νὺξ ἀμφοτέροις τοῖς μέρεσι τοῖς ἀντιταττομένοις, τοῖς ἐπιτιθεμένοις δὲ, ἡσυχάζοντι τῷ ἑτέρῳ μέρει, πλέον. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76. τοῖς δὲ τολμῶσι: εἴπερ οὗτοι μὲν ἀμερίμνως ἔχουσιν, οἱ δὲ γρηγοροῦσιν οἱ τολμῶντες. Gu.

727. ἐνδυστυχῆσαι: ἐπιτήδειον τὸ σκότος τῆς νυκτὸς εἰς τὸ ἐνδυστυχῆσαί τινα ἐν αὐτῷ. Gr. Cant.

ἐνδυστυχῆσαι: ἡ ἐν ἀντὶ τῆς κατά. ὁ δὲ νοῦς, δυστυχῆσαι κατὰ τὸ τῆς εὐφρόνης κνέφας δεινόν. καὶ Ὅμηρος "ἐν δὲ φάει καὶ ὄλεσσον." A.B.C.M.I.

728. ἀλλ' ἀμφὶ δεῖπνον: ἀλλὰ βούλει ἵνα περὶ δεῖπνον οὖσιν αὐτοῖς συγκροτήσω πόλεμον; Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἀλλὰ τὸ μὲν νυκτὸς βαθείας προσβαλεῖν αὐτοῖς ἐάσω, ἐν ἑσπέρᾳ δὲ πόλεμον αὐτοῖς συνάψω. Gu. Bar.

729. ἔκπληξις ἂν γένοιτο: εἰ δειπνοῦσιν αὐτοῖς ἐπέλθοιμεν, ἔκπληξις ἂν καὶ ταραχὴ γένοιτο· οὐ μέντοι νίκην ἐπιφέρει τὸ τοιοῦτον πρᾶγμα· δεῖ δὲ νικᾶν. M.T. ἀντὶ τοῦ ταραχὴ μόνον γίνεται αὐτοῖς, οὐ μέντοι ἧττα, ἐπεὶ εἰκὸς αὐτοὺς ἐνόπλους δειπνεῖν. A.B.C.M.I. θόρυβος, ταραχὴ ἂν γένοιτο οὕτως, οὐ νίκη· νικῆσαι δὲ χρεία ἐστί. Gr. ταραχή. τουτέστι ταραχὴν ποιήσεις, οὐ νίκην· ταύτης δὲ χρεία. καὶ γὰρ οἱ πολέμιοι ἐν ἑσπέρᾳ γρηγοροῦσιν, ἐν δὲ νυκτὶ οἱ πλείους αὐτῶν καθεύδουσιν. Gu.

2. προεπι—] προσεπι— I.
3. ηὐτρεπίσθαι B. εὐτρεπίσθαι M. T. εὐτρεπίζεσθαι C. οὐ τρέπεσθαι I.
ib. οὕτως] οὕτω A. In C. οὕτω καὶ ἐπιχειροῦσι καὶ ἐπιχειρουμένοις etc.
4. ἡ νὺξ—τολμηροτέροις] τις—τολμηροῖς C.
13. κατὰ τὸ τῆς εὐφρόνης κνέφας] τινα κατὰ τὸ σκότος τῆς νυκτὸς I.
14. δεινόν] χαλεπόν ἐστι I.
ib. καὶ (καὶ om. A.B.M.) Ὅμηρος] Il. 17, 674. καὶ Ὅμηρος om. I.
15. καὶ ὄλεσσον] ὤλεσεν A.
18. ἀλλὰ τὸ μὲν — προσβαλεῖν] ἀλλὰ μὴ—προσβάλλειν Bar.
19. πόλεμον—συνάψω om. Gu.
20. ἐπέλθοιμεν] ἐπέλθωμεν M. in quo ἂν—ἐπιφέρει obliterata.
22. μόνον om. A.B C.
ib. γίνεται] γένηται C. pariterque in lemmate, licet in textu γένοιτο sit.
23. αὐτοὺς] αὐτοῖς A.

730. *βαθὺς γένοιτο*: τοῦτό φησιν ὡς συντιθέμενος καὶ ἐπαινῶν· οὐ δεῖ ἐξαίφνης ἐπιθέσθαι, μή πως τροπῆς γενομένης καθ' ἡμῶν φεύγοντες περᾶν τὸν ποταμὸν βαθὺν ὄντα οὐ δυνησόμεθα. Δίρκη δὲ ποταμὸς ὁμώνυμος τῇ κρήνῃ. A.B.C.M.T.I. *βαθύς*: ἀντὶ τοῦ πλατύς. Gr. Florr. I. Ἄλλως. οὐκ ἔστιν ἡμῖν εὐχερὲς ἀναχωρῆσαι διὰ τῆς Δίρκης οὔσης βαθείας, καὶ μάλιστα ἐπειγομένοις, ἀλλὰ δύσκολον. A.C.M.T.

εἰ καὶ μὴ παντελῶς νικήσω, ἀλλὰ πολλοὺς αὐτῶν ἀπολέσω. ἐπιχειρήσαντες γὰρ φεύγειν οὐχ οἷοί τε ἔσονται Δίρκην περᾶν, τὸ πολὺ τοῦ ὕδατος ὑποπτεύοντες. εἰ δ' οὖν πᾶς τις ἂν ἴδῃ ὡς οὐκ ὀλίγοι πεπνίξονται τῷ τε νύκτα εἶναι, τῷ τε μετὰ σπουδῆς καὶ ἀσκόπως τὸν πόρον ποιεῖσθαι, ἃ μέγιστα σφίσιν ἔσται ἐναντιώματα. Gu. Bar.

731. *ἅπαν κάκιον*: ἀντὶ τοῦ δεύτερον. ὁ νοῦς, πᾶν ὁτιοῦν φυλαττόμενον τοῦ φυλάττειν ἀκριβῶς χεῖρόν ἐστιν, ὅ ἐστι φύλαττε σαυτόν. τοῦ γὰρ φυλάττεσθαι καλῶς πᾶν ὁτιοῦν ἀσθενέστερόν ἐστι. A.C.T.I. *ἅπαν δεύτερον καὶ χεῖρον*. I. πᾶν ὁτιοῦν μὴ φυλαττόμενον τοῦ φυλαττομένου ἀκριβῶς χεῖρόν ἐστι. B.I. τουτέστι δεύτερα πάντα τῆς εὐλόγου ἀσφαλείας. Gr. ἅπαντα ἐλάττονα πρὸς τὸ φυλάττεσθαι καὶ μὴ κινδυνεύειν, ὥστε καὶ αὐτὸς τουτὶ μόνον, ὅπως μὴ κινδυνεύσῃς, τηρῶν πᾶσιν ἐπιχείρει πράγμασιν. Gu. Bar.

732. *τί δ', εἰ καθιππεύσαιμεν*: τί δὲ ἄρα πλέον ἡμῖν ἔσται, εἰ πάντες ἐφ' ἵπποις ἐπέλθοιμεν κατ' αὐτῶν; B.C.M.I. τί δέ σοι δοκεῖ, εἰ ἔφιπποι ὁρμήσαιμεν ἐπὶ τὸν στρατὸν τῶν Ἀργείων; Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. δι' ἵππων καταδράμοιμεν. Gu.

1. φησιν ὡς] φησὶ καὶ T.
2. οὐ δεῖ] καὶ δεῖ B.I.
ib. πως] ἐξαίφνης addit A.C.
ib. φεύγοντες om. B.I, post περᾶν habet C.
3. τὸν ποταμὸν βαθὺν ὄντα] τὸν βαθὺν ποταμὸν M. In A. est ὄντα βαθὺν τὸν ποταμὸν μὴ δυνησόμεθα, in C. est μὴ δυνησόμεθα ὄντα τὸν ποταμὸν βαθύν.
4. τῇ κρήνῃ om. A.C.
ib. ἀντὶ τοῦ om. I.
5. Ἄλλως addidi ex A.C.M.
ib. εὐχερὲς om. M. εὐχερῶς A.
6. μάλιστα om. A.
8. εἰ καὶ] ἤγουν εἰ καὶ Bar.
14. ὁ νοῦς om. M.
16. σαυτὸν om. T. ταύτην est in A.
ib. τοῦ γὰρ—ἀσθενέστερόν ἐστι] πᾶν γὰρ ὁτιοῦν ἐστιν ἀσθενέστερον τοῦ φυλάσσεσθαι καλῶς A.C. Literas φυλαττό post ὁτιοῦν in C. repetitas librarius ipse delevit.
19. ἅπαντα] ἤγουν ἅπαντα Bar.
23. ἐφ' ἵπποις ἐπέλθωμεν (correxi ἐπέλθοιμεν) B. σὺν ἵπποις ἐπέλθωμεν C. ἐφ' ἵπποις συνέλθωμεν (συνέλθομεν A.) A.M. ἐφ' ἵππων ὁρμήσομεν I.
ib. κατ'] καθ' M.

733. *κἀκεῖ πέφρακται: κἀκεῖ ἠσφάλισται ἅρμασιν ἐν κύκλῳ ὁ στρατός.* I. *ἠσφάλισται.* B.C.M.

734. *τί δῆτα δράσω: ἀγανακτῶν δυσχεραίνει. ἐπεὶ πάντα ὅσα εἶπεν ἀπεδοκίμασε, φησὶ, θέλεις οὖν προδῶ τὴν πόλιν;* A.B.C.M.I.

736. *γίνεται: ἀντὶ τοῦ γίνηται. σύνηθες τούτοις χρῆσθαι ὁριστικῷ ἀντὶ ὑποτακτικοῦ, ὡς καὶ ἐν ἄλλοις οὗτος " ὡς ἂν προὐξερευνήσω στίβον, μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται." καὶ παρ' Ὁμήρῳ " ἵνα εἴδομεν ἄμφω," ἀντὶ τοῦ εἰδῶμεν.* Gr. Cant. Leid. *πρόνοια: φροντίς.* M. Gu. *προμήθεια.* Gr. *γίνεται: ἐστί.* Gr. *σοφωτέρα: φρονιμωτέρα.* Gr. *ὧν εἶπον.* Gu. Bar.

737. *ἕπτ' ἄνδρας: τὸ ἑξῆς· ἑπτὰ ἄνδρας ἐν αὐτοῖς φασι λόχων ἀνάσσειν. καὶ αὐτὸς ἑλοῦ.* A.B.M.I.

ἕπτ' ἄνδρας: τὸ ἑξῆς λόχων ἀνάσσειν. C. *ἀκούσας ἐξαίφνης ἑπτὰ ἄνδρας Ἐτεοκλῆς οὐκ ἐνενόησε στρατηγοὺς, θεραπείαν συχνὴν περὶ αὐτοὺς ἔχοντας, ἀλλ' ἁπλῶς ἑπτὰ ἄνδρας μόνους· καὶ διὰ τοῦτό φησιν ὡς τῶν ἑπτὰ τὸ σθένος βραχύ. τοῦτο δὲ ἔπαθεν οὐκ ἀνασχόμενος ἀκοῦσαι πάντα τὸν λόγον Κρέοντος, ἀλλ' ἐν ἀρχῇ τοῦτον ὑποτεμών.* Gu. Bar. *αὐτοῖς: τοῖς Ἀργείοις, ἤγουν ὑπ' αὐτῶν.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

738. *τί προστετάχθαι: τί προστετάχθαι φησὶ τοὺς ἑπτὰ ἄνδρας δρᾶν.* B.M. *τί λέγουσιν αὐτοῖς προστετάχθαι; τὸ γὰρ σθένος τῶν ἑπτὰ βραχύ.* I.

τί προστετάχθαι: καὶ προστετάχθαι καὶ προστέτακται γράφεται· καὶ τὸ μέν ἐστι φανερὸν ὅπως συντάσσεται· τὸ δὲ προστετάχθαι πρὸς τὸ ὄπισθέν φασιν, ἀποδεδομένου τοῦ Ἐτεοκλέους λόγου πρὸς τὸν τοῦ

4. *οὖν προδῶ*] *προδώσω* M. In C. hoc scholion adscriptum v. 740.
5. *γίνεται—γίνηται* om. Gr.
ib. *τούτοις*] *τραγικοῖς* Bar.
6. *οὗτος*] V. 93.
8. *Ὁμήρῳ*] Il. 1, 363.
ib. *ἄμφω* om. Gr.
11. *τὸ ἑξῆς* om. M.
ib. *ἑπτὰ—λόχων ἀνάσσειν*] *ἑπτὰ φησὶν ἄνδρας ἐν αὐτοῖς τῶν λόχων ἀνάσσειν* A.M. Pergit A. *τὸ ἑξῆς ἑπτὰ ἄνδρας αὐτούς φησιν τῶν λόχων ἀνάσσειν:—*
ib. *φασὶ*] *φησὶ* B.
12. *καὶ αὐτὸς ἑλοῦ* om. A.C.M.
14. *ἐνενόησε—περὶ*] *ἐνόησε—πρὸς* Bar.
21. *δρᾶν* post *προστετάχθαι, φησί* post *ἄνδρας* B.
23. *γράφεται*] *γράφε* Bar. Gu. In C. versui superscriptum *γρ αι προστέτακται.*
24. *πρὸς τὸ ὄπισθέν φασιν*] I. e. *verbum quod praecessit φασίν.* VALCK.

Κρέοντος. Gu. Bar. τὸ γὰρ σθένος βραχύ: οἱ ἄνδρες ὀλίγοι εἰσί. M. τῶν ἑπτά. C.M.

739. λόχων: ταγμάτων. I. τῶν τάξεων ἄρχειν. C.M. προσκεῖσθαι: λείπει ὁ καί, καὶ ἑπτὰ προσκεῖσθαι πύλαις. M. λείπει ὁ καί, καὶ ἐπέρχεσθαι ταῖς ἑπτὰ πύλαις. C.M. παρακαθῆσθαι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

740. ἀπορίαν γάρ: οὐ μενῶ, φησὶν, ἕως εἰς ἀπορίαν καὶ ἀμηχανίαν πέσω. B.M.I. ἀπορίαν: ἀμηχανίαν. Gr. οὐκ ἐάσω εἰς τοιοῦτον καιρὸν ἐλθεῖν τὰ πράγματα ὡς ἀπορίαν γενέσθαι τί δεῖ περὶ αὐτῶν πράττειν. Gu.

741. ἐπ' ἄνδρας: ἐπ' αὐτοῖς, ἤγουν κατ' αὐτῶν. Gr. ἑλοῦ: ἐπίλεξαι. M. ἔκλεξαι. Gr. πρόκρινε, λάβε, ἔκλεξαι. Gu.

742. λόχων ἀνάσσειν: πότερον, φησὶ, κρίνω τοὺς ἑπτὰ τῶν λόχων ἄρχειν, ἢ διὰ μονοστόλου δορὸς, ὅ ἐστιν εἷς πρὸς ἕνα, ὡς ἑπτὰ πρὸς τοὺς ἑπτά. C.M. πότερον, φησὶ, προκρίνων ἑπτὰ ἄνδρας τῶν τάξεων ἄρχειν, ἢ εἷς πρὸς ἕνα, οἱ ἑπτὰ κατ' ἰδίαν περιεσταλμένοι δόρασι. I. ταγμάτων ἀνάσσειν ἕκαστον, ἢ μόνης τῆς ἑαυτοῦ λόγχης ἕκαστον ἀνάσσειν; Gr. Bar. ἕκαστον στρατηγὸν περὶ αὐτὸν θεραπείαν ἔχειν, ἢ πάντας ὁμοῦ ἡνωμένους ἄρχειν παντὸς στρατοῦ καὶ οὐ μεμερισμένου. Gu. Bar.

ἢ μονοστόλου δορός: τὸ πολεμεῖν τὸν ἐναντίον μόνον. B. μονομάχου. C.

743. προκρίνας: ἐπιλέξας τοὺς ἰσχυρούς. M. ἐκλεξάμενος ἐκείνους τοὺς στρατιώτας, ἤγουν στρατηγοὺς, οἵπερ εἰσὶν ἀνδρειότατοι. Bar.

5. ταῖς ἑπτὰ πύλαις] τὰς ἑπτὰ πύλας M.

7. φησὶν, ἕως om. M.

8. πέσω] ἐμπέσω B. Ad prima hujus versus verba in C. hoc scholion est adscriptum literis nonnullis in fine versuum resectis, τί δῆτα δρῶμεν: ἀγανακτῶν δυσχεραίνει. ἐπεὶ πάντα ὅσα εἶπεν ἀπεδοκίμασε φησὶ θέλεις οὖν προδ... (hoc est προδῶ: v. ad v. 736.) τὴν πόλιν. ἑπτά φησιν ἄν... (i. e. ἄνδρας) ἐν αὐτοῖς τῶν λόχων ἀνάσσειν.

11. ἐπ' αὐτοῖς—] In M. ἀπὸ (corrige ἐπὶ) τοὺς ἑπτὰ ἄνδρας αὐτοὺς ἑλοῦ.

13. πότερον] Praecedit in M. ἑπτὰ πρὸς ἑπτὰ δὲ μονόστολοι λόχων προκρίνας. τὸ ἑξῆς λόχων ἀνάσσειν. (Hoc spectat ad v. 737.) ἄλλως.

ib. φησὶ om. M.

ib. λόχων] λόγχων C.

15. πρὸς τοὺς] πρὸς om. M.

ib. προκρίνων om. I.

18. αὐτὸν] αὑτὸν Bar. Gu.

23. ἐκλεξάμενος—] In Gr. sunt hae glossae: ἐκλεξάμενος ἐκείνους (Gu. add. τοὺς στρατηγοὺς) ἰσχυρότατοι εἰσίν.

744. ξυνῆκ᾽: ἐνόησα, βοηθεῖν πρὸς τὰς ἀναβάσεις τῶν τειχῶν. A.M. Gr. Cant.

ἀμύνειν τειχέων προσαμβάσεις: τῇ πόλει βοηθεῖν καὶ μὴ ἐᾶν τοὺς πολεμίους κλίμακας θέντας ἀναβαίνειν ἀνὰ τὰ τείχη. τὸ γὰρ ἀμύνειν προσαμβάσεις τοῦτό ἐστι τὸ βοηθεῖν τῇ πόλει τὰς προσαμβάσεις καὶ ἀναβάσεις τῶν τειχέων· ταύτας γὰρ τὰς προσαμβάσεις καλεῖ βοήθειαν, ὡς πλείστης σπουδῆς δεομένας καὶ φυλακῆς, ὅπως μὴ γένωνται. οὕτω λέγε, καὶ μὴ λάμβανε τὸ εἰς ἔξωθεν. ἢ οὐ λαμβάνων ἔξωθεν πρόθεσιν, ἀλλὰ τὸ ἀμύνειν ἀντὶ τοῦ ἀποσοβεῖν λέγων, καλῶς ἂν εἴπῃς. Gu. Bar.

προσαμβάσεις: προσαναβάσεις, ἐπαναβάσεις, ὅ ἐστιν ἀποσοβεῖν τῶν τειχέων τὰς ἐπαναβάσεις. A.B.C.I.

745. καὶ ξυστρατηγούς: στρατηγοὺς ἑτέρους μετὰ τῶν ἑπτά. καθ᾽ Ὅμηρον γὰρ "σύν τε δύ᾽ ἐρχομένω καί τε πρὸ ὃ τοῦ ἐνόησεν." A.B.C.M.I. ὑπασπιστάς ὀπισθίους. ξυστρατιώτας. C. ὑπασπιστάς. M. ἔκλεξαι αὐτοῖς. Gr. καὶ σὺν ἐκείνοις ἑτέρους στρατηγοὺς, ἵν᾽ ὦσιν αὐτοῖς εἰς βοήθειαν. Gu.

εἷς δ᾽ ἀνήρ: οἷον οὐ μόνον τοὺς ἑπτὰ στρατηλάτας στῆσον, ἀλλὰ καὶ ἄλλους σὺν αὐτοῖς· εἷς γὰρ ἀνὴρ τῶν στρατηλατῶν οὐ δύναται θεωρῆσαι, ἀλλὰ βοηθοὺς παράσχε ἑκάστῳ. A.C.M.

746. θάρσει: γρ. θράσει. λείπει δὲ ἡ ἐν, ἵν᾽ ᾖ ἐν θάρσει ἐπιλεξάμενος γενναίους ἢ φρονίμους. M. λείπει ἡ ἐν. B. ἀνδρείᾳ. I.

1. ἐνόησα om. M.

3. τῇ πόλει βοηθεῖν] ὥστε βοηθεῖν τῇ πόλει Bar. "Dedi scholion, ut in Gu. legitur; nam quod King. edidit, dubito an non interpolatum sit. Is duo fecit: ὥστε β.—ἀνὰ τείχη (ἀνὰ τὰ τείχη Gu.) tum: τὸ ἀμύνειν τειχέων προσαμβάσεις, τοῦτό ἐστι τὸ βοηθεῖν τῇ πόλει εἰς τὰς προσαμβάσεις καὶ ἀναβ. τῶν τειχ. In his dedit ὅπως ἔκπλεκται μὴ γένωνται. Gu. nihil habet nisi ὅπως μὴ γένωνται, sc. αἱ προσαμβ. Mox King. οὕτω λέγε καὶ λάβῃς τὸ εἰς ἔξωθεν, ἢ λαμβάνων ἔξωθεν πρόθ. ἀλλὰ καὶ τὸ ἀμ." MATTH.

ib. ἐᾶν τοὺς π.] τοὺς π. ἐᾶν Bar.

4. τὸ γὰρ ἀμύνειν προσαμβάσεις om. Bar.

11. προσαμβάσεις] Praecedit in C. scholion inferius (v. 745.) οὐ μόνον—ἑκάστῳ.

ib. προσαναβάσεις om. B.C.I.

13. στρατηγοὺς] ξύλλεξαι αὐτοῖς δηλονότι καὶ στρατηγοὺς I.

ib. μετὰ τῶν] μετ᾽ αὐτῶν I.

14. Ὅμηρον] Il. 10, 224.

ib. γὰρ om. A. In C. ὅμη... | σύν etc., extremis linea cum literis per totam hanc codicis paginam (fol. 78 a.) abscissis. Eadem de caussa lin. 18. εἷς δ᾽ ἀν... | οὐ μόνον etc.

ib. ἐρχομένω] ἐρχομένων C.

ib. καί τε—ἐνόησεν om. C.

ib. τοῦ] τοῦδ᾽ M.

20. παράσχε A.M. παρέσχε C.

θάρσει προκρίνας: ἄνδρας ἐν τόλμῃ ἐκλεξάμενος καὶ ἀνδρείᾳ, ἤγουν τολμηροὺς καὶ ἀνδρείους, ἢ ἐν εὐβουλίᾳ, ἤγουν φρονίμους ἄλλως καὶ ἀγαθοὺς τὰς βουλάς. Gr. Cant. Florr. Mosq.

747. ἀμφότερον: κατὰ τὰ δύο· οὐδὲν γάρ ἐστι τὸ ἕτερον ἀπολειφθὲν τοῦ ἑτέρου. I. ἀμφότερα ἔστω, ἤγουν καὶ τὰ δύο ἔστω· στερηθὲν γὰρ τὸ ἕτερον τοῦ ἑτέρου οὐδέν ἐστιν. Gr. Fl. 6. 9. 21. 56. 59. 76. πρόκρινε καὶ ἰσχυροὺς καὶ φρονίμους. Gu. ἀπολειφθέν: χωρισθέν. M. οὐδέν: ἀσθενές. M.

748. ἑπτάπυργον ἐς πόλιν: γελοίως τοῦτό φησιν, ὡς μὴ ὢν νῦν ἐν τῇ πόλει. B.M.I. ἑπτάπυργον: ἀντὶ τοῦ ἑπτάπυλον. Gr. Florr. omnes, Mosq. μολών: ἀπελθών. Gr. Florr.

749. λοχαγούς: ταξιάρχους. Gr. Florr. στρατηγούς. M. Gu. ἡγεμόνας. Fl. 33. λέγεις: συμβουλεύεις. Gr. Florr.

750. ἴσους ἴσοισι: ἰσαρίθμους ἰσαρίθμοις. Gr. Florr. ἀντιθείς: ἀντιτάξας. Gr. Florr. ἀντιπαρατάξας, ἐξ ἐναντίας θείς. Bar. Gu.

751. διατριβή: πεφύλακται τὰς ὀνομασίας αὐτῶν εἰπεῖν, ὥς φησι Δίδυμος, διὰ τὸ ὑπὸ Αἰσχύλου εἰρῆσθαι ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις, ἢ ἐπειδὴ μὴ καλὸν ἦν ἑκάστου καταλέγειν τὸ ὄνομα τοῦ πολέμου ἐπείγοντος. A.B.C.M.I. ἀργία. B.I.

753. ἀλλ' εἶμ': ἀλλ' ἀπέρχομαι, ὅπως μὴ ἐμποδίζωμεν τὸ τῶν χειρῶν ἔργον, τουτέστι τὸν πόλεμον. B.M.I. καταργῶμεν χέρα: βραδύνωμεν τὴν κίνησιν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. μὴ ἀργοὶ καὶ ἄπρακτοι ὦμεν. Gu. περισσὸν τὸ κατά. Fl. 33. χέρα: τὸ ἔργον, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον. Gu.

754. καί μοι γένοιτο: ταῦτα κατ' εὐχὴν ἐγένετο. καὶ γένοιτό

15. ἀντιπαρατάξας etiam in M.
ib. θείς] τιθείς Bar.
17. πεφύλακται] δὲ addit I. ubi haec post ἐν τῇ πόλει (in scholio v. 748.) leguntur. In Gu. est πεφύλακται τὸ ὄνομα εἰπεῖν αὐτῶν τῇ πόλει, ὥς φησι—ἐπὶ Θήβαις, reliquis omissis. In A.C. πεφύλακται τὰς ὀνομασίας εἰπεῖν αὐτῶν ὡς φησίν. ἄλλως. οὐκ ὀφείλομεν—τοῦ πολέμου κατεπείγοντος.
18. φησι om. M.
ib. διὰ τὸ] τῷ M.
19. Θήβαις] αὐτοῦ add. B.I.
ib. ἢ ἐπειδὴ μὴ καλὸν ἦν ἑκάστου M. ἄλλως. οὐκ ὀφείλομεν ἑκάστου A.B.C.I. Verba οὐκ ὀφείλομεν ἕκαστον κατ' ὄνομα λέγειν—ἐπείγοντος supra versum in Gu.
ib. τοῦ om. B.I.
20. ἐπείγοντος] κατεπείγοντος C.
ib. ἀργία] ἀργεία I.
21. ἀλλ' ἀπέρχομαι ὅπως om. M.
26. καί μοι γένοιτο] In M. lemma κτανεῖν δ' ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν (v. 756.) ταῦτα—ἐγένετο om. C.

μοι ἐξ ἐναντίας λαβεῖν τὸν ἀδελφόν μου καὶ φονεῦσαι. A.C.M.T. ἀντήρη: ἐξ ἐναντίας σταθέντα. M. ἀντίπαλον. Gr. ἐναντίον, ἀντιστάτην. Bar. Gu. λαβεῖν: κρατῆσαι. Fl. 59.

755. ξυσταθέντα: συστάδην μαχεσάμενον. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. καὶ σύστασιν πολεμήσαντα, μαχησάμενον. Fl. 59. συμπαραταξάμενον. Gu. ἑλεῖν δορί: γρ. καὶ ἐλθεῖν. χειρώσασθαι. M. ἐλθεῖν δορί: γρ. μάχης ἔχειν δόρυ. B. φονεῦσαι διὰ τοῦ δουρός. I. νικῆσαι διὰ τοῦ πολέμου. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

756. παιδός τε σοῦ: τῆς ἐκ τοῦ σοῦ αἵματος. ἀνεψιὰ αὐτοῦ ἦν πρὸς μητρός. M.

757. γάμους δ' ἀδελφῆς: τοὺς γάμους σοὶ χρὴ μέλεσθαι. Ἄλλως. τοὺς γάμους σοι χρὴ εἶναι ἐν φροντίδι, προσήκει φροντίζειν τὴν δόσιν τὴν ἐχέγγυον καὶ τὴν τοῦ γάμου ἔκδοσιν ἀσφαλῆ. A.C.M. ἀνεψιὰ πρὸς μητρὸς ἡ Ἀντιγόνη τοῦ Κρέοντος. Gu.

758. τῆς τύχης ἐγὼ σφαλῶ: εἰς τὸν πόλεμον κινδυνεύσω, τῆς εὐτυχίας τῆς ἐλπιζομένης ἀποτύχω. Bar. Gr. Gu. ἐάν τι τῆς εὐτυχίας διαμάρτω καὶ ἀποτύχω, σοὶ χρὴ καὶ προσήκει μέλεσθαι καὶ φροντίζειν. Fl. 33.

759. τὴν δόσιν: τὴν ἔκδοσιν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. τὴν διὰ λόγου. Gu. ἐχέγγυον: ἀντὶ τοῦ ἐπιβεβαιῶν τὴν ἐπαγγελίαν τοῦ γάμου. M. ἀσφαλῆ. Gr. I. βεβαίαν. Gu. ἐξ οὗ καὶ ἐγγυηταὶ οἱ εἰς ἀσφάλειαν παραλαμβανόμενοι. Fl. 59. τὴν τοῦ γάμου ἔκδοσιν ἀσφαλῆ ποιῶ. Fl. 33.

760. τὴν πρόσθε: τὴν γεγονυῖαν πρόσθεν ἐμοῦ καὶ σοῦ. Gu. ἣν ἐποίησα δηλονότι. Fl. 59. ἐπ' ἐξόδοις ἐμαῖς: ἐπὶ τῇ ἐμῇ ἐξόδῳ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. πρὸς τῆς ἐμῆς ἐξόδου καὶ ἀποδημίας. Fl. 33.

2. ἀντίπαλον est etiam in B.I.

7. φονεῦσαι Abresch. Anim. ad Aeschylum p. 18. pro φονεύσειν.

13. Ἄλλως om. M.

ib. σοι χρὴ] χρήσοι A.

7. φονεῦσαι Abresch. Anim. ad Aeschylum p. 18. pro φονεύσειν.

13. Ἄλλως om. M.

ib. σοι χρὴ] χρή σοι A.

14. τὴν ἐχέγγυον om. M.

16. τῆς εὐτυχίας] In Gr. sunt τῆς εὐτ. τ. ἐλπ. ἀπ. quae eadem habent Florr. 5. 6. 9. 21. 56. 59. 76. reliqua in Gu. In edd. tantum erat τῆς εὐτ. ἀποτύχω. MATTH.

17. τῆς ἐλπιζομένης om. Bar.

18. διαμάρτω, ἀποτύχω etiam in M.

761. μητρὸς δ᾽: ὁ δέ ἀντὶ τοῦ δή. M. τί δεῖ μακρηγορεῖν: μακρολογεῖν. M. κατὰ τί δεῖ, ἤγουν πρέπει, ἐπὶ πολὺ παρατεινομένους λόγους ἀγορεύειν. Gr. Cant.

762. τρέφ᾽ ἀξίως: τρέφε αὐτὴν καὶ σοῦ ἀξίως καὶ διὰ τὴν ἐμὴν χάριν. Gr.

763. πατὴρ δ᾽ ἐς αὐτόν: ἤγουν εἰς ἑαυτὸν ἀμαθὲς ἔργον ἐποίησεν· ἢ πρὸ τοῦ μέμψιν παρ᾽ ἄλλου λαβεῖν αὐτὸς ἑαυτὸν μέμφεται, ὡς πάνδεινον ἔργον ποιήσαντα καὶ μωρίας ἔμπλεων. Bar. Gu. ὀφλισκάνει: ἤγουν ὀφείλει αὐτὸς ἑαυτοῦ μωρίαν καταγνῶναι. Bar. Gr. ἁμαρτίαν ὀφλισκάνει: γρ. καὶ ἀμαθίαν ὀφλισκάνει. οἷον, ἀμαθής ἐστι καὶ ἄνους ὁ Οἰδίπους. M. Ἄλλως. εἰς ἑαυτὸν χρεωστεῖ μωρίαν, ἀντὶ τοῦ αὐτὸς ἑαυτοῦ καταγνοίη μωρίαν, ὡς εἴ τις εἴποι, ὁ δεῖνα εἰς τόνδε δίκην χρεωστεῖ. A.B.C.M.I.

764. οὐκ ἄγαν σφ᾽ ἐπῄνεσα: οὐδ᾽ ὅλως, ἀλλὰ μᾶλλον λίαν ψέγω. ἐπίτασιν γὰρ κατὰ τὸ ἐναντίον συνάγει ταῦτα· οἷον οὐ πάνυ χαίρω, ἀντὶ τοῦ πολλὰ λυποῦμαι, καὶ οὐκ ἄγαν ἐπαινῶ, ἀντὶ τοῦ λίαν ψέγω. Gr. Mosq.

765. ἡμᾶς τ᾽ ἀραῖσι: καὶ ἡμῖν αἴτιος θανάτου γεγένηται, ὅσον ἐπὶ ταῖς ἀραῖς, ἐὰν συμβῇ αὐτὰς ἰσχῦσαι· τὸ γὰρ "ἣν τύχῃ" τοῦτο δηλοῖ. A.B.C.M.T.I.

766. ἓν δ᾽ ἐστὶν ἡμῖν ἀργόν: ἀργὸν, ἄπρακτον καὶ παραλελειμμένον, ὀφεῖλον γενέσθαι καὶ μὴ γενόμενον. Ἄλλως. ἐκεῖνο, φησὶ, μόνον ἡμῖν παραλέλειπται, τὸ παρὰ τοῦ μάντεως ἀκοῦσαι περὶ τού-

4. καὶ εἰς (sic) τὴν ἐμὴν χάριν etiam B.
6. ἤγουν—] Priora ἤγουν εἰς ἑαυτὸν —ἔμπλεων in Gu. sunt supra versum scripta, ultima ἢ ὀφ. in Gr. in margine sic: ἤγουν ὀφ. Porro Gu. supra versum αὐτὸς ἑαυτοῦ καταγνοίη μωρίαν, quae in sq. scholio edito leguntur: ubi I. μωρίας pro μωρίαν. MATTH.
7. πρὸ τοῦ—παρ᾽ ἄλλου λαβεῖν om. Bar.
8. ἤγουν] ἢ Bar.
11. Ἄλλως add. M.
ib. χ. μωρίαν] χ. τιμωρίαν C.
12. αὐτὸς—μωρίαν gl. interl. in Gu.
14. ἀλλὰ—ψέγω om. Cant.
16. καὶ οὐκ—ψέγω om. Mosq.
18. θανάτου om. M. τοῦ θανάτου C.
ib. γεγένηται A.B.M. γένηται C.I. γενήσεται King.
ib. ὅσον] ὃς A.
19. τὸ—δηλοῖ om. A.C.
21. ἀργὸν, ἄπρακτον] ἀργὸν om. B. Habet C., sed omisso lemmate.
22. καὶ μὴ] καὶ om. A.C.M.
23. παραλέλειπται] περιλέλειπται B. T.I. In Gu. ἓν μόνον παραλέλειπται τὸ παρὰ τοῦ μάντεως ἀκοῦσαι περὶ τούτων.
ib. παρὰ] περὶ C.M.
ib. τοῦ om. A.

των· εἰωθότες γὰρ οἱ ἄνθρωποι ἐν ταῖς εὐπραγίαις καταφρονεῖν μαντικῆς ἐν ταῖς συμφοραῖς ἐπὶ τοὺς μάντεις καταφεύγουσιν. A.B.C.M. T.I. πάρεργον. B. rec. ἀνενέργητον. Gr. ἐλλειπὲς, ἀτελές. Gu.

767. οἰωνόμαντις: ὁ οἰωνοσκόπος. Gr. ὀρνεοσκόπος. B. rec.

768. ταῦτα: τὰ τοῦ θεσφάτου. B.M. τὸ εἴ τι εἰπὼν κἀνταῦθα ἐπάγει πληθυντικῶς τὸ ταῦτα πρὸς τὸ σημαινόμενον· ὅμοιον τῷ "κοινὰ δ', εἴ τι πείσεται ἑπτάπυργος ἄδε γᾶ, Φοινίσσᾳ χώρᾳ." Gr. Cant. Leid.

769. αὐτεπώνυμον: ὁμώνυμον, τῷ αὐτῷ ὀνόματι καλούμενον. B. M.I. ὁμώνυμον, τὴν αὐτὴν αὐτῷ ἐπωνυμίαν ἔχοντα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

770. λαβόντα πέμψω: ὡς τοῦ Μενοικέως ἐν τῷ στρατοπέδῳ ὄντος τοῦτό φησιν. Ἄλλως. ἐγὼ δὲ τὸν παῖδά σου πέμψω δεῦρο, λαβόντα τὸν Τειρεσίαν, ὅ ἐστιν ἐνεγκόντα. A.B.C.M.I.

λαβόντα: κομίσοντα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. πέμψω: μετακαλέσομαι. Fl. 33. δεῦρο: ὥστε ἀγαγεῖν. Fl. 59.

771. ἡδύς: ἡδέως. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

772. ἐμεμψάμην: ἐξεφαύλισα. Gu. τὸ μέμφομαι ἐνίοτε μὲν δοτικῇ συντάσσεται, ἐνίοτε δὲ αἰτιατικῇ. Bar. Gr.

773. ἤδη: πάλαι. Fl. 59. πρὸ ὀλίγου· ἤγουν ὅτε οὗτος ὁ μάντις τούτους ἐμέμψατο διὰ τὸ μὴ τὴν προσήκουσαν τιμὴν τῷ σφῶν πατρὶ διδόναι, οὔτε ἔξοδον ἐκ τοῦ οἴκου. Gu. πρὸ ὀλίγου ἐνώπιον αὐτοῦ ἐμεμψάμην τὴν μαντικὴν, ὥστε μέμψασθαί μοι ἔχειν. I.

πρὸς αὐτόν: φανερῶς. B.

774. πόλει δὲ καὶ σοί: τοῖς πολίταις. B.M. σοὶ μὲν γὰρ

2. ἐν] ἐν δὲ M.

3. ἐλλειπὲς] Recta scriptura ἐλλιπές.

6. κἀνταῦθα] ἐνταῦθα Cant. Leid.

8. τῷ] V. 244.

ib. πείσεται] πείσεθ' Gr. In Leid. πείσεσθ' ἄδ' ἑπτάπυργος γᾶ φοίνισσα χορός.

10. ὁμώνυμον om. M.

14. δὲ τὸν π. σου] δὲ παῖδα σὸν C.

ib. πέμψω δεῦρο] δεῦρο πέμψω I.

15. ὅ ἐστιν ἐνεγκόντα (ἀνενέγκαι M. ἐνέγκαι A.) additum A.C.M.

24. ὥστε μέμψασθαί μοι ἔχειν etiam B.M.

27. σοὶ μὲν γὰρ λέγω om. A.M.T.

λέγω, ἐὰν ἡ ἐμὴ δύναμις κρατήσῃ καὶ νικήσῃ τὸν Πολυνείκην, οὐ χρὴ ταφῆναι αὐτὸν ἐν ταύτῃ τῇ γῇ. A.C.M.

ἐπισκήπτω: ἐντέλλομαι. τὸ δὲ ἐπισκήπτω ἀπὸ κοινοῦ. M.T. ἐντέλλομαι. Bar. Gr. I. παραγγέλλω, προστάτω. Gu.

775. ταμά: τὸ ἐμὸν μέρος, ἤγουν ἐγώ. Bar. Gr. νέκυν, τὸ σῶμα. I.

777. θνήσκειν: θανατοῦσθαι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἐπισκήπτω ἀπὸ κοινοῦ. B. Gu. φίλων: συγγόνων νῦν. M. συγγενῶν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. διὰ τούτου προαναφωνεῖ τὰ κατὰ τὴν ἀδελφήν. B.M. Fl. 33. I.

779. ἐκφέρετε τεύχη: τεύχη τὰς ἀσπίδας. πάνοπλα δὲ ἀμφιβλήματα τὰ ἐνδύματα πάντα τὰ τὸν ἄνθρωπον ὁπλίζοντα. λέγει δὲ θώρακα, περικεφαλαίαν, κνημῖδας. οἱ δὲ γράφουσι τὰ σάγματα. A.B.C.M.I. ἔξω φέρετε τὰ ὅπλα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. πάνοπλά τ' ἀμφιβλήματα: ἤγουν τὰ ἐνδύματα τὰ πάνοπλα, τουτέστι τὰς πανοπλίας. Gr. Florr. iidem. περιβλήματα, κράνος, θώρακα, ἀσπίδα, ξυστίδα, κνημῖδας καὶ τἄλλα, ἤγουν τὰς πάντα τὸν ἄνθρωπον ὁπλιζούσας περιβολάς. Gu. Leid. ταῦτα τινὲς εἴδη δορατίων φασί. B.I. τουτέστι τὰ ἑκατέρῳ περιβαλλόμενα. B. τὰ κυκλοῦντα τὸ σῶμα. B.

781. σὺν δίκῃ νικηφόρῳ: τῇ φερούσῃ τὴν δίκην. M. ἑαυτὸν γὰρ δίκαιον ᾤετο ἀμυνόμενος περὶ πάτρης, ἐκεῖνον δὲ ἀσεβῆ κατὰ

1. ἐὰν ἡ ἐμὴ δύναμις κρατήσῃ] ἐὰν ἡ ἐμὴ δύναμις κρατήσῃ καὶ φονεύσῃ τὸν πολυνείκην Fl. 33. ἐὰν ἡ ἐμὴ δύναμις κρατήσῃ καὶ νικήσῃ Gu. Sola verba ἐὰν ἡ ἐμὴ δύναμις ἐπικρατήσῃ (sic) habent B.I.

8. ἀπὸ κοινοῦ om. Gu.

9. τούτου] τούτων B. Fl.

ib. προαναφωνεῖ] προαναφέρει I.

10. τὴν ἀδελφήν] τὸν ἀδελφόν B.M. Fl. Antigonam dicit.

11. τεύχη τὰς om. A.M., lemma et τὰς om. C.

11. πάνοπλα δὲ ἀμφιβλήματα τὰ (τὰ om. M.)] ἀμφιβλήματα δέ: τὰ I.

12. πάντα] ἅπαντα M.

13. θώρακα] θώρηκα B.

ib. κνημῖδας B.M. κνημῖδα C.I.

ib. γράφουσι τὰ σάγματα] γράφουσιν ἀγάλματα C. γράφουσι τὰ τάγματα A.

17. ἤγουν—περιβολάς om. Leid.

21. σὺν—] In C. lemma τῇ δ' εὐλαβείᾳ.

ib. δίκῃ νικηφόρῳ] δίκῃ: σὺν κρίσει νικηφόρῳ I.

22. περὶ πάτρης C.M. περὶ τῆς πατρίδος B.I. περὶ πατρίδος A. Post πάτρης C. pergit σωματοποιεῖ δὲ τὴν etc. (ad v. 782.)

πατρίδος στρατευόμενον. καὶ Ὅμηρος „εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης." A.B.C.M.I.

νικηφόρῳ: νίκην ἐπαγούσῃ. Gr. σὺν δίκῃ λέγει χωρεῖν εἰς τὸν ἀγῶνα, ἐπεὶ νομίζει αὐτὸς ἔχειν τὸ δίκαιον ὑπὲρ τῆς πατρίδος ἀμυνόμενος. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

782. τῇ δ' εὐλαβείᾳ: σωματοποιεῖ τὴν Εὐλάβειαν, ὡς Ὅμηρος „Δεῖμός τε Φόβος τε." τῇ δ' Εὐλαβείᾳ εὔχονται, ἵνα αὐτοὶ ἀφόβως ἐπέλθωσιν, ἢ ἵνα τοῖς πολεμίοις φόβον ἐμβάλῃ. B.C.M.T.I. Εὐλάβεια θεὰ παρ' Ἕλλησιν ἔφορος φόβου. λέγει οὖν ταύτῃ προσεύξασθαι, ἢ ἵνα εὐμενῶς εἰς αὐτοὺς βλέψῃ καὶ ἀφόβως ἐπελθεῖν παρασκευάσῃ τοῖς πολεμίοις, ἢ ἵνα φόβον ἐμβάλῃ τοῖς ἐχθροῖς. Bar. Gu. τῇ συστολῇ, τῇ προμηθείᾳ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. φόβῳ. Fl. 33.

784. ὦ πολύμοχθος Ἄρης: ἔδει ὦ πολύμοχθε Ἄρες. Ἀττικὴ δέ ἐστιν ἡ σύνταξις καὶ ἡ κλίσις. A.B.C.M.T. Fl. 33. ὦ πολλῶν καμάτων μεστὲ Ἄρες. M. Fl. 33. ὦ πολλῶν καμάτων αἴτιε Ἄρες, διὰ τί πρὸς φόνον καὶ πρὸς θάνατον ἐνθουσιᾷς, ἀνάρμοστος ὑπάρχων ταῖς ἑορταῖς τοῦ Διονύσου; Gr. I. ὦ πολύμοχθε καὶ πολύπονε Ἄρη, τί ἄρα κατέχῃ ἐν φόνῳ καὶ θανάτῳ, ἤγουν φόνους καὶ θανάτους ποιεῖς, παράμουσος καὶ ἐναντίος ταῖς ἑορταῖς τοῦ Διονύσου. Gu.

785. κατέχῃ: χαίρεις καὶ ἐνθουσιᾷς. I. Βρομίου παράμουσος ἑορταῖς: οὗτος ἐναντίος ὢν ταῖς τοῦ Διονύσου ἑορταῖς καὶ παρηλλαγμένην μοῦσαν ἔχων, τουτέστι ταῖς τοῦ Βρομίου ἑορταῖς ἀσύμφωνος

1. καὶ (καὶ om. A.) Ὅμηρος] Il. 12, 243. In Gu. ὑπὲρ γὰρ τῆς πατρίδος παραταξόμεθα. καὶ Ὅμ. etc.

ib. ἀμύνεσθαι] ἀμύνασθαι B.

6. σωματοποιεῖ] σωματοποιοῦσι M.

ib. Ὅμηρος] Il. 11, 37.

7. τε Φόβος τε] τ' ἠδὲ φόβος τε C. Δεῖμός τ' ἠδὲ Φόβος est Il. 4. 440.

8. ἐπέλθωσιν A.M. ἀπέλθωσιν ceteri.

ib. ἐμβάλῃ] ἐμβάλωσι I. ἐμβάλω A.

11. ἐμβάλῃ] ἐμβάλλῃ Gu.

14. Ἄρες] ἄρ' B.C. ἄρε T. ἄρης A. Fl.

15. δέ ἐστιν om. C.

ib. ἡ σύνταξις καὶ addidi ex B.

ib. κλίσις] λέξις C. qui pergit, ἄλλως. οὗτος ὡς ὢν (sic) ταῖς τοῦ διονύσου etc. (ad v. 785.)

16. ὦ πολλῶν—] Haec et proximae παραφράσεις (786. 791. 798. 801. 806. 811.) in I. post scholion v. 816.

ib. αἴτιε] αἴτιος I.

22. οὗτος ἐναντίος—Βρομίου ἑορταῖς M.T. ἄλλως. οὗτος ὡς (ὃς A.) ὢν ταῖς τοῦ διονύσου ἑορταῖς παρηλλαγμένην μοῦσαν ἔχων ἐναντίως (ἐναντίαν A.) τουτέστιν ταῖς τοῦ βρομίου ἑορταῖς:—ἀσύμφωνος—γίνεται A.C.

κατὰ τὴν μοῦσαν· ἐν γὰρ εἰρήνης καιρῷ τὰ Διονύσια ἄγονται. A.C. M.T. παράμουσος: ἐναντίος, οὐ τὴν αὐτὴν μοῦσαν ἔχων, τουτέστι ταῖς τοῦ Βρομίου ἑορταῖς ἀσύμφωνος. Ἄλλως. ἀσύμφωνος, ὡς καὶ τὴν ἄνοιαν παράνοιαν φασίν· οὐ συνῳδὸς, ἀλλ' ἀλλότριος. A.B. C.M.I. ἀνάρμοστος ταῖς ἑορταῖς τοῦ Διονύσου. M.

786.—790. οὐκ ἐπὶ καλλιχόροις: οὐκ ἐπὶ στροφαῖς καὶ κύκλοις χορῶν καλλιχόρων, εὐπρεπείαις λέγω νεάνιδος, ἤγουν ἐφ' οἷς διαπρέπουσιν αἱ νεάνιδες, τὸν σὸν βόστρυχον ἀναπετάσας κατὰ τὰ ἀπηχήματα τῆς σύριγγος περιηχῇ μέλος, ἐν ᾧ χάριτές εἰσι χαρὰν ἐμποιοῦσαι καὶ ἀγαλλίασιν. ἀλλὰ σὺν ὁπλοφόροις ἀνδράσι πρὸ τῶν Θηβῶν χορεύεις χορείαν ὑβριστικὴν, κακομουσοτάτην, διεγείρας τὸν στρατὸν τῶν Ἀργείων ἐπὶ φόνον. Gr. I. οὐκ ἐν ταῖς ὥραις, ἤτοι τῷ ἔαρι ἔκλυτον ἐάσας τὸν πλόκαμον ἐπὶ καλλιχόροις στεφάνοις νεάνιδος, ἤγουν ἐπὶ ἐστεφανωμένῃ καὶ χορευούσῃ νεάνιδι, καθάπερ ὁ Διόνυσος ποιεῖ, ᾄδεις ᾠδὴν κατὰ τὰ ἀπηχήματα τοῦ αὐλοῦ, ἐν ᾗ ᾠδῇ χαροποιοὶ ἡδοναί εἰσιν, ἀλλὰ ἐπὶ τὰς Θήβας ἐν φόνῳ ἀγαγὼν στρατὸν Ἀργείων σὺν ὁπλοφόροις ἀνδράσιν ἔμπροσθεν ἐκείνων χορεύεις καὶ μετὰ χοροῦ ᾄδεις κῶμον καὶ ᾠδὴν ἀναυλότατον καὶ λύπης γέμοντα. Gu.

786. καλλιχόροις: δέον καλλιχόρου εἰπεῖν πρὸς τὸ "νεάνιδος" καλλιχόροις εἶπε πρὸς τὸ "στεφάνοις" ἔθει ποιητικῷ, ὡς καὶ κατωτέρω ἐρεῖ τὸ ψαλίοις τετραβάμοσιν. Gu. ἤγουν ἐν τῇ συζεύξει. Fl. 59.

νεάνιδος ὥραις: τῆς νεανικῆς ἀκμῆς. M. ἀντὶ τοῦ ὡραίας, ἀκμαίας, ὥραν ἐχούσης γάμου. τὸ δ' ἑξῆς, οὐ μέλπῃ, τουτέστιν οὐκ ᾄδεις, οὐδὲ ὑμνεῖς, ἐπὶ ἀκμαζούσῃ κόρῃ νυμφιδίους ᾠδὰς, οὐδὲ αὐλῶν μέλεσι γαμηλίων χορεύεις, ἀνασείσας τὸν πλόκαμον, ὥσπερ ὁ Διόνυσος καὶ οἱ τούτου χοροὶ, ἀλλ' ἐπὶ πολέμους ὁρμᾷς. A.C.M.T. Ἄλλως

1. τὰ διονύσια ἄγονται M. τὰ τοῦ διονύσου γίνεται A.C.T.

2. ἔχων] ἐκείνῳ· ὁ μὲν γὰρ χαρᾶς αἴτιος, σὺ δὲ λύπης καὶ φόνων addit Gu. in quo desunt verba τουτέστι—ἄλλως et in fine ἀλλὰ ἀλλότριος.

ib. τουτέστι om. A.C.M.

3. Ἄλλως. ἀσύμφωνος om. C.

4. φασὶν M. Gu. φησὶν A.B.C.I.

23. ὡραίας T. ὥρας M. ὡραίες (sic) C. Idem ἀκμαΐ.

24. ἐχούσης M.T. ἐχοῦσαις (hoc accentu) C. ἐχούσαις A.

ib. γάμου] γάμων C.

26. γαμηλίων om. M.

27. οἱ] αἱ (sic) A. Pro χοροὶ in C. χω^ρ^.

ib. πολέμους] πολέμου C.

ib. ὁρμᾷς] ὁρᾷς (sic) C.

ib. Ἄλλως add. A.C.M.

τοῖς γαμηλίοις καιροῖς. ἢ νεάνιδος ἀκμαίας, ὥραν ἐχούσης γάμου. διὰ τί δὲ μὴ τὸν σὸν βόστρυχον ἐπὶ στεφάνοις νεάνιδος ὥραις ἐκπετάσας μέλπῃ πρὸς πνεῦμα λωτοῦ; ἔνιοι δὲ νεάνιδος ὥρας, τοῦ ἔαρος τοῦ νέα πάντα ποιοῦντος. Ἄλλως. οὐ καλλιχόροις στεφάνοις βόστρυχον ἀμπετάσας ἐπὶ γάμοις νεάνιδος μέλπῃ νυμφιδίους ᾠδὰς πρὸς αὐλόν. ἡ ἐπί πρὸς τὸ ὥραις, ἐπὶ ὥραις νεάνιδος. A.B.C.M.I. οὐδὲ ἐπὶ καλλιστεφάνου ὡραίας νεάνιδος ἁπλώσας τὸν βόστρυχον κατὰ τὰ πνεύματα τοῦ λωτοῦ. A.M.T.

νεάνιδος ὥραις: ἐν ἔαρι γινομένων τῶν Διονυσιακῶν, ὅσαι τῶν παρθένων ἦσαν βάκχαι ἀναπετῶσαι καὶ ἔκλυτον ἐῶσαι τὸν αὐτῶν βόστρυχον, ἐχόρευόν τε καὶ ᾖδον πρὸς αὐλὸν, ὃν νῦν καλεῖ λωτόν. καὶ εἰκότως παρείκασε τῷ λωτῷ τὸν αὐλὸν, κάλαμόν τε ὄντα καὶ ἐμμελῆ καὶ γλυκύτητος γέμοντα, καθάπερ ἐκεῖνος· ἔφερον δὲ αἱ βάκχαι καὶ κλάδους κισσοῦ, ἀλλὰ καὶ νεβρίδας ἐφόρουν. νεβρὶς δέ ἐστι δέρμα ἐλάφου μικροῦ κατάστικτον, ἣν καλοῦσι δορκάδα, ὡς νεβρόν. ἐπειδὴ γὰρ οἱ μαινόμενοι τὸ δέρμα αὐτῶν κατατέμνοντες κατάστικτον ποιοῦσι τοῖς μώλωψι, διὰ τοῦτο καὶ αὗται μανίαν ὑποκρινόμεναι σώφρονα ἐνεδέδυντο νεβρίδας. Bar. Gu.

787. ἀμπετάσας: ἀνασείσας τὸν πλόκαμον ὥσπερ ὁ Διόνυσος. A.B.C.I. λωτοῦ: τοῦ αὐλοῦ. M. κατὰ πνεύματα πέμπει: γρ. μέλπει. M. ἡ κατά ἀντὶ τῆς πρός, πρὸς πνεύματα, ὅ ἐστιν ἀπηχήματα τοῦ αὐλοῦ. A.B.C.M.I.

1. ἢ A.C.M. τινὲς δὲ οὕτως B.I.
ib. ἀκμαίας, ὥραν] ἀκμαῖαν (sic) ὥραν C.
ib. γάμου om. M.
2. διὰ] Lemma βόστρυχον ἀμπετάσας praefixum in A.C.M.
ib. ὥραις] ὥρας M.
3. λωτοῦ] αὐτοῦ (i. e. αὐλοῦ) M. In A. λοτοῦ, de quo conf. p. 216, 4.
ib. ὥρας] ὥραις C.M.
4. νέα πάντα] πάντα νέα B.I.
5. βόστρυχον] βοστρύχων C.
ib. ἀμπετάσας] ἀναπετάσας B.I.
ib. μέλπῃ] μέλπει C.M.
ib. νυμφιδίους] νυμφίοις M.
6. ἐπὶ ὥραις om. C.
7. καλλιστεφάνου] καλλοῖς (sic) A. καλλιστεφάνοις T.
8. κατὰ τὰ πνεύματα A. κατὰ πνεύματος M.T.
ib. τοῦ λωτοῦ T. λωτοῦ M. τὰς λωτοειδεῖς οὖν A. Legitur autem hoc scholion in A.M.T. ante scholion v. 788.
13. γλυκύτητος γ.] Sic Gu. pro γλυκύ τι γ. quod dedit King. et paulo post κλάδους κισσοῦ, non κλάδους καὶ κισσοὺς, quod legitur in Bar. E Gu. addidi etiam supra αὐτῶν ante βόστρυχον, et in seqq. μικροῦ post ἐλάφου, ὡς νεβρὸν post δορκάδα, σώφρονα post ὑποκρινόμεναι. Cf. scholion editum ad 721. νεβρίδων. MATTH.
19. ἀμπετάσας] δὲ addunt B I.
ib. ἀνασείσας] ἐπανασείσας A C. In M. est gl. τὸν πλόκαμον ἀναπλώσας.

λωτοῦ: πάνυ ἡδέως λωτὸν ἐκάλεσε τὸν αὐλόν. λωτὸς γὰρ τὸ γλυκοκάλαμον, ἀλλὰ καὶ ὁ αὐλὸς καὶ κάλαμος μὲν, ἀλλὰ καὶ γλυκὺς διὰ τὴν τοῦ μέλους ἡδύτητα. Ἄλλως. λωτὸν ἐνταῦθα τὸν αὐλόν. σημειωτέον δὲ ὅτι καὶ τὸ λο μικρὸν γράφεται πρὸς ἀντιδιαστολὴν τοῦ λωτοῦ τῆς βοτάνης. A.

788. μοῦσαν: ᾠδήν. οὐ τοιαύτην, φησὶν, ἔχεις μοῦσαν, ἐν ᾗ χάριτές εἰσι χορείας αἴτιαι γενόμεναι. ἢ οὕτως, οὐ μέλπῃ τοιαύτην ἔχων μοῦσαν, ἐν ᾗ χάριτές εἰσι, τουτέστι ποιητικαὶ εἰρήνης. A.C.M.T. Fl. 33.

χάριτες: ἡδοναί. B.

χαροποιοί: γρ. καὶ μελοποιοί. B.M.

789. ἀλλὰ σὺν ὁπλοφόροις: τοῦτο μὲν οὐ ποιεῖς, ἀλλὰ τόδε. τὸ δὲ ἑξῆς, ἀλλὰ προχορεύεις. Ἄλλως. σὺ δὲ, φησὶν, ὦ Ἄρες, ἀνασκιρτᾷς σὺν ὁπλοφόροις ἀνδράσιν, καὶ χορεύεις χορείαν ἄτοπον, τὸν Ἀργείων στρατὸν παροξύνας κατὰ τοῦ τῶν Θηβαίων αἵματος. A.C. M.T. Ἄλλως. ἀλλὰ σὺν ὁπλοφόροις κῶμον ἀναυλότατον προχορεύεις, στρατὸν Ἀργείων ἐπιπνεύσας αἵματι Θήβας, τουτέστι τῷ γένει τῶν Θηβαίων. καὶ Ὅμηρος "αἵματος εἶς ἀγαθοῖο, φίλον. τέκος" A.B.C.T.I. Ἄλλως. τὸ ἑξῆς, ἀλλὰ σὺν ὁπλοφόροις Θήβαις στρατὸν Ἀργείων ἐπιπνεύσας, ὅ ἐστιν ἐνθουσιάσας ἑκάτερον στράτευμα, καὶ κατόχους αὐτοὺς ποιήσας ἑαυτοῦ, αἵματι κῶμον ἀναυλότατον προχορεύεις, ὅ ἐστι προκαλῇ αὐτοὺς εἰς ἄμουσον κῶμον σὺν αἵματι·

6. ᾠδήν] αὐδήν M.
7. χορείας] χορείαις Fl.
8. ἐν ᾗ—εἰρήνης] Haec etiam B., omisso τουτέστι.
11. καὶ om. M.
12. ἀλλὰ τόδε om. A. ἀλλὰ om. C.
13. Ἄλλως add. M.
ib. ἄρες A.M.T. ἄραβες C.I.
ib. ἀνασκιρτᾷς] ἀνασκίρτα A.
14. ἀνδράσιν καὶ χ.] ἀλλὰ σὺν ὁπλοφόροις ἀνδράσιν χ. A.
ib. τὸν (τὸν τῶν A.)—παροξύνας] τοῦ—παροξύναι T.
15. παροξύνας] παροξύνο A.
ib. κατὰ τοῦ] τοῦ om. C.
16. Ἄλλως add. A.C.M.
ib. σὺν] ἐν B.
17. αἵματι M. τῷ αἵματι τῆς B. I. σὺν τῷ αἵματι τῆς A.C.T.
ib. θήβας C.T. θήβης A.B.M.I.
ib. τουτέστι M. ὅ ἐστι ceteri.
18. καὶ (καὶ est in solis A.C.) Ὅμηρος om. I. Est Od. 4, 611.
ib. εἷς] ἧς A.C.
ib. φίλον τέκος om. B.I. In C.T. est solum φίλων (sic). In Gr. ἐπὶ φόνον, supra quod Gu. scripsit: ἢ ἐπὶ τῷ αἵματι καὶ τῷ γένει τῆς Θήβας. ὅτι δὲ αἷμα τὸ γένος καὶ Ὅμηρος μαρτυρεῖ· αἵματος εἶς ἀγαθοῖο.
19. Ἄλλως add. A.B.C.
ib. τὸ ἑξῆς om. A.C. Idem θήβας.
20. ἐνθουσιάσας] ἐν μεσῖ (sic) C.
21. αὐτοὺς om. C.
ib. αἵματι] αἵματος C.

λέγει δὲ τὸν πόλεμον. A.B.C.T.I. ἐπιπνεύσας: παροξύνας, ἐκμήνας. M. κινήσας. Fl. 33.

790. κῶμον ἀναυλότατον: κακόαυλον ἢ ἐκμελῆ καὶ ἄμουσον. σάλπιγξ γάρ ἐστιν ὁ πολεμικὸς αὐλός. κῶμος δέ ἐστιν εἶδος ὀρχήσεως. A.M. κῶμον: ὄρχησιν, ᾠδήν. κῶμος κυρίως ἡ μετὰ μέθης ᾠδή. Gu.

προχορεύεις: ἡ πρό πλεονάζει, ὡς τὸ "νῆάς τε προπάσας." ἀντὶ τοῦ κωμάζεις. A.B.C.M.T.I.

791.—797. οὐδ' ὑπὸ θυρσομανεῖ: οὐδὲ ὑπὸ τῷ Διονύσῳ τῷ μετὰ θύρσων μαινομένῳ χορεύεις, δέρματα ἐλάφων ἐνδεδυμένος, καὶ ἐπὶ τοῖς ῥεύμασι τοῦ Ἰσμηνοῦ τοῦ ποταμοῦ πορευόμενος σὺν ἅρμασι καὶ χαλινοῖς τετραπόδων μονωνύχων ἵππων ἱππεύσεσιν ὁρμᾷς, διεγείρας τοὺς Ἀργείους κατὰ τῆς γενεᾶς τῶν ἀπὸ τῆς σπορᾶς τῶν ὀδόντων τοῦ δράκοντος ἀναδοθέντων, λέγω θίασον ἀσπιδηφόρον ἔνοπλον, ἀντίπαλον κατὰ τὰ λίθινα τείχη ὁπλίσας χαλκῷ. Gr. I. οὐδέ, ὥσπερ αἱ Βάκχαι, χορεύεις ὑπὸ τῷ θυρσομανεῖ Διονύσῳ μετὰ νεβρίδων, ἀλλὰ καὶ ἐπὶ τοῖς χεύμασι τοῦ Ἰσμηνοῦ βαίνων θοάζεις καὶ θηριωδῶς ὁρμᾷς ἐν ἅρμασι καὶ χαλινοῖς τετραβαμόνων μωνύχων πώλων (πρὸς γὰρ τὸ ψαλίοις τὸ τετραβάμοσιν εἶπεν) ἐν ἱππεύσεσι καὶ ἵππων καταδρομαῖς, ἐπαγαγὼν ἐπὶ τοῖς Θηβαίοις κατὰ τὰ λάϊνα λέγω τείχη Ἀργείους, θίασον καὶ χορὸν ἀσπίδας φέροντα, ἔνοπλον, ἐναντίον Θηβαίοις ἢ τῷ Διονύσου χορῷ, καὶ οὐ κλαδηφοροῦντα μετὰ νεβρίδων, ὥσπερ ἐκεῖνος, κοσμήσας τοῦτον ἐν χαλκῷ. Gu.

791. οὐδ' ὑπὸ θυρσομανεῖ: οἷον οὐ χορεύεις μετὰ κλάδων καὶ δερμάτων ἐλάφων, ἀλλὰ ἁρμάτων ἐπιβαίνων καὶ ἵππων τετραπόδων παρὰ ταῖς ὄχθαις τοῦ Ἰσμηνοῦ ποταμοῦ ταῖς ἱππικαῖς χορείαις ἀνασκιρτᾷς, ἐπεγείρας καὶ παροξύνας τὴν γένναν τῶν Θηβαίων τοῖς Ἀργείοις, τὸν χορὸν τὸν φέροντα καὶ σείοντα τὰς ἀσπίδας ἐξ ἐναντίας κοσμήσας

3. κῶμον—εἶδος ὀρχήσεως] κῶμον ἀναυλότατον ἐκμελῆ ἄμουσον. σάλπιγξ γάρ ἐστιν ὁ πόλεμος (sic, non πολέμιος C. πολέμου A.) αὐλός :—C. ἄναυλον δὲ ἀπὸ τοῦ αὐλός, ἐκμελῆ καὶ ἄμουσον. σάλπιγξ γάρ ἐστιν ὁ αὐλὸς τοῦ πολέμου B.I. qui pergunt ἡ δὲ προ πλεονάζει etc.

7. ὡς τὸ] Hom. Il. 2, 493.

8 τοῦ om. A. qui ἀντικωμάζεις.

14. ἀσπιδηφόρον] ἀσπιδοφόρον I.

15. χαλκῷ om. Gr.

19. ψαλλίοις duplici λ Gu. hic et alibi.

26 ποταμοῦ om. T. Fl.

ib. ταῖς ἱππικαῖς—τῷ σιδήρῳ] Haec in M. post κωμάζεις (ad v. 790.)

27. Θηβαίων] θηβῶν M.

τῷ σιδήρῳ. M.T. Fl. 33. ἀντὶ τοῦ θυρσομανοῦς. λέγει δὲ τοῦ Διονύσου. ἡ ὑπό ἀντὶ τῆς σύν, σὺν θυρσομανεῖ Διονύσῳ· ὅπερ καὶ ἄμεινον. A.B.C.M. τῷ θύρσοις καὶ κλάδοις κισσοῦ βακχεύοντι. Gu.

νεβρίδων: νεβρίς ἐστι δέρμα ἐλάφου κατάστικτον, ὃ φοροῦσιν οἱ βακχευταί. ἐπειδὴ γὰρ οἱ μαινόμενοι τὸ δέρμα αὐτῶν κατατέμνοντες ποικίλον αὐτὸ ποιοῦσιν, οἱ σώφρονα μανίαν μαινόμενοι τῷ καταστίκτῳ τῆς νεβρίδος σοφίζονται τῆς μανίας τὸ σχῆμα. A.B.C.M.T.I.

δινεύεις: οὐδὲ χορεύεις, φησὶν, ὑπὸ θυρσομανεῖ τῷ κώμῳ μετὰ νεβρίδων, ἐν ἅρμασι καὶ ἵπποις ἀναστρεφόμενος, τουτέστιν οὐ νεβρίδας ἔχων καὶ θύρσους, ὥσπερ οἱ τοῦ Διονύσου χοροὶ, δινεύεις καὶ περιχορεύεις, ἀλλ' ἅρμασι καὶ ἵπποις ἐπιβαίνεις. ἅρμασι δὲ τοῖς τετραπόδεσιν ἅρμασιν οἷς τετράποδα ὑπέζευκται. καὶ ψαλίων, χαλινῶν· ἀντίπτωσις δέ ἐστι, σὺν ἅρμασι καὶ ψαλίοις μωνύχων πώλων. τετραβάμοσι δὲ τετραπόδων. A.C.M.T. Ἄλλως. ψαλίων τῶν ἵππων, παρὰ τὸ ψαύεσθαι αὐτοὺς λίαν, ἤτοι τιθασεύεσθαι. τῇ γὰρ ἐπαφῇ τῶν χειρῶν οἱ ἵπποι συχνῶς καταψώμενοι τιθασοὶ λίαν γίνονται, ὥστε οὐ χρὴ λέγεσθαι ψάλιον ἵππον. διαφέρουσι δὲ αἱ λέξεις, ἡ ψάλιος καὶ τὸ ψελλίον. σημαίνει γὰρ ἡ μὲν τὸ τιθασευόμενος ἵππος, ἡ δὲ πᾶν τὸ ἐπιτιθέμενον ἵπποις εἰς κόσμον καὶ δυνάμενον ἐν τῇ κινήσει ψελλισμὸν ἤτοι ψιθυρισμὸν ἀποτελεῖν. οὕτως συντάξεις τὸ ὅλον χωρίον, οὐ δινεύεις καὶ συστρέφεις μώνυχα πῶλον μετὰ νεβρίδων

1. θυρσομανοῦς] θυρσομανῶς A.C.
2. ἡ ὑπὸ—Διονύσῳ] Haec etiam in I. et in M., qui pro σὺν θυρσομανεῖ Διονύσῳ habet τῷ μανίαν ἐμποιοῦντι θύρσῳ.
ib. τῆς om. A.
5. νεβρίς] δέ addit B.I.
ib. ἐστι om. A.
7. αὐτὸ om. I.
ib. οἱ σ.] οἱ γὰρ σ. M.
10. ἀναστρεφόμενος C.M. ἀναστρέφων T.
11. δινεύεις καὶ περιχορεύεις] δινεύσεις καὶ παραχορεύσεις M.
12. δὲ om. A.C.
13. τετραπόδεσι C.T. τετραπόδ cum compendio syllabae οις M. Scribe τετραβάμοσιν. In B. super ψαλίων τετραβάμοσι scriptum οισ τετράποσιν ἀντίπτωσις.
ib. ἅρμασι οἷς M. ἅρμασιν οἷς A. ἅρμασιν om. C.T.
ib. ὑπέζευκται] Hic scholion finitur in M. in quo ad ψαλίοις (v. 792.) χαλινῷ. ἀντίπτωσις δέ etc.
14. ἅρμασι] ἅρματι A.
ib. μωνύχων] μονονύχων M.
ib. τετραβάμοσι] τετραβάμων A.C. M.
16. τιθασεύεσθαι] τιθασσεύεσθαι A. et infra τιθασσευόμενος
17. τιθασοὶ] τιθασσεῖοι A.
18. οὐ χρὴ] οὔτε χρὴ δὴ A.
21. ψελλισμὸν] ψελισμὸν A.
22. νεβρίδων] νευρίδων A. hic et alibi.

καὶ ἐλαφείων δερμάτων ὑπὸ τῷ θυρσομανεῖ καὶ χαίροντι τοῖς θύρσοις καὶ νάρθηξι Διονύσῳ, ἀλλὰ δινεύεις καὶ συστρέφῃ ἐν ἅρμασι καὶ τετραβάμοσι τῶν ψαλίων καὶ τῶν ἵππων, ἤτοι τετρώρῳ ἵππῳ. A.

792. *ἅρμασι: λείπει τὸ ἀλλά.* M. *ψαλίοις: σὺν ἅρμασι καὶ ψαλίοις, ὅ ἐστι χαλινοῖς μονωνύχων ἵππων καὶ τετραπόδων.* B.I.

ψαλίοις: ψάλιον Ἀττικῶς, ψέλλιον κοινῶς. ἔστι δὲ ψέλιον ὁ κρίκος τοῦ χαλινοῦ, ἢ ἁπλῶς ὁ κρίκος. ἐνταῦθα δὲ ψάλια τοὺς χαλινούς φησι, τῷ μέρει ἀντὶ τοῦ ὅλου χρώμενος. Bar. Gr.

μώνυχα πῶλον: μεταπλασμὸς ἀπὸ τοῦ μονώνυχον μώνυχα. B.M. *μώνυχα πῶλον γράφε (οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς) καὶ πρὸς τὸ δινεύεις σύναπτε οὕτως, ἀλλὰ δινεύεις καὶ κινεῖς μώνυχα πῶλον ἐν ἅρμασι τετραβάμοσι καὶ ψαλίοις· τὰ ἅρματα γάρ εἰσι τετραβάμονα, οὐ τὰ ψάλια.* Bar.

793. *ἐπὶ χεύμασι βαίνων: ἡδὺ μὲν καὶ χάριεν οὐδὲν πράττεις, ἐπιβαίνων δὲ τοῖς χεύμασι τοῦ Ἰσμηνοῦ σὺν ἅρμασι καὶ ψαλίοις μωνύχων πώλων, τῇ ἱππικῇ ἐκμαίνῃ.* A.B.C.M.I.

794. *ἐπιπνεύσας: ἐπιπέμψας, παροξύνας τοὺς Θηβαίους καὶ ἐξ ἐναντίας αὐτοὺς στήσας τοῖς Ἀργείοις. ἀπὸ δὲ τοῦ ἐναντίου νῦν εἶπεν· ἐν γὰρ τοῖς ἀνωτέρω τοὺς Ἀργείους εἶπε παροξύνεσθαι κατὰ τῶν Θηβῶν. τοῦτο δέ φησιν ὡς τοῦ Ἄρεως ἑκατέρους παρορμήσαντος κατ' ἀλλήλων.* A.B.C.M.I. *ἐπιπέμψας.* B. rec.

795. *σπαρτῶν γένναν: κατὰ τὴν γενεὰν τῶν σπαρτῶν, ἤγουν τῶν ἀπὸ τῆς σπορᾶς τῶν ὀδόντων τοῦ δράκοντος ἀναδοθέντων.* Cant. Gr.

σπαρτῶν γένναν: τοὺς Θηβαίους λέγει· οἱ γὰρ περιλειφθέντες

4. *σὺν—ὅ ἐστι* om. I.

9. *μεταπλασμὸς ἀπὸ*] *τὸ δὲ μώνυχα μεταπλασμὸς ἀντὶ* B. qui *μώνυχα* post *μονώνυχον* om.

ib. *μώνυχα πῶλον γράφε—*] Scholion Triclinii.

14. *ἡδὺ μὲν καὶ χάριεν οὐδὲν*] *ἡδὺ μὲν οὐδὲν* (*εἰ* addit I.) *καὶ χάριεν* B.I.

16. *μωνύχων πώλων*] *μονοπώλων* B.

17. *ἐπιπνεύσας*] *δὲ* add. B.I.

ib. *ἐπιπέμψας* A.C.M. *ἀντὶ τοῦ* B.I.

18. *στήσας*] *τάξας* A.I.

ib. *τοῖς Ἀργείοις*] *τοῖς θηβαίοις* A. *τοὺς θηβαίους* C.

ib. *νῦν* om. A.C.M.

19. *ἀνωτέρω*] *ἀνωτέροις* A.C.

ib. *εἶπε* post *ἀνωτέροις* C.

ib. *τοὺς* om. M. *κατὰ* om. A.C.

20. *Ἄρεως*] *ἄρεος* A.C.

ib. *παρερμήσαντος* M. *παροξύνοντος* B.I. *παροξύναντος* A.C.

25. *λέγει* om. A.C.T.I.

ib. *περιλειφθέντες*] *παραλειφθέντες* C. Spartorum nomina ex scholio vetere ad v. 942. hic adscripta in Gu.: v. annot. ad v. 942.

ἐκ τῶν σπαρτῶν ὀδόντων τοῦ δράκοντος τῶν ἑξῆς πάντων εἰσὶ πρόγονοι. A.C.M.T. διεγείρας κατὰ τῆς γενεᾶς τῶν σπαρτῶν. Mosq.

796. ἀσπιδοφέρμονα: ἀντὶ τοῦ ἀσπιδοθρέμμονα· φέρσαι γὰρ τὸ θρέψαι· τὸν ἐν ἀσπίδι τραφέντα, τουτέστι τὸν σπαρτὸν λαὸν, τὸν πολεμικὸν, παραγώγως. A.B.I. ἀσπιδοφέρμονα θίασον ἔνοπλον: ποιεῖς δηλαδὴ θίασον ἀσπιδηφόρον. Ἄλλως. ὁ νοῦς οὕτω, κοσμήσας χορὸν οὐ θυρσοφόρον, ἀλλ' ἀσπιδοφέρμονα, οὐ συνθιασώτην καὶ σύγκωμον χορὸν, ἀλλ' ἀντίπαλον, οὐ κισσῷ κοσμήσας, ἀλλὰ χαλκῷ. εἰ δὲ ἦν ἐπὶ Διονύσου, οὕτως ἂν ἔφη, θυρσοφόρον θίασον σύγκωμον κατὰ σύμφυτα ὄρη κισσῷ κοσμήσας, οὐ κατὰ τὰ τείχη. B.C.M.T.I. Ἄλλως. κυρίως θίασος ὁ τοῦ Διονύσου χορὸς λέγεται ὁ μετὰ νεβρίδων ἐκείνῳ συγχορεύων. διὰ τοῦτο ἐνταῦθα ἀντίπαλον θίασον καὶ ἀσπιδοφέρμονα καὶ ἔνοπλον τοὺς Ἀργείους καλεῖ τοὺς σὺν Ἄρει τὴν ἔνοπλον χορείαν ποιουμένους. A. ἀσπιδηφόρον. Cant. Gr.

4. ἀντὶ τοῦ A.B. τουτέστιν I.

ib. φέρσαι γὰρ τὸ θρέψαι] Quod hinc in Lexica receptum, φέρψαι corrigebat etiam Battierius: H. Stephanum φέρσαι non offendit Thes. L. G. vol. 1. p. 590. F. Φέρψαι a grammatico positum censeo, ἀπὸ τοῦ φέρβειν· interpretatur enim θρέψαι. Legitur tamen in Heracliti Allegor. Homer. p. 491. Φέρσαι, τὸ γεννῆσαι. Qui rectius Euripideum ἀσπιδοφέρμονα per ἀσπιδηφόρον interpretantur, commodum advocassent φέρσαι· dubium enim non est quin ἀπὸ τοῦ φέρειν, φέρσαι fuerit aeque veteribus usitatum ac ὄρσαι et θέρσαι. Φορμὸς, φορμὶς, φορμίσκος a *ferendo* fluxerunt: τὸ γέννημα, *fructum*, quem tellus φέρει, φέρμα dixit Aeschylus Supplic. v. 698. *clypeum gestantes* sunt ἀσπιδηφόροι et ἀσπιδοφέρμονες.—Φέρβειν et φέρειν ut origine sic significatu finitima sensit eruditus imprimis poëta Callimachus, cujus hoc est saepe vexatum in h. Cereris v. 137, Φέρβε βόας, φέρε μᾶλα, φέρε στάχυν, οἶσε θερισμὸν, φέρβε καὶ εἰράναν. VALCK.

6. ἀ. θίασον ἔνοπλον om. C. ἄλλως est in B.I.

7. ποιεῖς—Ἄλλως addidi ex M. In C. est ἀσπίδα ἀσπιδοφόρου καὶ ποιεῖς θίασσον. ἀσπιδοφέρμονα. In A. ἀσπιδοφέρμονα: ἀσπιδοφόρον. καὶ ποιεῖς θίασον ἀσπιδοφέρμονα. ἄλλως. ἀντὶ τοῦ ἀσπιδοθρέμμονα. φέρεται (sic) γὰρ τὸ θρέψαι—παραγώγως ἀντὶ τοῦ ἀσπιδοφόρον. ἄλλως. ἀσπιδοφέρμονα θίασον ἔνοπλον. ὁ νοῦς οὕτως· κοσμήσας—οὕτως ἂν ἔφη, ὄρη κισσῷ κοσμήσας θυρσοφόρον—κοσμήσας οὐ κατὰ τείχη. ἄλλως. κυρίως θίασος etc.

ib. οὕτω C. οὕτως ceteri.

ib. κοσμήσας] κομίσας M. κοσμήσασθαι C.

8. οὐ συνθιασώτην (συνθίασον I.) om. C.

9. σύγκωμον] σύγκομον C.

10. θίασον] θίασσον C.

ib. σύγκωμον—τείχη om. C.

11. σύμφυτα] τὰ σύμφυτα M.

ib. οὐ om. I.

ib. τὰ (τὰ om. M.) τείχη] τὰ λάϊνα τείχη I.

797. ἀντίπαλον: ἀντιστήσας θίασον ἔνοπλον τῇ σπαρτῶν γέννᾳ. M. ἀντιπαραταττόμενον. B. rec. C.M. χαλκῷ κοσμήσας: τουτέστιν ὁπλισθείς. M.

798.—800. ἢ δεινά τις Ἔρις θεός: ὄντως χαλεπή τις θεὸς ἡ Ἔρις, ἥτις ἐβουλεύσατο τάδε τὰ δυστυχήματα τοῖς βασιλεῦσι τῆς γῆς τοῖς πολυπόνοις τοῖς ἀπὸ Λαβδάκου καταγομένοις. Gu. I. πολυμόχθοις: πολυπαθέσι. Gu.

ἢ δεινά τις Ἔρις: τοῦτο καθολικόν· ὄντως δεινὴ θεὸς ἡ Ἔρις. κατειργάσατο γὰρ κακὰ τοῖς βασιλεῦσι. B M.I.

800. Λαβδακίδαις: τοῖς Θηβαίοις· πρόγονος γὰρ αὐτῶν ὁ Λάβδακος. B.M.I.

801.—805. ὦ ζαθέων πετάλων: ὦ Κιθαιρὼν, περίβλεπτον καὶ διάδηλον ὄρος τῆς Ἀρτέμιδος, ἄγαν θείων δένδρων πεπληρωμένον, πολυειδῶν θηρίων ἀγρευομένων περιεκτικὸν, τῶν χιόνων φυλακτικὸν, οὐκ ὤφειλες τὸν Οἰδίποδα τὸν ἐκτεθέντα τῷ θανάτῳ, τὸν ἐκβεβλημένον τῶν οἴκων, τὸν ἐπίσημον ἤγουν διάδηλον ταῖς χρυσοδέτοις περόναις, τὸν τόκον τῆς Ἰοκάστης θρέψαι βρέφος ὄντα. Gr. I. ὦ Κιθαιρὼν, ὄρος φύλλων ζαθέων θαυμαστῶν, ἤγουν θείων, πολλὴν θήραν ἔχων, χιονῶδες ὄμμα Ἀρτέμιδος, ἤγουν ὃ ἐφορᾷ Ἄρτεμις, εἴθε μὴ ἔμελλες θρέψαι ποτὲ βρέφος τὸν Οἰδίποδα, τὸ Ἰοκάστης γέννημα, τὸν ἐκριφέντα ἐν σοὶ ἐν θανάτῳ, ἔκβολον καὶ ἐκβεβλημένον τῶν οἴκων, σεσημασμένον ἐν χρυσαῖς περόναις. Gu.

801. ὦ ζαθέων πετάλων: ὦ νάπος τῶν ζαθέων πετάλων. νάπος

3. ὁπλισθείς] In gl. ὁπλήσας, i. e. ὁπλίσας.

4. τις om. I.

5. ἥτις—καταγομένοις Gu. ἥτις (εἴτις I.) ταύτας τὰς βλάβας ἐβουλεύσατο κατὰ τῶν βασιλέων τῆς γῆς ταύτης (ταύτης om. I.), τῶν ἀπὸ τοῦ Λαβδάκου καταγομένων, τῶν πολλοὺς καμάτους ὑπομεμενηκότων Gr. I.

8. ὄντως] ὄντα M.

ib. θεός] θεῶν M. θεός ἐστιν B.

9. κατειργάσατο—βασιλεῦσι om. M.

10. τοῖς] ἤτοι τοῖς I.

ib. αὐτῶν] θηβαίων I.

ib. ὁ om. M.I.

12. καὶ om. Gr.

14. περιεκτικὸν—φυλακτικόν] Sic Gr. et King. nisi quod Gr. παρεκτικόν. ἀγρ. περιεκτικὸν τῶν χιόνων καὶ φυλ. I. τῶν χιόνων παρεκτικόν Mosq.

15. ὤφειλες] ὤφελες I. Correxi ex Gr. qui verba οὐκ ὤφειλες—βρέφος ὄντα versui 804. adscripta habet.

23. τῶν om. C.

ib. πετάλων. νάπος—Ἄλλως. ζαθέων] Haec om. I.

ib. νάπος δὲ] δὲ om. A.M. In C. est νάπος δὲ τάλων, literis δε in π inter scribendum mutata. Voluit igitur librarius νάπος δὲ πετάλων.

δὲ πετάλων τὸ σύμφυτον ὄρος. τὸ δὲ ἑξῆς, ὦ πολυθηρότατον ὄρος Κιθαιρὼν σύμφυτον· τοῦτο γὰρ δηλοῖ τὸ νάπος πετάλων. Ἄλλως. ζαθέων, μεγάλων φύλλων, ἢ θείων, ὥσπερ φαμὲν θεῖον τόπον διὰ τὸν ἐν αὐτῷ θεόν. λέγονται γὰρ ἐν αὐτῷ ἱδρῦσθαι αἱ Μοῦσαι καὶ δένδροις διαφόροις κεκοσμῆσθαι. A.B.C.M.T.I. πετάλων: ὑπὸ φύλλων πεπλεγμένων. M. πολυθηρότατον, πολλοὺς θῆρας ἔχον. I.

802. νάπος: ὁ σύμφυτος τόπος. B.I. σύμφυτος τόπος πεφιλημένος Ἀρτέμιδι. C. χιονοτρόφον: τὸ οἱονεὶ τρέφον χιόνα, διὰ τὸ ἀεὶ εἶναι κεκαλυμμένον ὑπ' αὐτῆς. Gu. χιονῶδες. Gu. Bar. ἀντὶ τοῦ τῶν χιόνων φυλακτικόν. Gr.

ὄμμα: ὅπερ ἐφορᾷ ἡ Ἄρτεμις ὑπὲρ τὰ ἄλλα ὄρη, καὶ ἔστιν ὅραμα· ἢ ὡς καλλιστεῦον παρὰ τῇ θεῷ, ὥσπερ ἐν τῷ σώματι τὸ ὄμμα· πολύθηρον γάρ ἐστι, κυνηγέτις δὲ ἡ θεὸς ἡ Ἄρτεμις ὑπάρχει. A.B.M.T.I. Ἄλλως. ὦ ὄμμα τῶν ἄλλων ὀρῶν Κιθαιρὼν ὅραμα, ἤτοι διὰ τὸ ὑψηλὸν εἶναι καὶ πόρρωθεν τοῖς πᾶσιν ὁρᾶσθαι, ἢ ὅτι ἄνωθεν ἦν πάντα καθορᾶν, ἢ ἁπλῶς ἐκπρεπέστερον χρῆμα αὐτὸ ἂν εἴη λέγων, λέγων τὸν Κιθαιρῶνα, ὥσπερ τὰ ἄλλα πάντα ὄρη τῇ Ἀρτέμιδι, ὥσπερ ὀφθαλμὸς ἐν σώματι. λέγονται δὲ ἐνταῦθα ἱδρῦσθαι αἱ Μοῦσαι καὶ δένδροις διαφόροις ἔξωθεν κεκοσμῆσθαι. A.M.T. ὄμμα καὶ καλλίστευμα Ἀρτέμιδος, ὁ καλλιστεύων παρὰ τῇ θεᾷ, ὥσπερ ἐν σώματι ὄμμα. Gu. καλλωπίσματα. C.

803. προτεθέντα: τὸν ἐκτεθέντα τῷ θανάτῳ, ἤγουν τὸν ἔκδοτον εἰς θάνατον γενόμενον. Gr. ἤγουν ἵνα θάνῃ. Gu. λόχευμα: τὸν τόκον. Gr. ἀντὶ τοῦ γέννημα. B.M. Gu. I.

804. Οἰδιπόδα βρέφος: κατὰ περίφρασιν τὸν Οἰδίπουν. B.M.

1. τὸ δὲ] δὲ om. A C.T.
ib. ὄρος] νάπος C.
2. σύμφυτον A.C.M. τὸ σύμφυτον B.
ib. τὸ νάπος] τὸ om. M.
ib. Ἄλλως. ζαθέων om. C.
3. μεγάλων] καὶ μεγάλων I.
ib. τὸν—θεὸν] τὸ—θεῖον C.
4. καὶ δένδροις—κεκοσμῆσθαι om. C.
5. κεκοσμῆσθαι M. κοσμεῖσθαι B. T.I. Conf. l. 19.
7. π. Ἀρτέμιδι etiam B. habet super ὄμμα scriptum.
9. χιονῶδες om. Bar.
11. ὅπερ — τὰ ἄλλα ὄρη] Haec etiam in C. In A. ὄμμα κιθαιρών. ὄμμα ἀρτέμιδος ὅπερ ἐφορᾷ ἡ ἄρτεμις ὥσπερ τὰ ἄλλα ὄρη καὶ ἔστιν ὅραμα ἢ ὡς καλλιστεύοντα τῷ θεῷ ὥσπερ—ἡ ἄρτεμις (omisso ὑπάρχει) :—
ib. καὶ ἔστιν ὅραμα om. B.I.
13. ἡ Ἄρτεμις] ἡ om. M.
19. καὶ δένδροις—κεκοσμῆσθαι addidi ex A.
24. ἀντὶ τοῦ om. Gu. I.
25. Οἰδίπουν] οἰδίποδα B.

βρέφος: τὸ βρέφος ἢ πρὸς τὸ θρέψαι συντακτέον, ἢ πρὸς τὸ προτεθέντα, ὃ καὶ κρεῖττον. Gu. Bar. ἔκβολον: τὸ ἐκβεβλημένον τῶν οἴκων, τὸ ἐκριφὲν βρέφος ἐκ τῶν οἴκων· ἐξετέθη γὰρ εἰς τὸ ὄρος. M.

805. χρυσοδέτοις: ἡ μὲν Ἰοκάστη ὡς ἀκριβῶς εὐδυῖα εἶπε σιδηρᾶς τὰς περόνας, αὗται δὲ ὡς βάρβαροι οὐκ ἀκριβῶς ἴσασιν. A.B. M.I. ἐπίσαμον: τὸν ὕστερον γενόμενον διὰ τὴν τύφλωσιν ἐπίσημον, τουτέστι διάδηλον διὰ τὰς περόνας, αἷς ὕστερον ἑαυτὸν ἐτύφλωσεν· οὐ γὰρ ταῖς τῶν ποδῶν· εἶπε γὰρ "τὰ δὲ σφυρῶν σιδηρᾶ κέντρα διαπείρας." C.T.

περόναις ἐπίσαμον: τοῦτο διὰ τὰς περόνας λέγει αἷς ὕστερον ἑαυτὸν ἐτύφλωσεν. εἶπε γὰρ ἐν ἐκείνοις "σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον," ὅθεν δῆλον ὅτι οὐκ ἐπὶ τῶν σφυρῶν λέγει τὸ "χρυσοδέτοις περόναις ἐπίσαμον," ἀλλὰ διὰ τὴν τύφλωσιν ἐπίσημον αὐτὸν γεγονέναι· μᾶλλον δὲ ἐμφαίνει τὰ σφυρὰ τοῦ Οἰδίποδος διὰ τὰ παρακείμενα· ἐπάγει γὰρ "βρέφος ἔκβολον οἴκων." οὐ τυφλὸς δὲ ἦν, ἡνίκα ἐκβέβληται. ἴσως οὖν διαφόρου οὔσης τῆς ἱστορίας οὕτως ἀμφοτέροις συγκατατίθεται. A.M.T.

2. ἐκβεβλημένον gl. est in B.I.

6. τὸν (τὸ C.) ὕστερον—ἐπίσημον] Haec etiam in B. qui ἐπίσημον post γενόμενον habet ut A.

ib. ἐπίσημον] ἐπώνυμον C., post γενόμενον collocat A. "T. habet τοῦ διὰ τὰς περ.—εἶπε γὰρ ἠδὲ σφ. σιδ. κ. διαπ. μέσον. Simile scholion e Cant. dederat Picrsius: δι' ὧν δηλονότι ἐτύφλωσεν ἑαυτόν· αὗται γὰρ ἦσαν χρυσόδετοι. quod idem est in Flor. 5. 6. 9. 21. 56. 59. 76. Gr. et in Mosq. In Gr. et Mosq. haec praemittuntur: τὸν διάδηλον ταῖς χρυσοδέτοις περόναις." MATTH. In A. primo loco positum est scholion proximum περόνας: τοῦτο διὰ τὰς περόνας, αἷς ὕστερον—συγκατατίθεται, tum sequitur, ἐπίσημον: τὸν ὕστερον γενόμενον ἐπίσημον διὰ τὴν τύφλωσιν:—

8. εἶπε γὰρ] V. 29.

ib. τὰ δὲ] In τάδε mutavit Valck. Delendum potius.

10. περόναις—ἀλλὰ διὰ M. Ἄλλως. νῦν φησὶ χρυσῷ διαπεπερονῆσθαι (sic Matth. pro διαπερονεῖσθαι) τὰ σφυρὰ τοῦ οἰδίποδος, ἄνω δὲ εἶπεν σφύρα σιδηρᾶ, οὐκ ἐπὶ τῶν σφυρῶν λέγει τὸ χρυσοδέτοις περόναις, ἀλλὰ διὰ T.

ib. τοῦτο addidi ex A.

ib. λέγει om. A.

11. ἐτύφλωσεν] Pergit A. οὐ γὰρ ταῖς τῶν ποδῶν. εἶπε γὰρ ἡ δὲ σφυρὰ σιδηρὰ κέντρα διαπείρας μέν. ἄλλως. νῦν φησὶ σφυρῷ διαπερονῆσθαι (sic) τὰ σφυρὰ τοῦ οἰδίποδος, ἄνω δὲ εἶπεν σφυρῶν σιδηρᾶ ἐκτὸς εἰμὶ (corrige εἰ μὴ) οὐκ ἐπὶ τῶν σφυρῶν etc., fere ut T.

ib. ἐκείνοις] ἐκείνοις ἡ δὲ M.

ib. σφυρῶν σιδηρᾶ] σφυρὰ σιδηρῷ M.

13. ἐπίσημον] καὶ ἐπίσημον T.

ib. αὐτὸν om. M.

15. δὲ om. T.

16. διαφόρου—συγκατατίθεται om. A. in lacnna.

17. ἀμφοτέροις] ἀμφοτέρω T.

τὸ χρυσοδέτοις περόναις λέγει, ἢ ὅτι φέρεται λόγος ἢ σιδηρᾶς αὐτὰς εἶναι ἢ χρυσᾶς, ἢ ὅτι ὡμολογημένως σιδηραῖ ἦσαν, ὡς καὶ ἐν ἀρχῇ τοῦ δράματος εἴρηται τῷ ποιητῇ "σφυρῶν σιδηρᾶ κέντρα διαπείρας." τιμῶν δὲ τοῦτον ὡς βασιλέα οὕτω ταύτας καλεῖ. Gu.

806.—811. μηδὲ τὸ παρθένιον: οὐδὲ ἡ ὑπόπτερος Σφὶγξ ἡ παρθένος, τὸ ὀρεινὸν τέρας, τὸ πένθος τῆς γῆς ταύτης ὤφειλε δηλονότι ἐλθεῖν σὺν αἰνίγμασιν ἐμμέτροις κακομουσοτάτοις, ἥτις ποτὲ τὴν γενεὰν τὴν ἀπὸ τοῦ Κάδμου καταγομένην διὰ τῶν ὀνύχων τῶν τεσσάρων αὐτῆς ποδῶν ἠφάνιζε τοῖς τείχεσιν ἐπικαθίζουσα, ἣν ὁ κατὰ χθονὸς Ἅιδης ἔπεμψε κατὰ τῶν Καδμείων. Gr. Bar. I.

Τὸ παρθένιον πτερὸν πρὸς τὸ Σφιγγὸς συντακτέον, ἵν' ᾖ τὸ πτερὸν τῆς παρθένου Σφιγγὸς, τὸ ὄρειον τέρας· ὃ μὴ ὤφειλε, κατὰ κοινοῦ, ἐλθεῖν πένθεα τῆς γῆς, τουτέστιν ἐπὶ πένθει καὶ δυστυχίᾳ Θηβῶν· ἥτις ἐν ᾠδαῖς ἀμουσοτάταις καὶ κακαῖς τοῖς τείχεσι πλησιάζουσα ἔφερεν ἐν ταῖς τετραβάμοσι χηλαῖς Θηβαῖον εἰς τὸ ἄβατον φῶς τοῦ αἰθέρος, ἤτοι εἰς ὕψος τὸ μὴ βατὸν τισὶν ἄλλοις, ἢ τοῖς ὀφθαλμοῖς μὴ ἀφικνουμένοις καὶ φθάνουσι πρὸς τὴν τούτου κατάληψιν· ἥντινα Σφίγγα ἐπιπέμπει τοῖς Θηβαίοις ὁ ὑποχθόνος Ἅιδης. τοῦτο δέ φησι διὰ τὸ αὐτὴν θανάτους ἐπάγειν Θηβαίοις ἐκ τῶν αἰνιγμάτων. ἣν καὶ ὡς αἰτίαν τῶν παρόντων κακῶν ἀπεύχεται μὴ ἐλθεῖν· εἰ μὴ γὰρ τὰ ταύτης αἰνίγματα εὗρεν, οὔτε εἰς ἀθέμιτον γάμον τὸν τῆς μητρὸς ἀφίκετο, οὔτε τὰ νῦν συμβεβήκει, τυφλωθέντος ἐκείνου καὶ ἐπαρασαμένου τοῖς τέκνοις. Gu.

806. μηδὲ τὸ παρθένιον: ἀπὸ κοινοῦ τὸ ὤφειλεν. τουτέστι μηδὲ ἡ Σφὶγξ ὤφειλεν εἰς τὰς Θήβας ἐληλυθέναι· αὕτη γὰρ ἀρχὴ τῆς συμφορᾶς ἐγένετο τοῦ Οἰδίποδος· διὰ τὸ εὑρηκέναι γὰρ τὸ προτεθὲν ὑπ' αὐτῆς ζήτημα ἔγημε τὴν μητέρα κατ' ἄγνοιαν· προέκειτο γὰρ εἰς γάμον τῷ συνιέντι. A.B.C.M.I.

παρθένιον πτερόν: παρθένιον πτερὸν καλεῖ τὴν Σφίγγα, διότι λέγε-

6. τέρας, τὸ om. I.
ib. ὤφειλε] ὤφελε Bar. I.
12. ὄρειον—ὤφειλε] ὄριον—ὤφελε Gu.
24. ὤφειλεν] ὤφελεν C.
ib. τουτέστι om. M.
ib. μηδὲ ἡ Σφὶγξ] οὐδὲ ἡ στὶξ I.
25. ὤφειλεν] ὤφελεν C. hic et l. 26.
ib. τὰς om. M.
ib. ἐληλυθέναι B C.M. ἐπεληλυθέναι ceteri.
ib. ἀρχὴ] ἡ ἀρχὴ C.
26. γὰρ hoc loco A.B.M., post διὰ C.I.
28. συνιέντι] συνιόντι A.C.M.

ται μῦθος τὰ ἄνω μέρη τοῦ σώματος παρθένου γυναικὸς ἔχειν, τὰ δὲ κάτωθεν ἀετοῦ. πρὸς μὲν τὴν παρθένον τὸ παρθένιον, πρὸς δὲ τὸν ἀετὸν τὸ πτερόν. A. τὸ παρθένιον πτερὸν τῆς Σφιγγὸς, ἤγουν τὸ πτερὸν τῆς παρθένου Σφιγγὸς, τουτέστιν ἡ ὑπόπτερος Σφὶγξ, ἡ παρθένος, περιφραστικῶς. Gr. Bar.

οὔρειον τέρας: ὀρεινὸν, ἄγριον. ἢ ἴσως, ἐπειδὴ ἐν Κιθαιρῶνι τῷ ὄρει ἐτρέφετο, οὔρειον τέρας αὐτήν φησι. τέρας δέ ἐστι πᾶν τὸ παρὰ φύσιν. τὸ δὲ ἑξῆς, μηδὲ τὸ παρθένιον πτερὸν Σφιγγὸς ὤφειλεν ἐλθεῖν εἰς πένθεα ταῦτα τῆς χθονός. τέρας δὲ τὴν Σφίγγα λέγει, ἐπεὶ πτερωτὴ ἦν, παρθένου ἔχουσα πρόσωπον, λέοντος δὲ τὸ πᾶν σῶμα, μιξοφυὴς οὖσα. A.B.C.M.T.I. Ἄλλως. ἀπὸ μέρους τὴν ὅλην, μηδὲ τὸ πτερωτὸν τῆς Σφιγγὸς ἐκεῖνο τὸ τέρας, ὅπερ ἦν πένθος τῆς γῆς. Ἄλλως. οὔρειον δὲ τέρας διὰ τὸ δόξαι αὐτὴν ἀπὸ τοῦ ὄρους Κιθαιρῶνος τερατοειδῶς κατελθεῖν. A. πένθεα γαίας: ἀντὶ τοῦ πένθη τῆς γῆς ἡ Σφίγξ. B.M.

807. ἀμουσοτάταισι: σὺν κακομούσοις προβλήμασι καὶ σοφίσμασι τῆς Σφιγγός. ᾠδὴν δὲ κακόμουσον τὸ αἴνιγμά φησιν, ἐπεὶ ἐμμελῶς τε καὶ εὐρύθμως καὶ ἐμμέτρως ἐλέγετο, ἐξαπώλλυε δὲ πολ-

3. ἤγουν—Σφιγγός om. Bar.
6. ὀρεινὸν ἄγριον A.M. ὀρεινὸν om. ceteri.
ib. τῷ ὄρει ἐτρέφετο M. ἐτρέφετο τῷ ὄρει B.T.I. ἐτρέφετο, omisso τῷ ὄρει, A.C.
7. οὔρειον] ὀρεινὸν M., om. A.B. T.I.
8. τὸ δὲ] δὲ om. A.
ib. πτερὸν om. C.
ib. ὤφειλεν] ὤφελεν C.
9. πένθεα ταῦτα] πένθος ταύτης C. in quo primo loco leguntur haec: πτερὸν οὔρειον, τὴν Σφίγγα, ἐπεὶ πτ. —σῶμα. tum ἢ ἄγριον, ἴσως ἐπεὶ ἐν —τῆς χθονός. T. ordinem vulgatum servat. Gr. supra τέρας, τὸ ξένης καὶ παρὰ φύσιν διαπλάσεως ζῶον (quae eadem sunt in Fl. 5. 6. 9. 21. 56. 59. 76.) et Gu. supra πτερὸν, ἢ ὡς διαιτωμένης ἐν Κιθαιρῶνι τῆς Σφιγγὸς, οὔρειον, ὀρεινὸν, ἄγριον λέγει.
ib. χθονός] γῆς A.
ib. τέρας A.B.M.I. πτερὸν οὔρειον C.
ib. ἐπεὶ C.M. ἐπειδὴ A.B.I. (non C.)
ib. πτερωτὴ] πτερωτὸν A.
10. ἔχουσα πρόσωπον M. ἔχουσα τὸ πρόσωπον C. ἔχον πρόσωπον A. πρόσωπον ἔχουσα B.T.I.
ib. λέοντος] λέοντα M.
ib. μιξοφυὴς οὖσα om. C.
14. πένθη] πένθους M. τὸ πένθος B.
16. σὺν κακομούσοις] συγκακομούσοις I. σὺν ταῖς (sic) κακομούσοις C.
17. τῆς Σφιγγός add. M.
ib. Verba ᾠδὴν κακόμ.—ἐλέγετο sunt etiam in Gu. in margine scripta, omissis tamen illis καὶ εὐρύθμως.
ib. τὸ αἴνιγμα—Θηβαίων μὴ om. C.
18. ἐξαπώλλυε] ἀπώλλυε A.M. ἀπώλλυεν B.

λοὺς τῶν Θηβαίων· μὴ εὑρίσκοντες γὰρ τὸ αἴνιγμα κατησθίοντο. A.B.C.M.I.

ἀμουσοτάταισι: κακαῖς, ἀσαφέσιν, ἀηδέσι διὰ τὸ τῶν φόνων αἰτίαν εἶναι. Gu. τὸ ἀμουσοτάταις σὺν ᾠδαῖς ἢ πρὸς τὸ ἄνω, ἢ πρὸς τὸ κάτω σύναπτε. Gu. ᾠδαῖς: ἀοιδοῖς. M.

808. ἅ ποτε: ἥτις ἐπικαθεζομένη τοῖς τείχεσι τετραβάμοσι χηλαῖς τὴν Καδμογενῆ γένναν, τουτέστι τοὺς Θηβαίους, εἰς αἰθέρος ἄβατον φῶς ἀνῆγεν. A.B.C.M.I. τὸ ἑξῆς Καδμογενῆ γένναν. B.M. χαλαῖσι: γρ. χηλαῖσι. M. τετραβάμοσι χαλαῖς: τετραδακτύλοις ποσίν. M.

809. ἄβατον φῶς: ἐπεὶ ἄβατος καὶ αὐτοῖς τοῖς ὀρνέοις ἐστίν. ὑπερβολικῶς δὲ τοῦτό φησιν ἀντὶ τοῦ εἰς ὕψος πολὺ, ὥστε προσεγγίζειν τῷ αἰθέρι, ἔφερε τὴν Καδμογενῆ γένναν· τοιοῦτον γάρ τι ἱστόρηται, ὅτι εἰς ὕψος αὐτοὺς ἀνήγαγε καὶ ἠφίει ἐπὶ τῆς γῆς φέρεσθαι πρῶτον ἄνω διασπαράξασα. A.B.C.M.I.

810. τὰν ὁ κατὰ χθονός: ἣν Ἐρινύς τις, ἢ Ἀϊδωνεὺς, ἢ ἀλάστωρ ἐφῆκε τῇ πόλει· πάντα γὰρ τὰ δεινὰ χθόνια ἔλεγον οἱ ἀρχαῖοι. A.B.M.I. ἐπιπέμπει: ἀντὶ τοῦ ἔπεμπεν. B.M.

811.—817. δυσδαίμων δ' ἔρις: ἄλλη δὲ πάλιν ἔρις δυστυχὴς αὔξει κατὰ τὰ δώματα καὶ τὴν πόλιν τῶν παίδων τοῦ Οἰδίποδος. καὶ

1. γὰρ] λῦσαι add. C.

2. κατησθίοντο] ὑπ' αὐτῆς add. C.

3. ἀηδέσι διὰ τὸ Matth. ἀειδέσι διὰ τῶν Gu.

6. ἥτις ἐπικαθεζομένη] καθημένη, προσπελάζουσα C. in quo hoc scholion proximo postpositum, praefixo ἄλλως.

ib. τετραβάμοσι] τετραβάμοις B.I.

7. τουτέστι τοὺς Θηβαίους om. B. C.I.

8. ἀνῆγεν] πέμπει M.

11. ἄβατον φῶς—ὀρνέοις ἐστίν] ἀνάβατον φῶς, ἐπεὶ καὶ ἄβατον αὐτοῖς τοῖς ὀρνέοις ἐστίν C. Praecedenti scholio adjungunt A.B.M. sine lemmate.

12. ὑπερβολικῶς] φέρει (φέρειν A.) αἰθέρος lemma praefixum in A.M.

ib. δὲ τοῦτό φησιν om. A.C.M.

13. ἔφερε A.C.M. ἀνέφερε B.I.

ib. Καδμογενῆ] καδμογενῶν M.

ib. ἱστόρηται] ἱστορεῖται B.I.

14. ἀνήγαγε M. ἀνῆγε ceteri, nisi quod ἀνάγουσα A., omisso καί.

ib. τῆς γῆς] τῆς om. B.I.

15. πρῶτον] ᾱ I.

ib. ἄνω om. M.

19. δυστυχὴς—] Gr. δυστ. δὲ ἔρ. ἄλλη αὔξ. cujus scripturam in seqq. secutus sum pro κατὰ τῶν παιδ. τοῦ Οἰδ. κατά τε τὰ δώμ. καὶ τὴν π. καὶ γὰρ ὅπερ οὐκ ἔστι καλὸν, οὐδ. φύσει κ. ὑ. οὐδὲ οἱ μὴ ὄντες ἔννομοι παῖδες καλοί εἰσιν, ut est in I. Post καλοὶ δηλονότι Gr. pergit μεμιασμένον σπέρμα πατρὸς ὄντες, τόκος μητρὸς ὄντες, ἥτις εἰς συγγ. ἦλθε λέχος:— MATTH. Postrema posuimus infra p. 228, 21.

γὰρ ὃ μὴ καλὸν τῇ φύσει, οὐδέποτε ὑπάρχει καλὸν, οὐδὲ οἱ μὴ νόμιμοι παῖδες, καλοὶ δηλονότι, ὡς ὁ Οἰδίπους, τὸ κακὸν γέννημα τῆς μητρὸς, τὸ μεμιασμένον σπέρμα τοῦ πατρός. ἡ δὲ Ἰοκάστη ἦλθε λέχος εἰς συγγενικόν. Gr. I. ἄλλη δὲ ἔρις καὶ φιλονεικία τῶν παίδων τοῦ Οἰδίποδος ὁ νῦν λεγόμενος πόλεμος αὔξεται κατὰ τὰ δώματα καὶ κατὰ τὴν πόλιν· οὐ γάρ ποτε ἔφυ καλὸν ὃ μὴ ἦν ἐν ἀρχῇ καλόν· τουτέστιν, ἐπειδὴ ἡ συνέλευσις τοῦ Λαΐου οὐ καλὸν ἦν, καὶ ἔτι μᾶλλον τοῦ Οἰδίποδος, διὰ τοῦτο καὶ οἱ ἀπ' ἐκείνων καταγόμενοι οὐ καλοὶ ἦσαν, ἀλλὰ παράνομοι, ὅθεν καὶ τὰ παρόντα εἰς αὐτοὺς κακὰ ἐκ τοῦ μὴ εἶναι καθαροὺς συμβέβηκε· πρὸς τοῦτο γὰρ ἡ κατασκευή ἐστιν, ἐπήγαγε δὲ ἢ πρὸς μόνην τὴν τοῦ Οἰδίποδος παρανομίαν, ἢ τὴν Λαΐου, λέγων, οὐδ' οἱ μὴ νόμιμοι παῖδες καλὸν, ἀπὸ κοινοῦ λόχευμα τῇ μητρὶ, ὄντες μίασμα καὶ παρανομία τοῦ πατρός· ἡ δὲ μήτηρ εἰς τὸ υἱοῦ αὐτῆς λέχος ἦλθεν. Gu.

811. δυσδαίμων δ' ἔρις: μετὰ δὲ ταῦτα δυσδαίμων ἔρις ἄλλη αὔξεται κατὰ τοὺς οἴκους τοῦ Οἰδίποδος τῶν παίδων. ἄλλη δὲ ἔρις ἄλλα ποιεῖ κατὰ διαδοχὴν, κατὰ τὴν πόλιν καὶ τὸν οἶκον τῶν Οἰδίποδος παίδων· κακοὶ γὰρ ὄντες κακὰ πάσχουσιν, ὡς παρὰ φύσιν τεχθέντες. A.B.C.M.I.

814. οὐ γὰρ ὃ μὴ καλὸν οὔποτ' ἔφυ καλόν: τὸ πρῶτον οὐ περιττόν ἐστιν. A.B.M.T. οὐ γάρ ποτε τοῦτο καλόν ἐστιν, ὅπερ αὐτὸ τὴν ἀρχὴν ἀπὸ ῥίζης μὴ ἔφυ καλῆς. τοῦτο δέ φησι διὰ τὸν Οἰδίποδα παρανόμως γήμαντα τὴν μητέρα καὶ παρανόμως παῖδας τεκόντα. τοῦτο οὖν φησι, τὸ μὴ καλὸν γενόμενον οὔποτε ἐπαινέσομεν· οὐδὲ γὰρ αὐτοῖς γέγονεν, ἤ ἔστι καλόν. A.B.C.M.T.I.

1. νόμιμοι] ὄντες ἔννομοι I.
2. δηλονότι Gr. εἰσίν I.
ib. ὡς ὁ Οἰδίπους—συγγενικόν om. Gr. sed habet alia, quae vide in annot. ad p. 226, 19.
15. μετὰ δὲ ταῦτα δυσδαίμων ἔρις om. C.
16. τῶν—Οἰδίποδος om. C.
ib. τοὺς οἴκους] τὸν οἶκον A.
17. τὸν οἶκον A.M. τοὺς οἴκους B.I.
ib. τῶν] τὸν M.
18. παίδων] τέκνων A.
21. ὅπερ] εἴπερ A.C.M.T.
22. ἔφυ] ἔλθοι I.
ib. καλῆς] καλὸν A.C.M. καλῶς I.
ib. τοῦτο δέ φησι διὰ τὸν A.C.M. τοῦτο δὲ διὰ τὸν B.T. τοῦτο δὲ κατὰ τὸν I.
23. παρανόμως] παρανόμους A.
24. φησι om. M.
ib. καλὸν] καλῶς A.C.M.
ib. ἐπαινέσομεν] ἐπινέσομεν M. ἐπαινήσομεν I.
25. αὐτοῖς] οὕτως M.
ib. ἤ ἔστι] εἰ ἦν (sic) M. εἰ ἔστι A.T. ὃ ἐστὶν C.

815. οὐδ' οἱ μὴ νόμιμοι: ἀπὸ κοινοῦ τὸ καλόν· οὐδὲ οἱ ἄνομοι παῖδες καλὸν, οἱ παρὰ τὸν τῆς φύσεως νόμον γενόμενοι, ἀλλὰ κατάρατοι καὶ ἀνόσιοι. A.B.C.M.I. οἱ μὴ νόμιμοι: ἤγουν ὁ Ἐτεοκλῆς καὶ Πολυνείκης, καλοὶ δηλονότι. Bar. ὁ Οἰδίπους, ἢ Ἐτεοκλῆς καὶ Πολυνείκης. Gu.

815.—817. παῖδες ματρὶ λόχευμα: κατὰ κοινοῦ τὸ οὐ καλὸν, τουτέστιν οὐ καλὸν οἱ μὴ νόμιμοι παῖδες, οἷον Οἰδίπους παρὰ τὸν τῆς φύσεως νόμον συγγενόμενος τῇ μητρὶ καὶ ἀνελὼν τὸν πατέρα. οὐ καλὸν οὖν, φησὶ, γέννημα, ἀλλὰ κατάρατον, παῖς τῆς τοῦ πατρὸς καὶ μητρὸς ἐπιβαίνων εὐνῆς· συναίμονα γὰρ εἶπε τὸν πατέρα τοῦ παιδὸς, ἐπειδὴ ἐξ ἑνὸς αἵματος ὁ παῖς τῷ πατρί. δύναται δὲ καὶ ἐπὶ τοῦ Ἐτεοκλέους ἡρμόσθαι ὁ λόγος, καὶ ἐροῦμεν οὕτως· οὐ καλὸν γέννημα οἱ μὴ νόμιμοι παῖδες τῇ μητρὶ, οἷον Ἐτεοκλῆς καὶ Πολυνείκης, ἐκ λέχους τοῦ αὐτοῦ πατρὸς καὶ ἀδελφοῦ ἐλθόντες εἰς φῶς, ἵν' ᾖ τὸ συναίμονος ἀντὶ τοῦ ἀδελφοῦ, τὸ δὲ εἰς λέχος ἀντὶ τοῦ ἐκ λέχους, λόχευμα δὲ τὸ γέννημα. Ἄλλως. οἵτινες παῖδές εἰσι τῇ μητρὶ λόχευμα, μίασμα δὲ τοῦ πατρὸς, διὰ τὸ δι' αὐτοὺς τετυφλωκέναι ἑαυτὸν, ἢ διότι ἑαυτὸν ἔκρυψεν· πατρὸς δὲ, τοῦ καὶ συναίμονος, ἐκ λέχους ἦλθον. A.M.T.

816. μίασμα πατρός: πῶς μίασμα πατρός; ὅτι σύναιμος εἰς λέχος ἦλθεν, ὅ ἐστι τοῦ ἀδελφοῦ αὐτῶν Οἰδίποδος. A.M. μίασμα πατρός: μεμιασμένον σπέρμα πατρὸς ὄντες. τόκος μητρὸς ὄντες, ἥτις εἰς συγγενικὸν ἦλθε λέχος. Gr.

817. ἡ δέ: ἥτις ἡ μήτηρ ἦλθεν εἰς τὸ ἑαυτῆς αἷμα. A.M. ὁ δέ ἀντὶ τοῦ γάρ. M. συναίμονος: γρ. σύναιμον. M. σύναιμον ἐς

1. οὐδ'—ἀπὸ] καὶ τὸ νόμιμοι δὲ ἀπὸ B.

ib. ἀπὸ κοινοῦ τὸ καλὸν post παῖδες καλὸν habent A.M.

ib. τὸ καλόν] τὸ οὐ καλόν M., ut infra est ad v. 815.

ib. οὐδὲ οἱ ἄνομοι παῖδες καλὸν] M. in marg. altera οὐδὲ οἱ ἄνομοι παῖδες καλὸν μητρὶ λόχευμα :— In C. post ἀνόσιοι est οὐδὲ (non οὔτε ut ap. Valck.) οἱ ἄνηθοι παῖδες μητρὶ (excidit καλὸν) λόχευμα.

ib. ἄνομοι A.M. μὴ νόμιμοι B.C.I.

2. τὸν τῆς] τὸν om. A.

15. συναίμονος Kirchhoffius pro σύναιμον.

ib. τοῦ ἀδελφοῦ] τοῦ om. T.

ib. τοῦ ante ἐκ λέχους addidi.

17. διὰ τὸ—ἑαυτὸν, ἢ om. A.

24. ἡ δέ obliteratum in M. In A. est ἐὰν δὲ ἣ ἥτις μήτηρ (omisso ἡ et ἦλθεν) εἰς τὸ ἑαυτῆς αἷμα. Leguntur autem haec in A.M. post ἦλθον lin. 18.

25. γρ. σύναιμον] γρ. συναιμ̊ M. Vetus codicum vitium fuit ἡ δὲ συναίμονος εἰς λέχος ἦλθεν.

λέχος: πατρὸς γὰρ σύναιμον εἰς λέχος ἦλθεν, ὅ ἐστι τοῦ ἀδελφοῦ αὐτῶν τοῦ Οἰδίποδος. B.I. *τοῦ υἱοῦ.* M.

818.—833. *ἔτεκες: ἔτεκες, ὦ γῆ τῶν Θηβῶν, ποτὲ, καθὰ ἐν τῇ ἐμῇ πατρίδι ποτὲ ἤκουσα λόγον βαρβαρικὸν, τὴν γενεὰν τὴν ἀπὸ τῶν ὀδόντων γεννηθεῖσαν, τὴν ἀπὸ τοῦ δράκοντος τοῦ θηρσὶ τρεφομένου, τοῦ φοινικοῦ τὴν κεφαλὴν, κλέος κάλλιστον τῶν Θηβῶν. εἰς τὸν γάμον δὲ τῆς Ἁρμονίας τῆς θυγατρὸς τῆς Ἀφροδίτης, ἣν ἔγημεν ὁ Κάδμος, ἦλθον οἱ θεοὶ, καὶ ὑπὸ τῆς φόρμιγγος καὶ τῆς λύρας τοῦ Ἀμφίονος τὰ τείχη τῶν Θηβῶν καὶ ὁ πύργος ἀνῳκοδομήθη περὶ τὸ μέσον τῶν δύο ποταμῶν τῆς Δίρκης τῆς πηγῆς, ἤγουν τοῦ Ἰσμηνοῦ καὶ τῆς Δίρκης, ἥτις ὁμωνύμως λέγεται τῇ πηγῇ, ἥτις, ἤγουν ἡ Δίρκη, ἡ πηγὴ, τὸ ἔμπροσθεν τοῦ Ἰσμηνοῦ πεδίον τὸ βοτανηφόρον ἄρδει καὶ κάθυγρον ποιεῖ. καὶ ἡ Ἰὼ, ἡ κέρας ἔχουσα, ἡ προμήτωρ, τοὺς βασιλεῖς τῶν Θηβαίων ἔτεκεν· ἡ πόλις δὲ ἥδε, μυριάδας ἀγαθῶν ἑτέρας ἐφ' ἑτέραις κατὰ διαδοχὴν ἔχουσα, νῦν ἐπὶ μεγίστῃ καὶ ἐσχάτῃ πολιορκίᾳ τοῦ Ἄρεος ἕστηκεν.* Gr. Cant. *ἐγέννησας ποτὲ, ὦ γῆ, ὡς ἔμαθον ἐν τοῖς οἴκοις ἀκοὴν βάρβαρον (ὡς γὰρ Φοῖνιξ ὁ χορὸς, οἱ δὲ Φοίνικες βάρβαροι, βάρβαρον ἀκοὴν ἐδάην φησίν·) ἐγέννησας οὖν τὴν ὀδοντοφυῆ γένναν, τουτέστι τοὺς ἐξ ὀδόντων φύντας καὶ γεννηθέντας Γίγαντας, τὴν ὑπάρχουσα ἀπὸ δράκοντος θηριώδους καὶ φοινικοῦν λόφον καὶ κεφαλὴν ἔχοντος. κάλλιστον οὖν ὄνειδος ταῖς Θήβαις ἦσαν οἱ Γίγαντες, ὄνειδος μὲν ὡς ἐξ ὀδόντων δράκοντος γεννηθέντες, κάλλιστον δὲ ὡς αὐτόχθονες καὶ ἀνδρεῖοι· ἀφ' ὧν Γιγάντων Θηβαῖοι κατήγοντο. εἰς τοὺς ὑμεναίους δὲ καὶ τοὺς γάμους τῆς Ἄρεος καὶ Ἀφροδίτης θυγατρὸς Ἁρμονίας, ἣν ἔγημε Κάδμος, ἦλθον οἱ θεοὶ, καὶ ἀνέστη τῆς πόλεως τὰ τείχη ἐν τῇ λύρᾳ τοῦ Ἀμφίονος, καὶ ὁ πύργος ἀνέστη ὑπὸ τῆς Ἀμφιονίας λύρας. ἔστι δὲ ἀμφότερα ταῦτα τὰ κῶλα ταυτοσήμαντα. ἀνέστη δὲ περὶ τὸ μέσον τῶν δύο ποταμῶν τῆς Δίρκης, ἤγουν οὓς ἡ Δίρκη ποιεῖ σχιζομένη, ἥτις καταρρέει εἰς τὸ πεδίον ἔμπροσθεν τοῦ Ἰσμηνοῦ ποταμοῦ. καὶ ἡ κερασφόρος Ἰὼ ἐγέννησε τοὺς βασιλέας τῶν Θηβαίων. μεταμειβο-*

6. *τὸν γάμον δὲ*] *δὲ τοὺς γάμους* Cant.

11. *ἡ Δίρκη*] *ἡ* om. Cant.

12. *βοτανηφόρον*] *βοτανοτρόφον* Gr. literis *τρό* supra versum positis, sed ita ut primo *βοτανηφόρον* scriptum fuisse pateat. Conf. ad v. 826.

14. *Θηβαίων*] *καδμείων* Gr.

μένη δὲ καὶ διαδεχομένη ἥδε ἡ πόλις μυριάδας ἑτέρας ἀγαθῶν ἐν μυρίοις ἀγαθοῖς ἕστηκεν ἐπ' ἄκροις στεφάνοις Ἀρηΐοις καὶ πολεμικοῖς τουτέστι πολλῶν ἀγαθῶν πειραθεῖσα τῆς τῶν σπαρτῶν γέννας, τοῦ ἐλθεῖν τοὺς θεοὺς εἰς τοὺς τῆς Ἁρμονίας γάμους, τοῦ ἀναστῆναι τὰ τείχη ὑπὸ λύρας, τοῦ τὴν Ἰὼ προμήτορα ἔχειν, τούτων οὖν ἁπάντων εἰς πεῖραν ἰοῦσα κεκύκλωται νῦν ὑπὸ πολεμίων. Gu.

818.—821. *ἔτεκες, ὦ γᾶ: εἰπὼν τὰ ὀνείδη τῆς πόλεως ἄρχεται ἤδη καὶ ἅπερ εἰς κλέος ἦσαν ταύτῃ εἰπεῖν.* Gu. *ταῦτα ἐφεξῆς μέχρι τοῦ τέλους τοῦ χοροῦ ἀνακλητικῶς προφέρουσι, μακαρίζουσαι τῆς ἀρχαίας εὐδαιμονίας τὰς Θήβας. τὸ δὲ ἑξῆς, ἔτεκές ποτε, ὦ γᾶ, γένναν ὀδοντοφυῆ σπαρτῶν τῶν ἀπὸ τοῦ φοινικολόφοιο δράκοντος, ὥς ποτε ἠκούσαμεν κατὰ τὴν βάρβαρον ἀκοὴν ἡμῶν, ἐν τῇ πατρίδι οὖσαι.* A.B.C.M.I.

819. *ἀκοάν: ἀκοὴ ἐνταῦθα λέγεται τὸ ἀκουόμενον, ὡς ἐν ἄλλοις αἴσθησις τὸ αἰσθητὸν καὶ νοῦς τὸ νοούμενον.* Gr. Cant. *βαρβαρικὸν λόγον.* Gr. Mosq. *ἐπεὶ ἀπὸ βαρβάρων τοῦτο μεμαθήκει.* Gu.

820. *θηροτρόφου: τοῦ ἐν θηρσὶ τραφέντος δράκοντος θηριώδους.* M. *τὸ ἀπὸ φοινικολόφοιο δράκοντος συναπτέον, θηρότροφον δὲ γένναν περιφραστικῶς τοὺς σπαρτούς, ἐπεὶ ἀπὸ θηρίου τοῦ δράκοντος ἐτέχθησαν. συντέτακται δὲ τὸ τραφῆναι καὶ ἐπὶ τοῦ γεννηθῆναι, ἢ ἐπὶ τοῦ αὐξηθῆναι καὶ ἀναδοθῆναι ἀπὸ τῆς γῆς.* A.B.C.M.T.I. *πορφυροκαρήνου, τοῦ ἔχοντος κοκκίνην κεφαλὴν, ἢ λόφον τοιοῦτον αὐτοφυῆ.* Gu.

821. *κάλλιστον ὄνειδος: κάλλιστον κλέος ταῖς Θήβαις αὐτοὺς*

9. ταῦτα] ὅτι τὰ C.
ib. ἐφεξῆς] ἐξῆς (sic) M. ἑξῆς A.
10. τοῦ τέλους om. C.
ib. ἀνακλητικῶς] ἀνακέκληται C.
ib. προφέρουσι] προσφέρουσι C.M.
ib. μακαρίζουσαι] μακαρίζουσι C.
11. τῆς—τὰς] τὰς—τῆς C.
12. γᾶ] γῆ A.B.M.
ib. τῶν] τὴν C.M. τοῦ om. A.C.
13. ὥς ποτε—οὖσαι om. C.M.
ib. ἀκοὴν ἡμῶν] ἡμῶν ἀκοὴν A.
15. ἐνταῦθα λ.] λ. ἐνταῦθα Cant.
16. νοῦς] ὁ νοῦς Cant.
18. θηρσὶ] θηρὸς M.
19. τὸ ἀπὸ φ. δ. om. C. τῷ (τὸ B.I.) οὖν ἀπὸ φ. δ. A.B.I. in quibus hoc scholion praecedenti est adjunctum post πατρίδι οὖσαι.
ib. συναπτέον] συντακτέον I.
ib. θηρότροφον] θηροτρόφον C.
20. ἐτέχθησαν] ἐγεννήθησαν I.
21. συντέτακται] τάσσεται B.C. τάττεται I. συντάττεται A.
ib. καὶ ἐπὶ C.M. ἐπὶ (omisso καὶ) A. καὶ ἀντὶ B.T.I.
ib. ἢ ἐπὶ] ἢ περὶ C. ἢ ἀντὶ I.
22. καὶ ἀ. ἀπὸ τῆς γῆς om. A. ἀπὸ τῆς γῆς om. C.
24. κάλλιστον] δὲ addunt B.I., lemma om.
ib. αὐτοὺς—φησί om A.

τοὺς σπαρτούς φησι. ἔστι δὲ τὸ ὄνειδος τῶν μέσων λέξεων, ὡς τύχη καὶ ζῆλος καὶ δόλος. A.B.M. Gu. I. ὄνειδος: κλέος. M.I. ἐγκώμιον. B.I.

822. ὑμεναίους: φασὶν ὡς, ὅτε οἱ θεοὶ εἰς τὸν τῆς Ἁρμονίας γάμον παρεγένοντο, ᾆσαι αὐτοὺς ᾆσμα εἰς τιμὴν τῶν νυμφίων. τὸ ὑμεναίους τοίνυν ἢ ἀντὶ τοῦ γάμους νοητέον, ἢ εἰς ᾠδὰς γαμικάς. Gu. Bar. καὶ κατὰ τοῦτο, φησὶ, μακαρία ἡ πόλις, ὅτι γαμοῦντι τῷ Κάδμῳ τὴν Ἁρμονίαν συνῆλθον οἱ θεοί. A.M.T.

823. φόρμιγγί τε τείχεα Θήβας: καὶ τοῦτο, φησὶν, εἰς εὐδαιμονίας λόγον ταῖς Θήβαις συνέβη, τὸ ὑπὸ τῆς λύρας Ἀμφίονος τειχισθῆναι. B.C.M.I.

824. πύργος ἀνέστα: ὁ πύργος δὲ καὶ τὰ τείχη ἀνῳκοδομήθη ὑπὸ τῆς τοῦ Ἀμφίονος λύρας. I. ᾠκοδομήθη. M. ᾠκοδομήθη ὁ πύργος δηλονότι καὶ τὰ τείχη. B.

825. διδύμων ποταμῶν πόρον ἀμφὶ μέσον: τὸν περάσιμον τόπον. B.M. λείπει τὸ ὅς· ὃς ὁ πόρος κατὰ τὸ πεδίον τῆς Δίρκης ἔμπροσθεν τοῦ Ἰσμηνοῦ καταδεύει. οὗτοι γάρ εἰσιν οἱ δύο ποταμοὶ, ἥ τε Δίρκη καὶ ὁ Ἰσμηνός. A.B. Ἄλλως. περὶ τὸν μέσον πόρον τῶν διδύμων ποταμῶν τῆς Δίρκης, ἥτις σχιζομένη δύο ἀποτελεῖ ποταμοὺς, οὓς καὶ Διδύμους ἐκάλεσαν, ἐπεὶ ἐξ ἑνὸς οἱ δύο ἀποτελοῦνται. A.B.C. ἥτις Δίρκη εἰς δύο σχιζομένη τὸ ἔμπροσθεν τοῦ Ἰσμηνοῦ πεδίον καταρδεύει. οὗτοι γάρ εἰσιν οἱ δύο ποταμοὶ, ἥ τε Δίρκη καὶ Ἰσμηνός. C.

1. In Gu. sola sunt verba ὄνειδος τῶν—δόλος.

2. καὶ ζῆλος καὶ δόλος B. Gu. καὶ δόλος καὶ ζῆλος I. καὶ ζῆλος om. M.

ib. ἐγκώμιον] In C. κάλλιστον κλέος ταῖς θήβαις. et ἀντὶ τοῦ κλέος, ἐγκώμιον.

4. οἱ θεοὶ] οἱ om. Gu.

5. τὸ] τοὺς Bar.

6. εἰς om. Bar.

7. καὶ κατὰ—πόλις habet etiam C., sed adjecta scholio v. 821. In A. lemma praefixum ἁρμονίας δέ ποτε.

9. φόρμιγγι—] Hujus scholii reliquiae sunt in A. φόρμιγγί τε. καὶ τοῦτο φησὶ ...... ταῖς θήβαις συνέβη ... ...

ib. φησιν hic B.M., post εὐδαιμονίας C.

10. λόγον] λόγος M.

ib. ὑπὸ] ὑπὲρ M.

18. Ἄλλως praefixum in A.B., om. C.

ib. περὶ τὸν μέσον] περὶ μὲν A.

19. σχιζομένη A.B. σχιζομένη τὸ ἔμπροσθεν τοῦ ἰσμηνοῦ C. Proximum δύο om. A.

20. ἐπεὶ ἐξ ἑνὸς] ἐπειδὴ ἓν A.

ib. ἐξ ἑνὸς B. οἱ ξένοι C.

21. ἥτις] Ἄλλως praefixit Matth.

διδύμων ποταμῶν: περὶ τὸν μέσον πόρον τῶν δύο ποταμῶν τῆς Δίρκης τῆς πηγῆς· δύο γὰρ ποταμοὶ διαιροῦνται ἀπὸ τῆς Δίρκης, ὁ Ἰσμηνὸς καὶ ἡ ὁμωνύμως τῇ πηγῇ καλουμένη Δίρκη. Cant. Mosq.

826. χλοεροτρόφον: βοτανοτρόφον. Gr. I.

827. πρόπαρ: τὸ ἔμπροσθεν τοῦ Ἰσμηνοῦ ποτίζει. I. καταδεύει: ἀντὶ τοῦ καταδύεται. λείπει δὲ ἥτις, ἥτις ἐπαρδεύει τὸ πεδίον ἡ Δίρκη. M.

828. Ἰώ θ' ἁ κερόεσσα: καὶ ἡ κερασφόρος Ἰὼ, ἥτις ἐγέννησε τοὺς βασιλεῖς τῶν Θηβαίων. B.C.I. πρὸς ἅπασι τούτοις καὶ Ἰὼ ἔχουσιν οἱ Θηβαῖοι προμήτορα. Ἄλλως. καὶ ὦ Ἰὼ κερατοφόρε, ἥτις ἐγέννησε τοὺς βασιλεῖς τῶν Θηβαίων καὶ ἤνεγκε μυριάδας ἀγαθῶν ἀντὶ τῶν κακῶν. M.T.

830. μυριάδας δ' ἀγαθῶν: εἰ δὲ δεῖ, φησὶ, φράσαι συντόμως, ἡ πόλις αὕτη μυρία ἀνδραγαθήματα καὶ νίκας συνάπτουσα εἰς ἄκρον ἐν τῷ πολέμῳ προελήλυθεν ἀνδραγαθημάτων, ὡς εἰ ἔλεγε, τὴν οὕτω μα-

1. περὶ τὸν μέσον πόρον] ἀντὶ τοῦ περὶ τὸ μέσον τοῦ πόρου Mosq.

3. ὁμωνύμως τῇ πηγῇ καλουμένη] ὁμώνυμος τῇ πηγῇ τῇ καλουμένη δίρκη Mosq.

7. ἥτις alterum addidi. Scholiasta non legit ἅ.

9. ἡ κερασφόρος Ἰὼ] ἡ ἰὼ κερατοφόρος C.

ib. ἥτις om. I.

ib. ἐγέννησε hic B.C., post θηβαίων I.

10. πρὸς—προμήτορα etiam in A.

11. Ἄλλως] καὶ ἄλλως M.

12. καὶ ἤνεκε (sic codex) μ.—ἀντὶ κακῶν] Haec etiam in C., sed adjuncta scholio praecedenti.

13. τῶν κακῶν] τῶν om. C.T.

14. εἰ δὲ δεῖ Matthiae. τί δὲ δεῖ M. τί δὲ A. δεῖ δὲ I. de quo Valck. "Cur, obsecro δεῖ; Hic quidem vetus lectio prorsus fuit in edd. obliterata. Sic C. συνελόντι δὲ φασὶ φράσας συντόμως, ἡ πόλις αὕτη ἡ μ. ἀ. καὶ νίκας συνάπτουσα, (omittuntur intermedia) ἡ τοσαῦτα πλεονεκτήματα εὐτυχήσασα.— Restituendum: συνελόντι δὲ, φησὶ, φράσαι, ἡ πόλις αὕτη, ἡ— *Uti vero paucis*, inquit vetus enarrator, *dicam*. Graece scientibus notissima forma loquendi συνελόντι δὲ φράσαι, vel εἰπεῖν, *ut dicenda paucis absolvam, ut verbo dicam:* non optimi quique veterum duntaxat, sed et recentiores ita loquuntur: M. Antonin. 2. 17. συνελόντι δὲ εἰπεῖν, πάντα τὰ τοῦ σώματος ποταμός. Athen. 13. p. 611 B. συνελόντι δὲ εἰπεῖν κατὰ τὸν Σολέα Κλέαρχον— βίον κυνικὸν τῷ ὄντι ζῆτε. Quia vulgo frequentius in talibus συντόμως ponebatur, hoc in alterius locum hic fuerat substitutum, aut forte primitus ad alterum adjectum, ut ex C. liquet. Alexidis est comici, συντομώτατόν γ' εἰπεῖν· Anaxilae rarior ellipsis in his apud Athen. 13. p. 558 E. — συντεμόντι δ', οὐδὲ ἓν Ἔσθ' ἑταίρας, ὅσαπερ ἐστὶ θηρί', ἐξωλέστερον."

15. καὶ νίκας A.B.C.M. νίκαις I.

ib. ἐν τῷ πολέμῳ om. M.

καρίαν οὐκ ἀπεικὸς τοὺς ἐπελθόντας πολεμίους ἀπώσασθαι. ἡ οὕτως· ἤδη τοσαῦτα πλεονεκτήματα εὐτυχήσασα καὶ ἄλλα ἄλλοις ἀμειψαμένη νῦν ἐπὶ ξυροῦ πολέμου ἕστηκεν, ἐπὶ ἀγωνίσμασι πολεμικοῖς. A. B.C.M.T.I. *ἡ δὲ πόλις αὕτη πρὸς τοῖς ἄλλοις ἄλλας δεξαμένη μυριάδας ἀγαθῶν νῦν ἐν κινδύνοις ἄκροις ἕστηκεν.* A.C.T.

832. *ἐπ' ἄκροις ἕστακ' Ἀρηΐοις στεφάνοισιν: ἤγουν ὑπὸ πολεμίων κεκύκλωται καὶ πρὸς κίνδυνόν ἐστι. τοιαύτην γὰρ ἔμφασιν ἔχει τὸ ἄκροις, ἐπειδὴ καὶ οἱ ἐπ' ἄκρου τινὸς ἱστάμενοι πρὸς τὸ πεσεῖν ἕτοιμοί εἰσιν.* Gu.

834.—838. *ἡγοῦ πάροιθε: προοδοποίει ἔμπροσθεν, ὦ θύγατερ, ὅτι ὀφθαλμὸς ὑπάρχεις σὺ τῷ τυφλῷ καὶ ὁδηγουμένῳ μοι ποδί, καθὰ τοῖς ἐπιβάταις τῆς νεὼς τὸ ἄστρον, εἰς ὃ δηλονότι ἀποβλέπουσιν· ἄγε πρόβαινε, προέρχου, τιθεῖσα τὸ ἐμὸν ἴχνος, ἤγουν ἐμέ, εἰς ὁμαλὴν καὶ ἰσόπεδον γῆν, ἵνα μὴ προσπταίσωμεν, μὴ δυνάμενοι πορεύεσθαι· ἀσθενὴς γὰρ ὁ πατήρ σου. καὶ τὰς σημειώσεις τῶν ἀποβάσεων φύλασσε τῇ παρθενικῇ σου χειρί.* I.

834. *ἡγοῦ πάροιθε, θύγατερ: Μαντὼ ἐκαλεῖτο ἡ θυγάτηρ Τειρεσίου. καὶ πρὸς ἐκείνην λέγει τοὺς λόγους Τειρεσίας.* B.C.M.I. *Πείσανδρος ἱστορεῖ ὅτι ξάνξη Τειρεσίᾳ γαμηθεῖσα ἐποίησε παῖδας τέσσαρας, φαινήφερ σεκέρδην, χλώρην, Μαντώ.* M.T.

1. *ἀπεικὸς τοὺς ἐπελθόντας*] *ἀπεικότως ἐλθόντας* A.

ib. *ἡ οὕτως—πολεμικοῖς* om. M.

2. *ἤδη*] *ἡ δὴ* T. In A. *ἤδη τοσαῦτα εὐτυχήματα ἀμείψασα. ἄλλως. ἄλλοις ἀμειψαμένη νῦν ἐπὶ ξυροῦ πολέμου ἕστηκεν. ἄλλως. ἡ δὲ πόλις—διαδεξαμένη—ἄκροις ἕστηκεν. ἀδ' ἐπ' ἄκροις. ἐπ' ἀγωνίσμασι πολεμικοῖς καὶ ἐπὶ ξυροῦ ἕστηκεν :—*

ib. *ἄλλα*] *ἄλλους* I.

ib. *ἀμειψαμένη*] *ἀμειβομένη* C.

3. *ξυροῦ*] *ξηροῦ* C.I. Herodotea 6, 11. *ἐπὶ ξυροῦ γὰρ τῆς ἀκμῆς ἔχεται ἡμῖν τὰ πράγματα* Longinus adhibet 22, 4. ubi notat Jac. Tollius "*ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν* dixit epigrammatographus apud Plut. de Herodoti malign. p. 870 E. Paulo rarius Euripidis illud in Phoen. 1088. quaerenti Iocastae, *ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείων δόρει*; respondet nuntius, *ἀκμήν γ' ἐπ' αὐτήν.*" VALCK.

ib. *ἐπὶ ἀ. π.* om. B.C. In A.M. separato scholio *ἐπ' ἀγωνίσμασι πολεμικοῖς καὶ ἐπὶ ξυροῦ ἕστηκεν.*

4. *δεξαμένη*] *διαδεξαμένη* A.T.

14. *προσπταίσωμεν*] *προσπέσωμεν* I. Correctum ex Gr. in quo v. 837. super *σφαλῶμεν* scriptum *ἵνα μὴ προσπταίσωμεν.*

17. *Τειρεσίου*] *τοῦ τειρεσίου* M.I.

18. *καὶ—Τειρεσίας* addita ex C.

ib. *λόγους* addidit Valck.

19. *ξάνξη*] Sic clare, sed corrupte M. *ζάνξη* vel *ξάνξη* ex T. affertur. Proxima quoque tria liberorum nomina graviter corrupta.

ib. *τειρεσία* M. *τειρεσίας* T.

ib. *γαμηθεῖσα* om. T.

20. *τέσσαρας* M. *δ* T.

ib. *φαινήφερ* M. *φαινένφερ* T. Φα-

θύγατερ: ἰστέον ὅτι Σοφοκλῆς ἐν τῷ τῆς Ἀντιγόνης δράματι υἱὸν εἶναι λέγει τὸν χειραγωγοῦντα τὸν Τειρεσίαν, ἐνταῦθα δὲ Εὐριπίδης θυγατέρα, ἥτις Μαντὼ ἐκαλεῖτο. Gu. *τυφλῷ ποδί*: τῷ μὴ ὑπὸ τῶν οἰκείων ὀφθαλμῶν ὁδηγουμένῳ. Gr. Cant.

835. *ναυβάταισιν ἄστρον ὥς*: καθὰ τοῖς ἐπιβάταις τῶν νεῶν τὸ ἄστρον, εἰς ὃ δηλονότι ἀποβλέπει τὰ σιδήρια. Gr. Cant. *ἄστρον*: ὡς ἄστρον τοῖς ναύταις. M. τουτέστιν Ἑλίκη. Fl. 33.

836. *δεῦρ' ἐς τὸ λευρόν*: πλατὺ, ὁμαλὸν, ἰσόπεδον. B. εἰς τὸ πλατὺ πεδίον καὶ ὁμαλὸν καὶ ἰσόπεδον τὸ ἴχνος τοὐμὸν τιθεῖσα πρόβαινε καὶ μὴ εἰς κεκρυμμένον, ἵνα μὴ σφαλῶμεν τῆς οἰωνοσκοπίας. M.T. ὧδε πρόβαινε, εἰς τὸ ὁμαλὸν πεδίον τὸν πόδα τὸν ἐμὸν τιθεῖσα, ἤγουν ἐρείδουσα, ἀσφαλιζομένη. Gr. *ἴχνος τιθεῖσ' ἐμόν*: τὸν σὸν πόδα, ὅς ἐστιν ἴχνος ἐμόν· ἢ τιθεῖσα τὸ ἐμὸν ἴχνος ἀντὶ τοῦ ὁδηγοῦσά με· ἡ γὰρ σὴ ὁδήγησις τὸν ἐμὸν πόδα εἰς πορείαν ἄγει. Gu. τιθεῖσα φέρε. M.

837. *μὴ σφαλῶμεν*: μὴ πέσωμεν. M. ἵνα μὴ προσπταίσωμεν. Gr. μή πως πλανηθῶμεν. Gu. *ἀσθενής*: ὅτι καὶ τυφλὸς καὶ γέρων. M.

838. *κλήρους τέ μοι φύλασσε*: τοὺς μισθοὺς φύλασσε, Τειρεσία, αἰτίους κλήρους ἐμοὶ, τουτέστι τὰς τῶν πτήσεων σημειώσεις. M. τὰ λάχη ἤτοι τοὺς μισθοὺς τοὺς ἀπὸ κλήρου δοθέντας μοι, ἢ τὰς μαντικὰς ψήφους. Gu.

839. *οὓς ἔλαβον*: οἱ γὰρ οἰωνοσκόποι ἐν δέλτοις ἐσημειοῦντο τὰς πτήσεις, ἵνα διὰ μνήμης ἄγοιεν. εἰ δὲ τυφλὸς ἦν, μὴ θαυμάσωμεν· ἡ γὰρ θυγάτηρ ἔμπειρος οὖσα τὰς γινομένας πτήσεις ἐσημειοῦτο. φασὶ δὲ αὐτὴν μετὰ τὸν θάνατον τοῦ πατρὸς ἀρίστην μάντιν γενέσθαι. A.B.C.I.

μενὸς Tiresiae filius, memoratur ab Sophocle fragm. 462 d.

p. 233. l. 20. χλώρην M. χλῶριν T.

2. υἱὸν] Male intellexit voc. παῖς, quo usus est Sophocles v. 1012. 1087.

9. πλατὺ πεδίον καὶ om. M.

10. εἰς κεκρυμμένον] εἰς κεκρυμμένην T. ἦσθα κεκρυμμένη M.

ib. ἵνα—οἰωνοσκοπίας] Haec verba habet A. post Οἰδίποδος p. 228, 20.

15. φέρε spectat ad δεῦρο.

19. τοὺς μισθοὺς φύλασσε etiam A. B. τὰς μαντικὰς ψήφους M.

23. δέλτοις—πτήσεις] δέλτῳ—αἰτήσεις A.

24. θαυμάσωμεν] θαυμάσῃς A.

25. γινομένας om. I. In A. est τὰς γινομένας ἐμπτήσεις ἐσημειοῦτο.

ib. ἐσημειοῦτο post οὖσα I.

26. τὸν om. A. τὸν et τοῦ πατρὸς om. C.

οἰωνίσματ᾽ ὀρνίθων μαθών: ἀποροῦσί τινες πῶς τυφλὸς ὢν ὁ Τειρεσίας ἠδύνατο καταλαμβάνειν τὰς τῶν ὀρνίθων πτήσεις. καὶ φαμὲν ὡς ἡ θυγάτηρ αὐτοῦ ἔμπειρος οὖσα ἔλεγεν αὐτῷ τοιῶσδε καὶ τοιῶσδε πέτεσθαι τοὺς ὄρνις· ἐκ τούτου οὖν ἐκεῖνος ἐμαντεύετο. φασὶ δὲ καὶ μετὰ θάνατον αὐτοῦ μάντιν ἀρίστην γενέσθαι τὴν θυγατέρα. Gu. Bar. τὰς μαντείας τῶν ὀρνίθων. *μαθών*: νοήσας, σκεψάμενος. Gr.

840. *θάκοισιν ἐν ἱεροῖσιν*: τόπος Θήβης ὁ θᾶκος, ὅπου ἐμαντεύετο ὁ Τειρεσίας. A.B.C.I. ἢ ὁ ἱερὸς σκίμπους, ἐν ᾧ καθεζόμενος ἐμαντεύετο. C. Gu. *τοῖς θρόνοις*. *οὗ*: ὅπου. ἀντὶ τοῦ ἐν τῷ θρόνῳ τῷ ἱερῷ. Gr. Mosq.

841.—844. *τέκνον Μενοικεῦ*: ἀντὶ τοῦ τέκνον ἐμὸν καθ᾽ ἡλικίαν, πόσου διαστήματός ἐστιν ἡ ἐπίλοιπος ὁδὸς μέχρι τοῦ ἄστεος, ἢ πρὸς τὸν πατέρα σου; κοπιῶσι γὰρ οἱ πόδες μου, καὶ μόλις περιπατῶ συνεχῆ βαδίσας βάδισιν. I.

τέκνον Μενοικεῦ: εἰπέ μοι πόσου διαστήματος ἡ ἔμπροσθεν ὁδὸς τοῦ ἄστεο,· ἐντὸς γὰρ τοῦ ἄστεος ἐποιοῦντο τὴν πορείαν· καὶ διὰ τοῦτό φησιν, ἡ τοῦ ἄστεος ὁδός. Gr. I.

842. *πόση τις*: πόσον χρόνον δεῖ ἐν μέσῳ λέγειν; B.M.

843. *ἐμὸν κάμνει γόνυ*: ὅτι οἱ πόδες ἐμοῦ ἐκοπώθησαν. M. ἀντὶ τοῦ οἱ ἐμοὶ πόδες κοπιῶσιν. Gr. *κάμνει*: ἀσθενεῖ. Fl. 33. πάσχει ἀπὸ τοῦ κόπου. Gu.

844. *πυκνὴν δὲ βαίνων*: συνεχῆ δὲ βάδισιν, ὅ ἐστι τὸ μῆκος τῆς

1. τινές om. Gu.

7. θάκοισιν—ὅπου C. οἱ δὲ θᾶκοι τόπος θήβης ὅπου (ὅποι I.) B I.

ib. ὁ θᾶκος] ὁ θάκος C. οἱ θάκοι A. "Illud inter commenta retulerim grammaticorum. Pausanias Thebis locum invenit, οἰωνοσκοπεῖον Τειρεσίου καλούμενον, 9. 16, 1. *auguraculum Tiresiae*. Quaevis *sedes* θάκος, sive θῶκος· *Sedem capere* proprie dicebantur *augures*: hoc ubi docet Heraldus 1 Digress. 20, p. 236. inde, inquit, ἱεροὺς θάκους, *appellat Tiresias in Phoenissis Euripidis, quibus sedens capiebat auguria. Sellam vaticinam* vocat augur Tiresias παλαιὸν θῶκον ὀρνιθοσκόπον, in Soph. Antig. 1011. Euripides Bacchis 347. ἐλθὼν δὲ θάκους τούσδ᾽, ἵν᾽ οἰωνοσκοπεῖ. hanc in tragicis formam alteri praetulerim: θάκος et θῶκος quo fonte fluant Hemst. docuit ad Hesychium in v. Θάβακον." VALCK.

8. ἢ ὁ ἱερὸς σ. C. θῶκος ὁ ἱερὸς σ. Gu.

ib. καθεζόμενος] ὁ τειρεσίας add. Gu.

11. τέκνον Μενοικεῦ—ἡλικίαν] Haec etiam in B.M.

15. εἰπέ μοι om. Gr.

16. γὰρ om. Gr. καὶ om. I.

ib. ἐποιοῦντο τ. π.] τ. π. ἐποιοῦντο I.

18. Addidi πόσον.

ib. λέγειν] λ^e^ cum compendio B. λαβεῖν M.

22. δὲ om. B.

ib. βάδισιν] βάσιος Fl.

ib. ὅ ἐστι—ὁδοῦ om. B.

ὁδοῦ μόγις περιπατῶ. B. Fl. 33. συνεχῆ δὲ πορευόμενος πορείαν μόλις κινοῦμαι. ἀπὸ γὰρ τῶν Ἀθηνῶν ἐλθὼν, εἶτα οὔπω ἱκανῶς ἀναπαυσάμενος καὶ ταύτην μετακληθεὶς ἔρχεται τὴν ὁδόν. Gr. ἤλυσιν: τὴν ὁδὸν, οἷον ἔλευσιν, ὅ ἐστι τὸ μῆκος τῆς ὁδοῦ. A.M. ἐπέλευσιν, ὁδόν. Gu. μόλις περῶ: ἀπὸ γὰρ τῶν Ἀθηνῶν παραυτίκα ἔρχεται πρόσφατος. A.C.M. Fl. 33. διέρχομαι, περιπατῶ. Gu.

845.—848. θάρσει: θάρσει, ὦ Τειρεσία· ἔξεστί σοι γὰρ πλησίον τῶν φίλων στῆσαι τὸν πόδα. ἅψαι δ' αὐτοῦ καὶ ἀντιλαβοῦ, τέκνον Μενοικεῦ, ὅτι πᾶσα ἀπήνη καὶ πᾶς πρεσβύτου ποὺς εἴωθε περιμένειν χειρὸς ἀλλοτρίας χειραγωγήματα. I.

845. ....: γράφεται καὶ ἐξόρμισαι, ἀντὶ τοῦ στῆσον τὸν σὸν πόδα. I. ἡ μεταφορὰ ἀπὸ τῶν νηῶν τῶν εἰς λιμένα καταγομένων. B.I. ἐξόρμισαι: ἔστησας. Ἄλλως. ἀντὶ τοῦ ἐξώρμισαι, ἀντὶ τοῦ ἐκβέβηκεν, ἢ ἐξόρμισον προστακτικῶς, ἀντὶ τοῦ στῆσον, ἐκ μεταφορᾶς τῶν εἰς λιμένα καταγομένων νεῶν. M. ἐξορμίσαι: λείπει τὸ ἐστίν, ὥστε ἐξορμίσαι τὸν πόδα ἐστίν· ἢ τὸ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ἀντὶ τοῦ ἐξόρμισον, στῆσον, ἐκ μεταφορᾶς τῶν νηῶν τῶν εἰς λιμένα καταγομένων. C. ἐκόμισας, ἔστησας. Gu.

847. ὡς πᾶσ' ἀπήνη: ὥσπερ γὰρ ἅρμα, μὴ ὄντος τοῦ κινοῦντος αὐτὸ ἡνιόχου, ἀκίνητον μένει, οὕτω καὶ πρεσβύτης, εἰ μή τις αὐτὸν ἀνακουφίζει, ἑαυτῷ χρῆσθαι οὐ δύναται. Gu. I.

ὡς πᾶσ' ἀπήνη: καὶ οἱ γεγηρακότες, φησὶν, ὑπὸ ξένης χειραγωγεῖσθαι ὀφείλουσιν. ἤτοι ἐν τῷ μὴ δύνασθαι αὐτὴν καθ' ἑαυτὴν ἄνευ

1. Verba συνεχῆ δὲ—κινοῦμαι habent etiam Flor. 6. 9. 21. 56. 59. 76. ultima e Cant. dedit Barnes. sunt etiam in Leid e quo Valck. post Ἀθηνῶν interseruit μόλις et pro ἔρχεται dedit ἔρχομαι. MATTH.

5. Ἀθηνῶν] ἀθηναίων A.C. Fl. θηβαίων M.

11. γράφεται—καταγομένων in I. post πόδα (lin. 8.) leguntur sine lemmate, quod ἐξωρμίσω fecit King.

12. μεταφορὰ] δὲ add. I.

13. ἐξόρμισαι: ἔστησας. ἄλλως. ἀντὶ τοῦ ἐξώρμισας. τὸ ō ἀντὶ τοῦ ω ἐμβέβληκας, ἔστησας. ἄλλως. λείπει τὸ ἐστίν, στῆσαί σε τὸν πόδα, ἢ ἐξόρμισον ἀντὶ τοῦ στῆσον ἐκ μεταφορᾶς—νεῶν :— A.

ib. ἐξόρμισαι] Sic M. in lemmate scholii. In textu ἐξορμίσαι, ι in η mutato. Simile scholion in B. ἐξορμίσαι σόν: ἐξορμίσαι ἐστίν. ἄλλως. ἀντὶ τοῦ ἐξαρμόσαι, τὸ ō ἀντὶ τοῦ ᾱ. ἐμβέβηκά σε. στῆσον.

ib. ἐξώρμισαι] ἐξόρμισαι M.

14. ἐκβέβηκεν] Corrige ἐκβέβηκας.

15. νεῶν om. M.

16. ὥστε ἐξορμίσαι Valck. ὡς τὸ ἐξόρμισαι C.

17. ἐξόρμισον] ἐξόρμισ^{σαι}ον Gr. in textu cum gl. στῆσον.

20. αὐτὸ om. I.

23. αὐτὴν — τρέχειν] αὐτὸν καθ' ἑαυτὸν τρέχειν ἄνευ ζώων A.

ζώων τρέχειν· ἢ, ὅπερ βέλτιον καὶ ἀκόλουθον, ἐν τῷ τὰ ὑπεζευγμένα ζῶα ἄνευ τοῦ ἡνιοχοῦντος μὴ δύνασθαι τρέχειν, ἵνα καὶ αὐτὴν τὴν ζεῦξιν ἀπήνας λέγῃ. θυραίας δὲ ἀλλοτρίας, ὡς πρὸς τὰ ἕλκοντα ζῶα μὴ κοινωνούσης τοῦ ἑλκυσμοῦ· ἐὰν δ' ἐπὶ τῆς ἁμάξης μόνον, ἁπλούστερον τῆς ἀλλοτρίας τῆς τῶν ζώων. A.M.T. ξένης. M. ἀπήνη: καροῦχα. Gr. Florr. φιλεῖ: εἴωθε. Gr. ἔθος ἔχει. Fl. 33.

848. κουφίσματα: ὁδηγήματα. M. χειραγωγήματα. Gr. Bar.

849. εἶεν: ἔστω ταῦτα· διὰ τί με, ὦ Κρέον, μετεκαλέσω ἐν σπουδῇ; I. διῃρημένως ἀναγνωστέον. ἔστι δὲ ἐπίρρημα τοῦ μὲν προτέρου λόγου ληκτικὸν, ἑτέρου δὲ ἀρκτικόν. C. ἔστω ταῦτα. Gr. ταῦτα μὲν οὕτως ὑπάρχουσι. Gu. πάρεσμεν: ἀντὶ τοῦ παραγεγόναμεν. Gr.

850. οὔπω λελήσμεθ': οὔπω ἐπιλελήσμεθα τοῦ δι' ὅ σε κεκλήκαμεν. B.C. οὐδαμῶς ἐπελαθόμεθα δι' ὅ σε μετεκαλεσάμεθα. Gr. I.

ἀλλὰ σύλλεξαι: ἀντὶ τοῦ συνάγαγε, ἀναλάμβανε αὐτήν. M. ἀντὶ τοῦ ἀναλάμβανε σαυτὸν, ἀνάκτησαι τὴν δύναμιν. C. ἀνάλαβε δύναμιν Gr. ἀλλ' ἀνάλαβε τὴν δύναμιν, καὶ τὴν πνοὴν σύλλεξον, ἐκβαλὼν τὸ ἆσθμα, ὅπερ ἡ ὁδὸς ἐποίησεν. I.

851. πνεῦμ': τὴν πνοήν. Gr. κᾶπος: κάματον. Gu. τὸ ἆσθμα, ὅπερ ἡ ὁδὸς ἐποίησε. Gr. τὸ ἐκ τῆς ὁδοιπορίας γενόμενον. Gu. καὶ πνεῦμ' ἄθροισον: διὰ τοῦτο πνεῦμα αὐτὸν ἀθροῖσαί φησιν, ἵνα τὴν ἔνδον ἐκ τῆς ὁδοῦ αὐτῷ συμβᾶσαν θερμότητα ἀναψύξῃ διὰ τοῦ ἔξωθεν πνεύματος. Gu. I.

κᾶπος: νῦν τὸν κάματον, ἢ τὸ ἐκ τῆς ὁδοῦ ἆσθμα γινόμενον. ἄλλοι δὲ ἆπος τὸ ὕψος, νῦν δὲ καταχρηστικῶς τὸ μῆκος, ὡς καὶ "αἰπὺς ὄλεθρος." [ἐν Καλλιμάχῳ.] A.B.C.M.I.

2. ζῶα om. A.

3. λέγῃ Matth. pro λέγει. λε' A.

9. διῃρημένως] διηρημέν C., non διῃρημένως ut ap. Valck.

12. οὔπω ἐπ. C. οὐκ ἐπ. B. In C. praefixum ἢ οὕτως, praegressis verbis νῦν τὸν—γενόμενον ex scholio v. 851.

15. τοῦ ἀναλάμβανε Valck. pro τοῦ λάμβανε.

20. ἄθροισον] In M. ἄθροισον: ἀνάκτησαι δύναμιν, στῆσον τὰ .. π̃ρία (sic fere).

23. κᾶπος om. C. In B. lemma est ἆπος ἐκβαλὼν δόρυ, in A. αἶπος ἐκβαλών.

ib. ἐκ A. ἀπὸ B., om. C.M.I.

ib. γινόμενον] γενόμενον A.C.

24. ἄλλοι—Καλλιμάχῳ om. C.

ib. ἆπος] αἶπος Valck.

25. καὶ (vel καί που) "αἰπὺς ὄλεθρος" (apud Hom. Il. 13, 773. et alibi) scripsi pro καὶ πούς ὀλέθριος.

ib. Seclusi ἐν Καλλιμάχῳ, quod om. A.B.C.M.

852. *κόπῳ πάρειμι*: χθὲς τῇ προλαβούσῃ ἡμέρᾳ ἀπὸ τῆς γῆς τῶν Ἀθηναίων παραπεμφθεὶς δεῦρο σὺν κόπῳ παραγέγονα. I. γράφεται δὲ καὶ παρεῖμαι, ἀντὶ τοῦ ὑπὸ τοῦ κόπου παραλέλυμαι. M.I. ὑπὸ κόπου παραλέλυμαι, ἔκλυτος ἐγενόμην ἀπὸ τῶν Ἀθηναίων, οἱ ἀπὸ τοῦ Ἐρεχθέως κατήγοντο. Gr.

853. *δεῦρ'*: ἐς τὰς Θήβας. Gu. ὧδε κομισθεὶς, ἤγουν παραπεμφθείς. Gr. ὡς ὑπὸ θυγατρὸς κουφιζόμενος ἐκκομισθεὶς εἶπεν. Gu. *ἐκκομισθείς*: ἐνταῦθα ἐνεχθείς. M.

τῆς πάροιθεν ἡμέρας: τῆς πρὸ ταύτης, χθὲς δηλονότι. M. τῆς παρελθούσης. Gu. ἐπὶ τῆς προλαβούσης, ἤγουν τῆς χθές. Gr. ἤγουν ἐκ τῆς χθὲς ἡμέρας ἀπὸ τῶν Ἀθηναίων ἀψάμενος τῆς ὁδοῦ νῦν μόλις ἀφῖγμαι σὺν πολλῷ κόπῳ· ἢ ἐπὶ τῆς χθὲς ἡμέρας ἦλθον ἐκ τῶν Ἀθηναίων. Gu.

854. *κἀκεῖ γὰρ ἦν*: καὶ ἐκεῖ γὰρ ἦν πόλεμος, ὅντινα ἐποίησεν Εὔμολπος, ὅπου νικηφόρους τοὺς Ἀθηναίους ἐποίησα, καὶ τοῦτον τὸν χρυσοῦν στέφανον, ὡς βλέπεις, φορῶ, λαβὼν ὡς ἐξαίρετον ἀπαρχὴν ἀπὸ τῶν πολεμίων σκυλευμάτων αὐτόν. I. *οὐ καλλινίκους*: νικηφόρους τοὺς Ἀθηναίους. C. ἐπίτηδες πρὸς ἔπαινον τῶν Ἀθηναίων ἀνακεχρόνισται, τέσσαρσι γενεαῖς προύχοντος τοῦ Θηβαϊκοῦ πολέμου. Ἄλλως. τέσσαρσι γενεαῖς τοῦ Θηβαϊκοῦ πολέμου πρεσβύτερός ἐστιν Εὐμόλπου ὁ πρὸς Ἐρεχθέα πόλεμος. Ἐρεχθέως μὲν γὰρ

2. γράφεται] In M. κόπῳ πάρειμι (sic) γοῦν: γράφεται παρεῖμαι ἀντὶ τοῦ ἐκλέλυμαι τὰ γόνατα τῷ κόπῳ.

17. Lemma οὐ καλλινίκους addidi ex B.

18. ἐπίτηδες] δὲ add. I.

19. ἀνακεχρόνισται] Rectius forte scripsisset μετακεχρόνισται· *quae quatuor generationibus ante bellum evenere Thebanum sciens in haec tempora transtulit*. vid. Jos. Scaliger. Anim. in Euseb. p. 41 A. Sed ἀναχρονίζειν et ἀναχρονισμὸς in talibus frequentant grammatici: sicut hic, ἀνακεχρόνισται legitur in schol. ad Eurip. Hippol. v. 231. πώλους Ἐνέτας: ταῦτα ἀνακεχρόνισται· οὐδέπω γὰρ Ἕλληνες ἐχρῶντο ἵπποις· addendum Ἐνέταις, vel Ἐνετικοῖς, ex Eustath. in Il. B. p 273. 38. ubi meminit et Εὐριπίδου, ἀναχρονίσαντος τὴν τοιαύτην ἱππείαν εἰς τὰ Ἡρωϊκά. Saepius legitur in hujusmodi veterum criticorum notis ὁ τρόπος ἀναχρονισμός, vel ἀναχρονισμοῦ τὸ σχῆμα· tegunt his vocibus peccata veterum. VALCK.

ib. τέσσαρσι] τέτρασι A.B.C.T.

ib. προύχοντος A.T. προύχοντα B. M I., om. C.

20. Ἄλλως—πολέμου om. C.

ib. τέσσαρσι] τέτρασι A.B.

ib. πρεσβύτερος] πρεσβύτερον C.

21. Εὐμόλπου] εὐμόλπω A.C.M.

ib. πόλεμος] In A. a m. recentiore additum in margine υἱὸς ποσει-

Πανδίων, οὗ Αἰγεύς, οὗ Θησεὺς ὁ τῶν ἐν τῇ Καδμείᾳ πεσόντων τὰ σώματα ἀνελόμενος. ἦν δὲ ὁ Εὔμολπος Θρακῶν βασιλεύς, ὃς λέγεται ἐλθεῖν εἰς Ἐλευσῖνα ἐπὶ τῷ μυηθῆναι τὰ Ἐλευσίνια, καὶ πρῶτος ἱστορεῖται ξένος μυηθῆναι, διὸ καὶ ἀπ' αὐτοῦ ἄρχοντες ἐγένοντο ἱεροῖσιν Εὐμολπίδαι Ἀθήνησιν. οὗτος συνεμάχησεν Ἐλευσινίοις, στασιάζουσι κατὰ τοῦ βασιλέως Ἐρεχθέως, καὶ ἡττηθεὶς ἐφονεύθη. ὕστερον δὲ κατὰ πυθόχρηστον ἐτιμήθη, καὶ ὁ τάφος αὐτοῦ ἱερώθη διὰ τὸ πρῶτον τὰ Ἐλευσίνια μεμνῆσθαι. τινὲς δὲ υἱὸν Ποσειδῶνος τὸν Εὔμολπόν φασιν, ὃς ἡττηθεὶς ὑπὸ τῆς Ἀθηνᾶς εἰς τὴν ἔριν τὴν περὶ τῆς Ἀττικῆς διὰ τῆς ἐλαίας τὸν υἱὸν αὐτοῦ κατὰ τῶν Ἀθηναίων ἐκίνησεν. A.B.C.M.T.I.

Εὐμόλπου: Εὔμολπος παῖς Ποσειδῶνος καὶ Χιόνης τῆς Βορέου καὶ Ὠρειθυίας θυγατρὸς Ἐρεχθέως· ὃς πολεμῶν τὰς Ἀθήνας ἐπὶ τοῦ νεωτέρου Ἐρεχθέως ἐφονεύθη παρ' αὐτοῦ. ἕτεροι δὲ καὶ ἄλλοι δύο υἱοὶ παρ' αὐτοῦ Ἐρεχθέως ἀνῃρέθησαν ἐν ἐκείνῳ τῷ πολέμῳ συμ-

δῶνος, ὃς κατὰ τῶν ἀθηναίων ἐνίκησε διὰ (adde τὸ) ἡττηθῆναι αὐτὸν ὑπὸ τῆς ἀθηνᾶς διὰ τῆς ἐλαίας εἰς τὴν περὶ τῆς ἀττικῆς ἔριν. quae recte scripta infra leguntur a m. pr.

1. τῇ add. C.

3. τῷ C. τὸ ceteri.

ib. μυηθῆναι τὰ Ἐλευσίνια] μνησθῆναι τὰ ἐλευσίνεια A. pariterque infra μεμνῆσθαι pro μυηθῆναι.

4. μυηθῆναι—συνεμάχησεν om. C., sed habet ἐν ἐλευσινίοις, praepositione ex terminatione verbi συνεμάχησεν orta.

5. οὗτος συνεμάχησεν Ἐλευσινίοις] His usus est Meursius Att. Lect. 6, 21. de Reg. Athen. 2, 8. p. 109. Vicina, quantum memini, non attigit in Eleusiniis. Quod scribit schol. ab isthoc *Eumolpo* Thrace Atticos *Eumolpidas* originem duxisse, vix credibile videtur. Photius Lex. Ms. [Εὔμολποι] ἐλέγοντο τρεῖς· ὁ μὲν ἐκ Θρᾴκης ἐπιστρατεύσας, ὃν οὐ προσποιοῦνται (id est ἰδιοποιοῦνται, *quem non agnoscunt* tanquam suum) οἱ Εὐμολπίδαι· ὁ δὲ Ἀπόλλωνος καὶ Ἀστυνόμης· ὁ δὲ Μουσαίου καὶ Δηϊόπης. sic emendatius paulo scribi poterunt quam prostant vulgata. Hic Musaei Deïopesque filius, *ceremoniarum antistes*, ortum dedit *Eumolpidis*, καταδείξας τὴν μύησιν καὶ ἱεροφάντης γεγονώς, ut scribit Androtion apud schol. Soph. ad Oed. in Col. v. 1047. Scholion transcripsit Menagius in Diog. L. 1, 3. quo Meursius jam fuerat usus Eleusin. c. 2. VALCK.

8. τινὲς δὲ] τινὸς C., omisso δέ.

9. ὃς] ὡς C.

ib. Ἀθηνᾶς] ἀθήνης I.

10. τὸν υἱὸν (υἱὸν om. M.)—ἐκίνησεν om. A. in lacuna.

12. χιόνης A. χιώνης M. χιόνος T.

13. ὃς πολεμῶν—τοῦ (τοῦ om. A.) νεωτέρου Ἐρεχθέως om. M.

14. παρ' αὐτοῦ. ἕτεροι—ἐτέλεσαν] ἐφονεύθησαν παρ' αὐτοῦ καὶ ἄλλοι δύο ὡς ὑπὸ ποσειδῶνος παρὰ ἐρεχθέως ἀνῃρέθησαν ἐν ἐκείνῳ φόρβας καὶ ἰμμάραδος. τότε δὲ ἐπὶ τῇ εἰρήνῃ τὰ μυστήρια δήμητρος ἐτέλεσαν :— A.

ib. ἄλλοι δύο] δύο om. M.

15. ἀνῃρέθησαν A. ἀνῃρέθοντο T.: in M. obliteratum.

μαχοῦντες Εὐμόλπῳ Φόρβας καὶ Ἰμμάραδος. τότε δὲ ἐπὶ τῇ εἰρήνῃ τὰ μυστήρια Δήμητρος ἐτέλεσαν. A.M.T.

πόλεμος Εὐμόλπου δορός: ὃν τὸ δόρυ τοῦ Εὐμόλπου ἐποίει, ἤγουν ἡ δύναμις. Bar. Gr. Florr. Εὔμολπος Θρᾴκης βασιλεὺς, υἱὸς Ποσειδῶνος καὶ Χιόνης, ἀμυνόμενος Ἀθηναίους, ὡς ἡττηθέντος αὐτοῦ τοῦ πατρὸς Ἀθηνᾷ τὴν περὶ τῆς πόλεως κρίσιν, ἐστράτευσε κατ' αὐτῶν· μηκυνομένου δὲ τοῦ πολέμου ἑκὼν αὐτὸς τοῦτον διέλυσεν, οὐ νενικηκότων Ἀθηναίων καὶ καλλινίκων γενομένων, ὡς αὐτός φησιν. Bar. Gu.

855. καλλινίκους: νικηφόρους. M. Gu. ἔθηκ': ἐσήμηνα. Cant. Gr. ἐμαντευσάμην αὐτοῖς νίκην. Gu.

856. καὶ τόνδε χρυσοῦν στέφανον: στέφανον γὰρ ἔχουσιν ἐν τοῖς πολέμοις, ἵνα νικῶντες ἀναδέωνται. A.B.C.M.I.

857. ἀπαρχάς: ἀπαρχὴ κυρίως ἐπὶ καρπῶν, ὅταν πρὸ παντὸς ἄλλου τῷ θεῷ τις ἀποτέμηται καὶ ἀναθῇ μοῖραν. Cant. Gr.

858.—864. οἰωνὸν ἐθέμην: σημεῖον ἐθέμην τοῦ ἡμᾶς νικῆσαι τὸν ἐπὶ τῇ νίκῃ δοθέντα σοι στέφανον. ἐν ταραχῇ γὰρ ἐσμὲν, ὡς αὐτὸς οἶδας, τοῦ πολέμου τῶν Ἀργείων. καὶ δὴ καὶ μεγάλη ἐστὶ ταῖς Θήβαις ἀγωνία· ὁ μὲν βασιλεὺς Ἐτεοκλῆς πρὸ ὀλίγου ὁπλισθεὶς ὅπλοις ἐξῆλθε πρὸς μάχην τῶν Ἀργείων, ἐμοὶ δ' ἐνετείλατο παρὰ σοῦ μαθεῖν τί ποιοῦντες τὴν πόλιν ῥυσαίμεθ' ἄν. I. ἀγαθὸν σημεῖον ἐδεξάμην. Cant. Gr. μαντείαν τοῦ καὶ ἡμᾶς νικῆσαι. Gu.

858. καλλίνικα σὰ στέφη: ἤγουν τὸν σὸν στέφανον, τὸν ἐπὶ τῇ νίκῃ δοθέντα σοι. Cant. Gr.

859. κλύδωνι: καὶ ταραχῇ καὶ ἐν μεγάλῃ ἀνάγκῃ. Fl. 59. ταραχῇ καὶ συγχύσει κακῶν. B.M. Fl. 33.

1. Εὐμόλπῳ Matth. pro εὐφόρβῳ εἰμόλπῳ.

4. Θρᾴκης] ὁ τῆς θρᾴκης Bar.

6. Ἀθηνᾷ] Ἀθηνᾶς Valck.

12. στέφανον γὰρ ἔχουσιν A.M. χρυσοῦν δὲ στέφανον εἶπεν, ἐπειδὴ στεφάνους ἔχουσιν B.I. (omisso lemmate). In C. est σημεῖον ἐθέμην τοῦ καὶ ἡμᾶς νικῆσαι τὰ νικηφόρα σου στέφη. καὶ στεφάνους γὰρ ἔχουσιν—Sic etiam Fl. 33.

13. πολέμοις] πολεμίοις C.M.

ib. νικῶντες] οἱ νικῶντες C. Fl. I.

ib. ἀναδέωνται I. ἀναδέδοιντο A. ἀναδέδοντο B.M. ἀναδέδονται T. ἀναδύωνται ἢ ἀναδιδοῖντο C. ἀναδέοιντο Fl.

22. σημεῖον ἐ. τοῦ (καὶ addit A.) ἡ. νικῆσαι habent etiam A.B.M.

27. ταραχῇ] ἤτοι ἐν ταραχῇ Fl. ἐν ταραχῇ B.

860. *καὶ μέγας Θήβαις ἀγών*: ἀγὼν τῆς μάχης τῶν Ἀργείων καὶ Θηβαίων. M. κίνδυνος. M.

861. *κοσμηθείς*: ὁπλισθείς. M. Gr.

862. *πρὸς ἀλκήν*: ἀντὶ τοῦ πρὸς Ἀργείους. M. Μυκηνίδα: τὴν τῶν Ἀργείων. Μυκήνη γὰρ πόλις Ἄργους. B.M.

864. *ἐπέσταλκ'*: ἔγραψε, δι' ἐπιστολῆς ἐνετείλατο. M.

865. *Ἐτεοκλέους μέν*: ἕνεκα τοῦ Ἐτεοκλέους κλείσας ἂν τὸ στόμα τὰς μαντείας ἐπέσχον. C. Cant. Gr.

Ἐτεοκλέους μέν: προεῖπεν ὁ Ἐτεοκλῆς τὴν αἰτίαν τῆς λύπης τοῦ μάντεως, "σοὶ μὲν γὰρ ἡδὺς εἰς λόγους ἀφίξεται, ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην," ἀντὶ τοῦ ἐξεφαύλισα. A.B.C.M.I. τὸ ἑξῆς, ἕνεκα μὲν τοῦ Ἐτεοκλέους κλείσας τὸ στόμα τοὺς χρησμοὺς ἐπέσχον· νοσεῖ γὰρ ἥδε γῆ, τουτέστι νοσεῖ ἡ πόλις, ἐξ οὗ ὁ Λάϊος ἐγεννήθη καὶ ὁ Οἰδίπους ἔφυ, καὶ ἡ τῶν ὀφθαλμῶν τύφλωσις ἐγένετο αὐτῷ. διαφθορὰν δὲ εἶπε τὴν τύφλωσιν. M.T. ἕνεκα Ἐτεοκλέους κλείσας ἂν τὸ στόμα τὰς μαντείας ἐπέσχον. Gr. ἐπέσχον: ἀντὶ τοῦ κατέσχον. Gr. κλῄσας: συγκλείσας. M.

866. *χρῄζεις μαθεῖν*: τὰ μαντικά. M.

867. *λέξω*: τὸ ἑξῆς, λέξω δέ σοι. τὸ δὲ νοσεῖ ἀντὶ τοῦ στασιάζει, δυστυχεῖ. M.

νοσεῖ: δυστυχεῖ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *πάλαι*: ἐκ μακροῦ. Gr. Florr. iidem.

868. *ἐξ οὗ 'τεκνώθη*: τέκνου πατὴρ ἐγένετο, ἀντὶ τοῦ ἐτέκνωσε. κατὰ ἀπαρίθμησιν δὲ προάγει τὸν λόγον· ἀπὸ τοῦ Λαΐου γὰρ ἀρξάμενος κατέβη εἰς τοὺς περὶ Ἐτεοκλέα καὶ Πολυνείκην. A.B.C.M.I.

'τεκνώθη: ἐτέκνωσεν. M. τέκνον ἔσπειρεν. Gu. ἐπαιδοποίησε.

7. ἕνεκα C. ἕνεκα μὲν Cant.
ib. ἂν om. C.
9. προεῖπεν] προεῖπε δὲ C. nullo praemisso lemmate.
ib. Ἐτεοκλέους—προεῖπεν] καὶ μέγας θήβαις ἀγών: περὶ τῆς μάχης τῶν ἀργείων καὶ τῶν θηβαίων προεῖπεν A.
10. σοὶ—ἀφίξεται om. A.M.
11. ἀντὶ τοῦ om. A.
ib. ἐξεφαύλισα] ἐξεφαύλησα A.
ib. et 19. τὸ ἑξῆς] τὸ δὲ ἑξῆς M.
14. ἔφυ om. A.
ib. αὐτῷ] αὐτῶν A.
23. τέκνου (τέκνον C.)] ἤτοι τέκνου B.
ib. ἀντὶ τοῦ et δὲ om. A.
24. προάγει] προσάγει M.
ib. γὰρ post ἀπὸ habet C., om. A.M.
25. Ἐτεοκλέα] τὸν ἐτεοκλέα M.I.

Fl. 59. *βίᾳ θεῶν*: *μὴ βουλήσει τῶν θεῶν.* Cant. Gr. *παρὰ προαίρεσιν.* M. *παρὰ γνώμην καὶ προαίρεσιν.* Gu.

869. *ἔφυσε*: *ἔτεκε.* M. *μέλεον*: *ἄθλιον.* M.

870. *αἵ θ' αἱματωποί*: *ἀφ' οὗ καὶ αἱ αἱματώδεις τῶν ὀφθαλμῶν διαφθοραί.* A.M.T. *αἱ ᾑμαγμέναι καὶ τετρωμέναι τῶν ὀφθαλμῶν τυφλώσεις.* B.C.I.

871. *θεῶν σόφισμα*: *παραλογισμὸς, παραίνεσις εἰς τὸ μὴ παραβῆναι τὸ θεῖον.* M. *ἀντὶ τοῦ παραλογισμὸς, ἡ ἐπίνοια θεῶν, ἵνα πᾶσι δειχθῇ μὴ παρακούειν θεῶν.* A.B.C.M.I. *κἀπίδειξις δὲ, ἤγουν παραίνεσις εἰς τὸ μὴ παραβῆναι τὸ θεῖον.* B.I. *καὶ ἔνδειξις αὐτῶν πρὸς τὴν Ἑλλάδα.* Gr. Cant. Florr. *κἀπίδειξις*: *τῆς τοῦ Λαΐου παρακοῆς. ἐπέδειξαν γὰρ διὰ τούτου πᾶσιν ὅτι τοιαῦθ' ἅπαντες πάσχουσιν οἱ θεοῖς ἀπειθοῦντες.* Gu.

872. *ἅ*: *ἤγουν τὸ τεκνῶσαι τὸν Λάϊον, τὸ Οἰδίπουν γενέσθαι ἄνδρα τῆς οἰκείας μητρὸς καὶ τὸ μὴ τυφλὸν γενόμενον φαίνεσθαι.* Gu. *συγκαλύψαι*: *κρύψαι.* Gr. Florr. *ἀφανίσαι.* Gu. *χρόνῳ*: *διὰ τῆς παρατάσεως τοῦ χρόνου.* Gr. Florr.

873. *χρῄζοντες*: *θέλοντες.* Gr. Florr. *ὡς δὴ θεούς*: *καθὰ δὴ τὴν τῶν θεῶν ἀγανάκτησιν ἐκφευξόμενοι.* Gr. Florr. *ὡς οὕτως ἂν τὴν τῶν θεῶν ὀργὴν καὶ τιμωρίαν φευξούμενοι· ὃν γὰρ ἐμίσουν ἐκεῖνοι, τοῦτον καὶ αὐτοὶ ὥσπερ μισοῦντες καὶ τοῖς θεοῖς ὥσπερ συμπράττοντες ἔνδον οἴκου κατέκλεισαν.* Gu.

ὡς δὴ θεούς: *ὡς δὴ μέλλοντες ἐκ τούτου τὴν τῶν θεῶν κρίσιν ὑπεκβῆναι, καὶ μέχρι τούτου οἰόμενοι στήσειν αὐτοῖς τὸ κακὸν τοὺς*

5. *αἱ* (*αἱ* om. B.C.) *ᾑμαγμέναι*] *καὶ ἐξ οὗ ἐγένοντο αἱ ᾑμαγμέναι* I., ut in Gu. et Florentinis est *ἐξ οὗ ἐγένοντο αἱ διαφθοραὶ τῶν ὀμμάτων τοῦ οἰδίποδος αἱ αἱματώδεις.*

ib. *καὶ* om. C.

ib. *τετρωμέναι*] *τετριμμέναι* C.

8. *ἀντὶ τοῦ*] *σόφισμα δὲ ἀντὶ τοῦ* C. *ἀντὶ τοῦ* om. B.M.

ib. *παραλογισμὸς ἢ* additum ex C.

ib. *θεῶν—παρακούειν θεῶν* om. C.

9. *παρακούειν*] *ἀκούειν* M.

ib. *κἀπίδειξις*] *καὶ ἀπόδειξις* I.

23. *μέλλοντες*] *μέλλοντος* B.I. *μέλλωντας* T. In C. terminatio oblitterata et *ὡς δὴ* omissum.

ib. *τούτου*] *τούτων* C.

ib. *τὴν τῶν* om. C.

ib. *κρίσιν*] *ἔρισιν* C. *καὶ ἀγανάκτησιν* add. I.

24. *ὑπεκβῆναι*] *ὑπερβαίνειν* C. *ὑπερβῆναι* T. *ὑπερνικῆσαι* A.

ib. *οἰόμενοι στήσειν*] *στήσειν οἰόμενοι* C.

ib. *τοὺς θεοὺς*] *τοῖς θεοῖς* I.

θεοὺς, διὰ τοῦ συγκλείειν τὸν πατέρα περιτρύχοντας. κεκριμένον δὲ ἦν τοῖς θεοῖς ὥστε καὶ αὐτοὺς ἀλλήλους ἀποκτεῖναι. A.B.C.M.T.I.

874. ἥμαρτον ἀμαθῶς: ἀπέτυχον ἀπαιδεύτως. B.M.I. ἀπέτυχον τοῦ οἰκείου σκοποῦ ἀνοήτως, ἤγουν δι' ἀγνωσίαν. Gr. Florr. γέρας: τιμήν. Gr. Florr. ὄνειδος ἔχοντες ἐκ τῆς φυγῆς. B. rec.

875. οὔτ' ἔξοδον: ἐλευθερίαν προέρχεσθαι τῆς οἰκίας. I. καθεῖρξαν, φησὶν, αὐτὸν οὔτε τινὰ τιμὴν ἀποδιδόντες αὐτῷ οὔτε προελθεῖν που συγχωροῦντες. καὶ τούτου χάριν θυμωθεὶς αὐτοὺς κατηράσατο, ὅτι τῷ περὶ τοὺς ὀφθαλμοὺς πάθει καὶ προσητίμαστο. A.C. M.T. προσητιμασμένος, διὰ τοὺς ὀφθαλμοὺς ὑβρισμένος. M.

876. ἐξηγρίωσαν: εἰς θυμὸν ἐκίνησαν. Gr. I. ἐκ δ' ἔπνευσ': ἐξεφώνησε κατ' αὐτῶν ἀρὰς χαλεπὰς τυφλὸς ὢν, σὺν τούτῳ δὲ καὶ καταπεφρονημένος καὶ ὑβριζόμενος. Gr. I. παρ' ἐκείνων ὑβρισμένος. Gu. ἐπέρριψεν, ἐφθέγξατο, ἐξέβαλε. M.

878. ἀγὼ τί οὐ δρῶν: γρ. δὲ καὶ, ἐγὼ τί μὴ δρῶν, ποῖα δ' οὐ λέγων ἔπη. B.M. λείπει ἡ διά, δι' ἃ λέγων. τὸ δὲ οὐ ἀπὸ κοινοῦ. B.M.I. ὁ δὲ νοῦς, πράττων καὶ λέγων πολλὰ ἐμισήθην ὑπὸ τῶν παίδων τοῦ Οἰδίποδος. I. ἀγώ: μὴ λάβῃς εἰς τὸ ἃ ἔξωθεν τὸ διά, ὥσπερ τινὲς, ἀλλ' ἔστιν αὕτη ἡ αἰτιατικὴ πρὸς τὸ τί δρῶν, ὁποῖα δ' οὐ λέγων ἔπη, ἐπειδὴ δρῶ σε φαμὲν καὶ λέγω σε τόδε, οὕτως· ἃ ἐγὼ τί οὐ δρῶν καὶ τί οὐ ποιῶν, ὁποῖα δὲ ἔπη οὐ λέγων, ἀντὶ τοῦ καὶ δι' ἔργου καὶ διὰ λόγου ταῦτα μεμφόμενος, δι' ἔργου μὲν, ὅτι καλοῦσι πολλάκις αὐτοῖς οὐχ ὑπήκουσα, (τὸ δὲ ἦν τὰ σφῶν ἔργα μισοῦντος) διὰ λόγου δὲ, ὅτι ὀνειδίζων οὐ πέπαυμαι, εἰς ἔχθος ἦλθον τοῖς παισὶ τοῦ Οἰδίπου. ἢ τὸ ἃ πρὸς τὸ ἦλθον συντακτέον, οὕτως, ἃ ἐγὼ ἦλθον εἰς ἔχθος τοῖς παισὶ τοῦ Οἰδίπου τί δρῶν, ὁποῖα

1. διὰ τοῦ] διὰ τὸ A.C.

ib. περιτρύχοντας] περιτρέχοντας C. περιτρέχοντες A.T.

2. καὶ αὐτοὺς ἀλλήλους] ἑαυτοὺς καταλλήλους A.

4. τοῦ οἰκείου σκοποῦ additum ex Gu.

7. φησὶν, αὐτὸν] αὐτὸν φησὶν A.

ib. προελθεῖν] παρελθεῖν C.

8. θυμωθεὶς M. θυμηθεὶς T. θυμυθεὶς (sic) A.C.

9. τῷ περὶ—προσητίμαστο etiam in B.

ib. πάθει καὶ] καὶ om. A.

ib. προσητίμαστο] προσητίμασεν C. I. προσητοίμαστο A.

12. δὲ καὶ et καὶ ὑβριζόμενος om. Gr.

13. ἐφθέγξατο obscure scriptum in M. Idem ἐξέβαλλε.

16. λείπει ἡ (ἡ om. I) διὰ, δι' ἃ λέγων (διαλέγων A.) A.B.I. ποῖα δ' οὐ λέγων ἔπη: διαλέγων M.

17. κοινοῦ] τί οὐ δρῶν. τί μὴ δρῶν. ποῖα δ' οὐ λέγων addit A.

δ' οὐ λέγων ἔπη. ὥσπερ γὰρ φαμὲν, ἐπορεύθην ταύτην τὴν ὁδὸν ἐπ' εὐδαιμονίᾳ σῇ, ἀντὶ τοῦ ἡ πόρευσίς μου εὐδαιμονίαν σοι ἤγαγεν, οὕτω καὶ τὸ ἃ ἦλθον εἰς ἔχθος, ἀντὶ τοῦ τὸ περὶ τούτων διεξιέναι με ἔχθος ἐμοὶ πρὸς τοὺς Οἰδίποδος παῖδας ἤγαγε. λάμβανε δὲ εἰς τὸ πρῶτον πρὸς τὸ τί δρῶν τὸ οὐ κατὰ συνεκδοχὴν ἀπὸ τοῦ οὐ λέγων. Gu.

879. εἰς ἔχθος ἦλθον: μῖσος. M. θέλων καταλῦσαι. M. γράφεται καὶ εἰς ὄχλον ἦλθον, ἀντὶ τοῦ εἰς ὄχλησιν τῇ πόλει. A.B.M.I.

880. αὐτόχειρ: ἀντὶ τοῦ αὐτοχείρως ἀμφότεροι φονευθήσονται. I. ἐγγὺς δὲ αὐτοῖς, ὦ Κρέον, θάνατος αὐτόχειρ. αὐτόχειρ θάνατος κυρίως ὃν αὐτὸς ἑαυτόν τις θανατώσει. ἐνταῦθα δὲ τὸ ταῖς χερσὶν ἀλλήλων αὐτοὺς θανατωθῆναι, καὶ μὴ ὑπὸ χειρῶν ἄλλων, αὐτόχειρα θάνατον ἐκάλεσε, μεταστήσας ἠρέμα τὴν σημασίαν τῆς λέξεως. Gr. Cant.

882. μίξαντες: συγκροτήσαντες. Gr. I.

884. συγκατασκάπτῃ: συγκαταστρέφῃ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. συναφανίζῃ, διαφθαρήσῃ. Gu.

885. τις: ὁ Κρέων. οὐκ ἠβούλετο δὲ εἰπεῖν τοὔνομα, ἵνα μὴ τοῦτον παρόντα λυπήσῃ. Gu.

886. ἐκεῖνο μὲν γάρ: ἐκεῖνο γὰρ πρῶτον ἦν ἴαμα τῶν ἀπὸ Οἰδίπου μηδένα πολίτην μηδὲ ἄνακτα εἶναι τῇδε τῇ πόλει, ὡς κακοδαιμονοῦντας. Ἄλλως. πρωτεῦον, αἱρετώτερον. A.M.T. ἔθος ποιητικὸν τὸ ἀπὸ τοῦ γάρ ἄρχεσθαι. Ὅμηρος "ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπη ζόφος." καὶ

7. καὶ om. B.
ib. ἦλθον ἀντὶ τοῦ εἰς] ἤγουν εἰς A.
ib. τῇ πόλει om. B.I.
10. θάνατος] Hic incipit Cant.
17. διαφθαρήσῃ etiam M.
20. ἐκεῖνο (μὲν add. A.) γὰρ πρῶτον—] Eadem fere et partim rectius scripta infra ex C. apponemus.
21. μηδένα] μηδὲ ἕνα A.
22. ἔθος] In C. lemma σύ τ' ὦ τάλαινα praescriptum.
23. τὸ ἀπὸ τοῦ γάρ] τούτου γάρ A. M.T. τὸ ἀπὸ τοῦ ὦ A.
ib. Ὅμηρος] Od. 10, 190.
ib. ὦ φίλοι om. M.T. Totam annotationem non ad hunc versum, sed ad v. 867. λέξω· νοσεῖ γὰρ ἥδε γῆ referendam esse monet Valck.
ib. οὐ γάρ—ὦ φίλοι om. B.I.
ib. οὐ γάρ τ'] οὐδέ τι A. "Apparet antiquum grammaticum, qui hoc scholion scripsit (Aristophanem Byzantium esse suspicor) non legisse apud Homerum importunum versum 189:

κέκλυτέ μευ μύθων κακά περ πάσχοντες ἑταῖροι.

ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστόν.

καὶ Μένανδρος

ἐκ γειτόνων οἰκῶ γὰρ, ὦ τοιχωρύχε.

A.B.C.M.T.I.

πρῶτον ἦν: ἀντὶ τοῦ πρωτεῦον, αἱρετώτερον, ἐπικρατέστερον, μηδένα τῶν καταγομένων ἀπὸ τοῦ Οἰδίποδος μήτε βασιλέα μήτε πολίτην ὑπάρχειν τῆς χθονός. I.

ἐκεῖνο μὲν γὰρ πρῶτον ἦν: πρωτεῦον, αἱρετώτερον. ἐκεῖνο μὲν γὰρ, φησὶν, ἦν πρῶτον τῇ πόλει ἴαμα, ὥστε μηδένα τῶν Οἰδίποδος ἐκγόνων διὰ τὸ ἀσεβῶς γεγονέναι μήτε βασιλέα τῆς χώρας γενέσθαι μήτε ὅλως πολίτην. A.C. ἐκεῖνο μὲν γὰρ ἦν ἄριστον, μηδένα ἀπὸ τῶν παίδων τοῦ Οἰδίποδος ἄνακτα εἶναι τῆς χθονὸς, μηδὲ πολίτην ἀντὶ τοῦ οἰκήτορα. πολῖται οἱ πόλιν οἰκοῦντες ἁπλῶς καὶ ἐν πόλει τὴν ἀναστροφὴν ποιούμενοι, ἀστοὶ δὲ οἱ ἰθαγενεῖς πολῖται, ὧν τοῖς μὲν ἀντίκεινται οἱ ἐν τοῖς ἀγροῖς τὴν οἴκησιν ἔχοντες, τοῖς δὲ ἀστοῖς οἱ ξένοι. Cant. Gr. καλὸν καὶ σωτήριον τῇ πόλει. Gu.

887. μηδένα πολίτην: πρωθύστερον. Gr. Fl. iidem.

888. ὡς δαιμονῶντας: ὡς ὀργῇ δαιμόνων κατεχομένους, ὡς κακοδαιμονοῦντας, ὡς σκληρῷ δαίμονι καὶ ἀπανθρώπῳ κατεχομένους. A.B.

Scholion Harleianum ad h. l. Καλλίστρατός φησιν (e commentariis Aristophanis) ὡς ὑπό τινος ὁ στίχος προτέτακται ἀγνοοῦντος τὸ Ὁμηρικὸν ἔθος, ὡς θέλει ἄρχεσθαι ἀπὸ τοῦ γάρ." COBET.

p. 244. l. 24. καὶ om. C.

1. ὦ φίλοι—] Od. 10, 226.

ib. ἔνδον γάρ τις om. C.

ib. ἐποιχομένη] ἐποιχόμενοι C. ἐστοιχωμένη M.T. ἐστοιχωμένος A.

ib. μέγαν ἱστόν om. A.B.C.M.T.

3. ἐκ (ἐν C.) γ. οἰκῶ γὰρ Porsonus. ἐκ γ. οἴκων (οἰκ˜ M.) γὰρ A.B.M.T. ἐκ γ. γὰρ οἴκων I. οἰκῶ γὰρ om. C.

6. μήτε β. scripsi pro μὴ β. ex scholio proximo.

8. πρωτεῦον, αἱρετώτερον etiam B., om. A.

ib. μὲν om. C., habet infra (post v. 899.) ἐκεῖνο μὲν γὰρ ἦν πρῶτον ἴαμα τῶν ἀπ' οἰδίπου μηδένα πολίτην μηδὲ ἄνακτα εἶναι τῇδε τῇ πόλει ὡς κακοδαιμονοῦντας:—

9. φησὶν om. A. in quo hoc scholion proximumque ὡς δαιμονῶντας — ἀπανθρώπῳ κατεχομένους conjunctim a m. secunda scriptum.

ib. πρῶτον post πόλει A.

ib. οιδιποδα (sic sine accentu) ἐκγόνων C., non quod Valck. ei tribuit οἰδιποδαγόνων. Correxi Οἰδίποδος ἐκγόνων ex A.

10. ἀσεβῶς] ἀσεβὴς A.

ib. τῆς χώρας] τῇ χώρᾳ A.

18. ὡς ὀργῇ—ἀπανθρώπῳ κατεχομένους] Similiter ὡς κακοδαιμονῶντας, ὡς σκληρῷ δαίμονι καὶ ἀπανθρώπῳ χρωμένους I. in fine scholii v. 886. post τῆς χθονός et, qui κακοδαιμονοῦντας et κατεχομένους (pro χρωμένους), B. ad verba ὡς δαιμονῶντας (v. 888.) ubi in M. adscriptum ὡς κακοδαίμονι καὶ ἀπανθρώπῳ καὶ σκληρῷ κατεχομένους.

C.I. *καθὰ κακοδαίμονας ὄντας*. Gr. Florr. iidem. *δυστυχίᾳ κατεχομένους*. Fl. 33. *κἀνατρέψοντας*: *ἀνατρέπειν τὸ τοὺς θεμελίους τῶν οἰκοδομημάτων ἄνω ποιεῖν, τὰ δὲ τείχη κάτω*. Gr. Florr. iidem. *ἀνάστατον ποιήσοντας*. Gu.

889.—895. *ἐπεὶ δὲ κρεῖσσον*: *ἐπικρατέστερον τὸ κακόν. Ὅμηρος "ἐπεὶ τὰ χερείονα νικᾷ."* A.B.C.M.I. *ἄλλη μία μέθοδος καὶ ἐπίνοια σωτηρίας. ἀλλ' οὐκ ἀκίνδυνον οὔτ' ἐμοὶ τόδε εἰπεῖν, καὶ λυπηρὸν τὸ σύμβαμα τῶν κλήρων τοῖς κεκτημένοις τὴν δυστυχίαν, ὥστε παρασχεῖν τῇ πόλει θεραπείας φάρμακον, ἀπελεύσομαι, χαίρετε· εἷς γὰρ ὢν καὶ αὐτὸς μετὰ πολλῶν Θηβαίων ἀπολοῦμαι· οὕτω γὰρ εἵμαρται*. I.

890. *μηχανή*: *ἐπίνοια*. M. Gu. *βουλή*. M.

891. *ἀλλ' οὐ γὰρ—τόδ' ἀσφαλές*: *ἀντὶ τοῦ ἄλυπον. λυπήσω γάρ σε. ἢ οὐκ ἀσφαλὲς διὰ τὸ αὐτὸν τεθνήξεσθαι*. M. *ἀκίνδυνον*. M. *ἀλλ' ἐάσω· οὐκ ἔστι γὰρ οὔτε ἐμοὶ τοῦτο ἀσφαλές, ἤγουν ἀνεμπόδιστον, εἰς τὸ εἰπεῖν*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

892. *πικρόν τε τοῖσι τὴν τύχην κεκτημένοις*: *εὐτυχίαν, τὸ ἐκ τοῦ αὐτομάτου προσπῖπτον. ἔστι δέ, φησί, λυπηρὸν τοῖς εὐτυχοῦσι δεσπόταις τὸ δοῦναι φάρμακον τῆς σωτηρίας τῇ πόλει*. A.C.M. *ἢ οὕτως· τοῖς λαχοῦσι τὸ κεκλωσμένον ἐκ τῆς τύχης πικρὸν φανήσεται, εἰ ἐξείπω τὸ παρασχεῖν τὸν Κρέοντα τῇ πόλει φάρμακον τὸν Μενοικέα*. A. rec.

τὴν τύχην: *τὸ σύμβαμα, τὸν κλῆρον*. Gr. Florr. *τὴν δυστυχίαν ταύτην*. Gu.

893. *φάρμακον*: *θεραπείαν*. Gu.

894. *εἷς γὰρ ὤν*: *κἀγὼ αὐτός, φησίν, εἷς ὢν μετὰ πολλῶν τῶν Θηβαίων ἀπόλλυμαι· τοῦτο γὰρ εἵμαρτο*. A.B.M.

5. *ἐπεὶ δὲ—ὅμηρος* C.M. *κρεῖσσον δέ φησι τὸ ἐπικρατέστερον ὅμηρος* B. *ἐπεὶ δ' ἐπικρατέστερόν ἐστι τὸ κακὸν τοῦ ἀγαθοῦ. καὶ ὅμηρος* I. In Gr. est solum *ἐπικρατέστερον*, in Gu. *καὶ ὅμηρος, αἰεὶ τὰ χερείονα νικᾷ*.

ib. *Ὅμηρος*] Il. 1, 756.

6. *ἐπεὶ* om. M.

ib. *χερείονα*] *χερειόνων* M.

7. *οὔτ'* servatum ex verbis poetae v. 891.

10. *εἷς γὰρ—εἵμαρται*] Eadem fere in A.B.M. ad v. 894.

13. *ἀντὶ τοῦ—λυπήσω γάρ σε*] Haec etiam in B.

18. *φησὶ* et *εὐτυχοῦσι* om. A.M.

19. *τὸ δοῦναι*] *τοῦ δοῦναι* C.

ib. *τῆς* om. C.

ib. *τῇ πόλει* om. M., sed habet gl. interl. *τῇ πόλει παρασχεῖν*.

895. τὸ μέλλον, εἰ χρὴ, πείσομαι: Αἰσχύλος "σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον." Gu. τί γὰρ πάθω: τίνα γὰρ διάθεσιν ἵνα σχῶ, ἢ τί γὰρ ἵνα ποιήσω; Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq.

896. ἐπίσχες: ἐπίσχες σεαυτὸν, ὦ πρέσβυ, καὶ καρτέρησον. I. ἤγουν καρτέρησον σαυτόν. ἐπίρρημα τοπικόν. ἤγουν ἔνθα ἵστασαι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἐν αὐτῷ τῷ τόπῳ. Gu. μὴ 'πιλαμβάνου: μὴ κρατήσῃς με. M. μή μου ἅπτου. I. ἅπτου, κράτει. Gu. μὴ λαμβάνου μου, ἤγουν μὴ κάτεχέ με. Gr. Florr. iidem.

897. μεῖνον: περίμεινον. M. Gr. I. τί φεύγεις: διὰ τί σπουδάζεις ἀπέρχεσθαι; Cant. Gr. ἡ τύχη σ', ἀλλ' οὐκ ἐγώ: ἡ ἀγαθὴ τύχη σε φεύγει, οὐκ ἐγώ. I. ἡ εὐτυχία φεύγει σε, ἀλλ' οὐκ ἐγώ. μέλλει γὰρ μετ' ὀλίγον ὁ παῖς αὐτοῦ ἀναιρεῖν ἑαυτόν. A.B.C.M. ἡ εὐτυχία φεύγει σε, ὡς δυστυχοῦντα, οὐκ ἐγώ· ἢ, ἡ δυστυχία φεύγει σε, καὶ οὐκ ἐθέλει ἐμφανισθῆναί σοι, οὐκ ἐῶσα ἐμὲ εἰπεῖν σοι φανερῶς αὐτὴν, ἵνα μή σε λυπήσω. Bar. Gu.

899. βούλει σὺ μέντοι, κοὐχὶ βουλήσῃ τάχα: ταχέως. τουτέστιν οὐκ ἀρκέσει σοι ἡ ἀκοὴ, ἀλλ' εὐθέως μεταμεληθήσῃ ἐπὶ τῇ ἀκοῇ. Ἄλλως. θέλεις, φησὶ, νῦν ἀκοῦσαι, ταχέως δὲ βουλήσῃ μὴ ἀκηκοέναι τὸ μέλλον σοι γενήσεσθαι. Ἄλλως. νῦν μὲν ἀκοῦσαι ἐπείγῃ, ἐπειδὰν δὲ ἀκούσῃς ἅπαξ, οὐ μὴ θελήσεις πάλιν ἀκηκοέναι. A.C.M.T. τάχα: ἴσως. Gr. ταχέως. Gu.

900. καὶ πῶς πατρῴαν: ἡ πρὸς τὸ πῶς στίξας τὸ λοιπὸν κατ' ἐρώτησιν ἔκφερε, ἢ τὸ πᾶν κατ' ἀπόφασιν. Bar. Gu. καὶ πῶς: οὐ βούλομαι. Fl. 59. σῶσαι: κινδύνων ῥύσασθαι. Cant. Gr.

1. Αἰσχύλος] Sept. 265.
5. ἤγουν ἔνθα ἵστασαι om. Gr.
8. κάτεχε Gr. κατάσχε Florr.
9. περίμεινον] τί φεύγεις addit I.
12. μέλλει γὰρ—ἀναιρεῖν ἑαυτόν] Haec etiam in T. Gu. Fl. 33. qui ἀναιρήσειν.
16. βούλει σὺ—πάλιν ἀκηκοέναι] τάχα: ταχέως. τουτέστιν οὐκ ἀρκέσει σοι ἡ ἀκοὴ, ἀλλ'—τῇ ἀκοῇ. νῦν ἀκοῦσαι θέλεις φησὶν νῦν ἀκοῦσαι, ταχέως δὲ φησὶν βουλήσῃ—σοι γίνεσθαι. ἄλλως. νῦν μὲν οὖν ἀκοῦσαι—θελήσεις ἀκηκοέναι A. θέλεις φησὶ νῦν...αι ταχέως βουλήσῃ μὴ ἀκηκοῦναι (sic) τὸ μέλλον σοι γίνεσθει. τουτέστιν οὐκ ἀρέσει σοι ἡ ἀκοὴ, ἀλλ'—ἀκοῇ. νῦν ἀκοῦσαι—οὐ μὴ θελήσῃ πάλιν ἀκηκοῦναι (sic) C.
ib. ταχέως—μεταμεληθήσῃ] Haec etiam in B.
17. ἀρκέσει] ἀρέσει C.
18. δὲ addidi ex M. δὲ φησὶν A.
19. γενήσεσθαι] γενέσθαι A.
ib. μὲν] μὲν οὖν A.M.
23. ἐκφέρε om. Bar.

901. δῆτα: ἠθικὸν ἐπίρρημα ἀντὶ τοῦ ἀληθῶς. C.M. σπουδὴν ἔχεις: σπουδάζεις ἀκοῦσαι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

902. εἰς γὰρ τί μᾶλλον δεῖ προθυμίαν ἔχειν: ἀντὶ τοῦ μᾶλλον δεῖ πλείονα σπουδὴν ἔχειν ἢ περὶ τὸ σώζειν ἕκαστον τὴν πατρίδα. κακὸς γάρ, φησίν, οἰωνὸς ἡμῖν καὶ σύμβολον οὐκ ἀγαθὸν τὸ μὴ ὑπὲρ πατρίδος ἀμύνειν. Ἄλλως. ἢ περὶ τὸ σώζειν πατρίδα. Ὅμηρος "εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης." A.M.T. ἀντὶ τοῦ εἰς ποῖον ἄλλο, οἷον, περὶ οὐδὲν ἄλλο δεῖ σπουδὴν ἔχειν πλείονα ἢ περὶ τὸ σώζειν ἕκαστον τὴν πατρίδα. καὶ Ὅμηρος "εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης." B.C.I. εἰς γὰρ τί μ' ἄλλο δεῖ: ἀντὶ τοῦ εἰς ποῖον γὰρ ἄλλο. M. ἢ ὑπὲρ τοῦ πατρίδα σῶσαι· ἢ εἰς τὸ ἀκοῦσαι τὴν σωτηρίαν τῆς πόλεως. Gu.

903. κλύοις ἂν ἤδη: ἄκουε δὴ νῦν. l. ἀντὶ τοῦ ἄκουε. Gr.

905. ἐπήγαγεν: ἀντὶ τοῦ ἤγαγεν. ἐπάγειν λέγεται, ὅταν ἕτερόν τις λόγον εἰπὼν εἶτα ἐπ' ἐκείνῳ ἕτερον ἐπάγῃ, καὶ ὅταν ἄγῃ τίς τι κατά τινος. καὶ ἐπάγεται λόγος ἕτερος ἐφ' ἑτέρῳ δηλονότι. ἐπάγεται δέ τις δοῦλον ἐπὶ ἐνεργείας, ἢ ἕτερόν τι, ἀντὶ τοῦ μεθ' ἑαυτοῦ ἄγει. Gr. Leid. Fl. 5. 6. 9. 21. 56. 59. 76.

906. ἄπεστι: τὸ ἀπεῖναι καὶ τὸ ἀφίστασθαι καὶ ἐπὶ τόπου λέγεται καὶ ἐπὶ πράξεως, καὶ ἔτι ἐπὶ πράγματος. δηλοῦσι δὲ τὸ κεχωρίσθαι μόνον, οὐκ ἔτι δὲ καὶ διάστημα μακρὸν ἢ βραχύ. Bar. Gr. Leid. Mosq. Florr. iidem. πλησίον δὲ σοῦ: ἐστὶ δηλονότι· οὐ γὰρ τὸ ἄπεστιν ἀπὸ κοινοῦ ἁρμόζει. Gr. Florr. iidem. Mosq.

907. ἀπελθέτω: χωρισθήτω τῶν ἐμῶν μαντευμάτων. Gr. Florr. iidem. θεσφάτων: θέσφατα θεσπίσματα, χρησμοὶ τὸ αὐτό, ἐλέγοντο δὲ ἐπὶ θεῶν· μαντεῖαι δὲ καὶ μαντεύματα ἐπὶ μάντεων ἀνθρώπων. Cant. Gr. ἑκάς: πόρρωθεν. M. μακράν. Gr.

3. εἰς γὰρ τί μᾶλλον—ἔχειν lemma in M., εἰς γὰρ τί μ' ἄλλο in A. qui pergit ἀντὶ τοῦ εἰς οὐδὲν ἄλλο δεῖ μᾶλλον πλείονα σπουδὴν ἔχειν ἢ περισώζειν—ὑπὲρ πατρίδος ἀμύνειν. ὅμηρος, εἷς—ἀμύνεσθαι περὶ πάτρης:—

6. ὑπὲρ πατρίδος] ὑπὲρ τῆς πατρίδος T.

ib. Ὅμηρος] Il. 12, 243.

7. ἀμύνεσθαι περὶ πάτρης om. M.

ib. ἀντὶ τοῦ εἰς—ἔχειν πλείονα om. B.I. Lemma in B. est προθυμίαν ἔχειν, nullum in C.

9. ἕκαστον τὴν om. B.

ib. καὶ Ὅμηρος] καὶ om. B.I.

21. κεχωρίσθαι μόνον] κεχωρισμένον Leid.

ib. διάστημα Leid. τὸ διάστημα ὅτι ceteri.

908. σιγήσεται: ἐνόμιζε γὰρ τὸν μάντιν ἀπόρρητόν τι λέγειν. A.M. τί σωτηριῶδες εἰπεῖν. A. rec.

909. βούλει παρόντος: ἔδει, φησὶ, μὴ ἀντικρὺ τοῦ Μενοικέως λέγειν τὰ περὶ τῆς σφαγῆς αὐτοῦ, ἀλλ' ὥσπερ καὶ ἑτέρωθι ποιεῖ "δεῦρ' ἔλθ', ἐς οὖς σοι." λέγοι δ' ἄν τις ὅτι γεννικόν ἐστι τὸ πρόσωπον καὶ φιλόδοξον, ὡς καὶ τὴν ψυχὴν προέσθαι ὑπὲρ εὐκλείας. B.C.M.I.

910. κλύων γὰρ ἂν τέρποιτο: ἐὰν γὰρ ἀκούσῃ τὴν σωτηρίαν τῆς πόλεως, τερφθῆναι ἔχει. A.M.

3. βούλει παρόντος lemma est in I. θεσφάτων ἐμῶν ὁδῶν (corrige ὁδόν) in M., ἄκουε δὴ νῦν θεσφάτων in B., nullum in C. Post lemma in B.M.I. sequitur τὴν διήγησιν, quae est interpretatio vocabuli ὁδόν, quam versui 911. adscripsi. Est hoc scholion etiam in Fl. 33, verbis σφάξαι Μενοικέα adscriptum v. 913.

4. τὰ περὶ A.B.C. ἤτοι τὰ περὶ I., quae verba om. M.

ib. αὐτοῦ om. A.

ib. ἑτέρωθι] ἑτέρωθεν A.

5. δεῦρ' ἔλθ', ἐς (εἰς libri) οὖς σοι] Euripidea sunt in Ione 1503. δεῦρ' ἔλθ'· ἐς οὖς γὰρ τοὺς λόγους εἰπεῖν θέλω. quidni legi potuit olim: ἐς οὖς σοι τ. λ. ε. θέλω; Dawes. Miscell. Crit. p. 106. loca tragicorum diligenter collegit, in quibus illud εἰς οὖς legeretur, uno tantum omisso, quem servavit Plutarch. de Curios. p. 518.

Οἴμοι· τὸ κακὸν τῆς εὐτυχίας
ὡς μᾶλλον ἐς οὖς φέρεται θνητῶν.

mihi quidem Sophoclis videntur anapaesti, cujus in Aj. v. 149. λόγους ψιθυροὺς πλάττων | εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεὺς, καὶ σφόδρα πείθει· nec mirum; *pronis* enim *auribus accipimus* λαθρηδὰ καὶ πρὸς τὸ οὖς λεγόμενα, Lucian. de Calum. non tem. cred. vol. 2. p. 151, 152. in quibus corrigendis conspirant Solanus et Gesnerus. Usitata forma loquendi Lucian. Necyom. § 21, p. 485. ἠρέμα προσκύψας πρὸς τὸ οὖς φησίν. *Artapanus*, προσκύψαντα πρὸς τὸ οὖς εἰπεῖν, apud Clem. Alex. Strom. 1. p. 413, 32. Euseb. Προπ. 9. p. 435 A. conf. Athen. 14. p. 181 F. 188 F. Heliodor. 10. p. 489. ἔφη ἡ Χαρίκλεια λάθρα, καὶ πρὸς τὸ οὖς τῇ Περσίνῃ προσκύψασα· sic corrigendum pro παρὰ τὸ οὖς—προκύψ. vid. 3. p. 143. 7. p. 326. 336. 355. quibus in locis plerisque verbo προσκύψαι nocet omissa litera. Plato Euthyd. p. 275 E. Dionysodorus προσκύψας μοι σμικρὸν πρὸς τὸ οὖς p. 276 D. πάλιν σμικρὸν πρός με ψιθυρίσας· haec admota Theophrasto Char. c. 2. dubium non relinquent quin corrigi debeat πρὸς τὸ οὖς προσκύπτων (vulgatur προσπίπτων) ψιθυρίζειν· adulatoris etiam erat, *leniter inclinare sese*, προσκύπτειν. Philo Jud. p. 998 C. ἐπικλίνας πρὸς οὖς. Rarius est illud Iamblichi de V. P. § 61. sive Porphyrii: εἰς τὸ οὖς προσψιθυρίσας τῷ ταύρῳ. Pictoris instar Plato Πολιτ. 5. initio, Polemarchus, inquit, ἐκτείνας τὴν χεῖρα—ἐκεῖνόν τε προσηγάγετο, καὶ, προτείνας ἑαυτὸν, ἔλεγεν ἄττα προσκεκυφώς. VALCK.

ib. γεννικόν Valck. pro γενικόν.

6. ὑπὲρ] ἐπὶ A., sed ὑπὸ infra ubi hoc scholion repetitur cum lemmate θεσφάτων ἐμῶν ὁδόν.

911.—914. *ἄκουε δή νυν*: ἄκουε δὴ τῶν ἐμῶν μαντευμάτων τὴν μέθοδον, ἅτινα ποιοῦντες σώσαιτ' ἂν τὴν πόλιν τῶν Θηβαίων. χρεία ἐστὶν ὑπὲρ τῆς πατρίδος σφάξαι τὸν σὸν παῖδα τοῦτον τὸν Μενοικέα, ἐπειδὴ τὴν εὐτυχίαν τῆς πόλεως αὐτὸς ἀναζητεῖς. I.

911. *ὁδόν*: τὴν διήγησιν. A.B.M.I.

913. *σφάξαι Μενοικέα*: ὁ Μενοικεὺς Κρέοντος ἦν υἱὸς, βασιλέως Θηβῶν. πολεμουμένης οὖν τῆς ἰδίας πατρίδος τῶν Θηβῶν ὑπὸ τῶν ἑπτὰ στρατηγῶν καὶ τοῦ στρατοῦ Πολυνείκους, ἐχρησμοδότησε Τειρεσίας μάντις ὢν παραυτὰ παύσεσθαι τὸν πόλεμον, καὶ ἔσεσθαι αὐτοῖς νίκην, εἰ τοῦ βασιλικοῦ γένους τῶν αὐτοχθόνων τῶν ἀναδοθέντων ἐκ τῶν ὀδόντων τοῦ δράκοντός τις ἑαυτὸν δῷ πρὸς ἀναίρεσιν. μαθὼν τοῦτο ὁ Μενοικεὺς, καὶ θέλων ἐλευθερῶσαι τῆς πολιορκίας τὴν πόλιν, δέδωκεν αὐτὸν εἰς ἀναίρεσιν, δίχα τοῦ πατρὸς αὐτοῦ Κρέοντος, καὶ στὰς ἐπ' ἄκρων τῶν τειχέων ἔσφαξεν ἑαυτὸν εἰς σκοτεινὸν φωλεὸν τοῦ δράκοντος, ἔνθ' ὁ μάντις ἐξηγήσατο. Leid. *σφάξαι*: ὁ ἐνεστὼς σφάζω, ὃ παρὰ τοῖς Ἀττικοῖς σφάττω λέγεται, ὡς τὸ βράζω βράττω καὶ τὸ ἁρμόζω ἁρμόττω. Cant. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

914. *τὴν τύχην*: τὴν εὐτυχίαν τῆς πόλεως ἀναζητεῖς. Gr.

915. *τί φῄς*: τί λέγεις; τίς ἐστὶν ὁ λόγος οὗτος, ὃν εἶπας, γέρον; I. γράφεται, τί φῄς; ἐμὸν παῖδ' ἕνεκα γῆς σφάξαι θέλεις; A B.I.

916. *ἅπερ πέφυκε*: ἐστὶ τῷ πράγματι, ἤγουν ἄλλο τι οὐκ ἔστιν εἰς σωτηρίαν τῆς πόλεως. ὅπερ οὖν ἔστι, τοῦτο καὶ ἀνάγκη σε δρᾶν. Gr. Cant. Mosq. ἤγουν ἅπερ φυσικῶς ἐστιν ὑπὲρ πατρίδος ποιεῖν. Gu.

917. *ὦ πολλὰ λέξας ἐν βραχεῖ*: τῷ βραχεῖ ἐναντίον τὸ μακρὸν, τῷ δὲ ὀλίγῳ τὸ πολύ. Gr. Cant. ἐν συντόμῳ. M.

918. *σοί γε*: σοὶ μόνῳ κακά· τῇ γὰρ σῇ πατρίδι μεγάλα καὶ σωτήρια. A.C.M.

1. τῶν—μέθοδον etiam Gr.
5. τὴν om. A.
17. τὸ ἁρμόζω] τὸ om. Gr.
18. τὴν εὐτυχίαν] Gl. τὴν δυστυχίαν in M.
19. τίς—εἶπας etiam Gr.
20. γράφεται] γρ. B. γράψον A. γράφεται καὶ οὕτως I.
ib. ἕνεκα γῆς] ἐναγῆς A.
22. ἐστι τῷ πράγματι om Mosq.
23. ἔστι] ἔνεστι Mosq.
28. σοὶ μόνῳ κακά etiam B.I.
ib. τῇ γὰρ σῇ M. τῇ δὲ σῇ A. τῇ γὰρ, omisso σῇ, C.
ib. μεγάλα καὶ σωτήρια] καὶ om. A. μεγάλη σωτηρία M.

919. *οὐκ ἔκλυον*: οὐ κλύω, οὐκ ἀκούω. Gr. ὀφείλων εἰπεῖν ὅτι ὡς θέλει πραττέτω ἡ πόλις, τὰ κατ' αὐτὴν ὡς θέλει οἰκονομείτω, ὁ δὲ εὐφημοτέρῳ χρησάμενος λόγῳ, ὡς ἐν εὐχῆς σχήματι, χαιρέτω, φησὶν, ἤγουν ἐν χαρᾷ ἔστω. σύνηθες δὲ τοῦτο καὶ τοῖς κοινοῖς, τὸ παραιτεῖσθαι ἕτερον καὶ χαίρειν λέγειν ἐᾶν, εἰ δι' αὐτὸ βλάβη εἰς ἕτερον ἀνακύπτει μείζων. Gr. Cant. Mosq. *χαιρέτω*: φθειρέσθω, οἰμωζέτω. M.I. ἐρρέτω. C.

920. *οὐκέτ' αὐτός*: ἀντὶ τοῦ, οὐκέτι μένει ὁ αὐτός. τὸ αὐτὸς χωρὶς μὲν τοῦ ἄρθρου ἀναφορὰν δηλοῖ μόνον, μετὰ δὲ τοῦ ἄρθρου ἐνίοτε μὲν ἀναφορὰν, οἷον ὁ δεῖνα ἐποίησε τόδε, ὁ αὐτὸς ἐποίησε καὶ τόδε, ἐνίοτε δὲ ταυτότητα, ἤγουν ὁμοίωσιν ἀπαράλλακτον, οἷον ὁ δεῖνα ὁ αὐτός ἐστι τῷ δεῖνι. καὶ ἀνὴρ ὅδ' οὐκέτι ὁ αὐτὸς μένει, ἤγουν ἐνήλλακται τὴν γνώμην, καὶ οὐχ ὅπερ ἦν ἤδη πρὸ τούτου, αὐτὸ δὴ τοῦτο ἀπαραλλάκτως φυλάττει. ἐνταῦθα δὲ λείπει τὸ ἄρθρον ποιητικῶς. Gr. Cant.

ἐκνεύει πάλιν: ἤτοι ὁ υἱός σου ἀναστρέφεται. C. ἀναχωρεῖ, ἀναστρέφεται εἰς τοὐπίσω. M. ὑποστρέφει εἰς τοὐπίσω, ἀναχωρεῖ, ἔξαρνος γίνεται. B.C.M.I. μετατρέπεται. Bar. ἐκφέρεται τῆς πρόσθεν γνώμης. Bar. Gu. ἐκκλίνει τοῦ σκοποῦ αὐτοῦ. Gr. *πάλιν*: εἰς τοὐπίσω. Gu.

921. *χαίρων ἴθι*: χαίρων ἄπιθι· οὐ γὰρ χρεία μοί ἐστι τῶν σῶν μαντευμάτων. I. οὐ γὰρ σῶν με δεῖ μαντευμάτων: οὐ γὰρ χρή μοι τῶν σῶν μαντευμάτων. M. αὕτη ἡ σύνταξις ὡς τὸ "χρεὼ βουλῆς ἐμὲ καὶ σέ." ἤγουν οὐ δεῖ ἀπὸ σοῦ με μαντεύσασθαι. Gu. *μαντευμάτων*: ἀκοῦσαι. Fl. 59.

922. *ἀπόλωλεν ἡ ἀλήθεια*: κατ' ἐρώτησιν τοῦτό φησιν ὁ Τειρεσίας. B.C.M.I. ἐπεὶ σὺ δυστυχεῖς, ἀπώλετο ἡ ἀλήθεια. C.M.

1. οὐ—εἰπεῖν om. Mosq.
5. εἰ—μείζων om. Mosq.
6. ἀνακύπτει Gr. ἀνακύπτοι Cant. Mosq.
ib. μείζων Matth. pro μεῖζον.
ib. φθειρέσθω, οἰμωζέτω] οἰμωζέτω, φθειρέτω M.
8. ἀντὶ—ὁ αὐτός om. Cant.
16. σου ἀναστρέφεται] σου οὐκ ἀναστρέφεται C.
17. ὑποστρέφει] ἀποστρέφει B. ὑποστρέφεται M., om. C.
26. Lemma om. C., in B. haec ad δυστυχεῖς adscripta.
ib. κατ' — Τειρεσίας] τοῦτο κατ' ἐρώτησιν ὁ τειρεσίας φησί I.
ib. τοῦτό φησιν ὁ] φησὶ τοῦτο C.
27. δυστυχεῖς] δυστυχής M.
ib. ἀπώλετο] ἀπόλωλεν C.

οὕτω δὲ ἡ γραφὴ διὰ τὸ μέτρον. B.M.T. ἐν ἤθει τοῦτο λέγεται. Gr. Florr.

923. ὦ πρός σε γονάτων: λείπει τὸ ἱκετεύω σε. ὦ Τειρεσία, προσπίπτω σοι κατὰ τῶν γονάτων καὶ τῆς τιμίας τριχός. A.B.M.T.I. γονάτων: ὦ Τειρεσία, ἱκετεύω σε πρὸς τῶν σῶν γονάτων καὶ τῆς σεβασμίου σου τριχός. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76. τὸ πρός πρὸς τὸ γονάτων σύναπτε, εἰ καὶ διὰ μέσου τὸ σέ εἴρηται, ἔμφασιν ἔχον τοῦ ἱκετεύων. Gu. γερασμίου: ἐντίμου. M.

924. τί προσπίτνεις με: τί προσπίπτων αἰτεῖς με; δυσκόλως φυλαχθῆναι, ἤγουν σιωπηθῆναι, δυνάμενα, αἰτεῖς, ζητεῖς. Gr. Cant. δυσφύλακτα: ἃ μὴ δύναμαι φυλάξαι καὶ μὴ εἰπεῖν. Gu. ἀντὶ τοῦ δυστήρητα, ἅπερ οὐ δύναμαι παραφυλάξασθαι καὶ μὴ εἰπεῖν. B. M.T. Fl. 33. ἢ ἀπαραίτητα, ἀσιώπητα. Fl. 33.

925. σίγα: ὁ μὲν ἐζήτησε, τί αἰτεῖς; ὁ δὲ οὐ λέγει, τόδε σε αἰτῶ, ἀλλὰ σίγα, ἀντὶ τοῦ σιγᾶν σε αἰτῶ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. μὴ τῆς σωτηρίας ἀκούσασα καὶ ἄκοντος ἀφαιρήσεταί μου τὸν παῖδα καὶ πρὸς σφαγὰς ἑλκύσῃ. Gu.

926. ἀδικεῖν κελεύεις μ': τὴν πόλιν. B. ἄδικα ποιεῖν με προτρέπῃ· οὐκ ἔστι δυνατὸν ἵνα σιγήσωμεν. Gr. Cant. προτρέπων με δηλονότι μὴ λέγειν τὸ δίκαιον. I.

927. κατακτενεῖς: ἀντὶ τοῦ ποιήσεις ἀποκτανθῆναι. Bar. Gr.

928. ἄλλοις μελήσει ταῦτ': ὁ Τειρεσίας πρὸς τὸ ἀποκτενεῖς ἀπαντᾷ, καὶ φησὶν, ἄλλοις ἔσται τοῦτο διὰ φροντίδος, τὸ φονευθῆναι δηλονότι αὐτὸν, ὑπ' ἐμοῦ δὲ εἰρήσεται. Gr. Leid.

---

1. οὕτω δὲ ἡ γραφὴ] Notat crasin ἀλήθεια.

3. λείπει τὸ ἱκετεύω σε om. A.

ib. σε om. M.

4. γονάτων] σου addunt A.T., ἢ ἕνεκα addit I.

ib. τῆς] σῆς A.

ib. τριχός] ἕνεκα σιγᾶν σε αἰτῶ add. I.

5. τῆς σεβασμίου σου τριχός] Sic Gu. et Florr. King. e cod. dederat σεβασμένου σου οστρυχος. e quo Valck. fecit σεσεβασμένου σου βοστρύχου. In T. superiora subjiciuntur post scholion ad v. 922. Τειρεσίας φησί. οὕτως δὲ ἡ γραφὴ διὰ τὸ μέτρον. ὦ πρός σε γονάτων ὦ Τειρ. προσπ. σοι κατὰ τῶν γον. σου καὶ τῆς τιμ. τρ. MATTH.

11. ἀντὶ τοῦ om. T. Fl. 33.

24. δηλονότι et supra ἀποκτενεῖς pro ἀποκτενεῖν suppeditavit Gu. Operae pretium non erat addere paraphrasin I. ταῦτ' ἄλλοις ἔσται διὰ φροντίδος, τὸ κτανεῖν δηλονότι, ὑπ' ἐμοῦ δὲ λεχθήσεται. MATTH.

929. *ἐκ τοῦ δ' ἐμοί*: ἐκ τίνος, ἐκ ποίας προφάσεως. M. ἀπὸ ποίας αἰτίας ἦλθε τόδε τὸ κακὸν ἐμοὶ καὶ τῷ ἐμῷ τέκνῳ; Gr. I.

930.—937. *ὀρθῶς μ' ἐρωτᾷς*: ἁρμοδίως μ' ἐρωτᾷς καὶ εἰς ἐξέτασιν ἔρχῃ τῶν ἐμῶν λόγων. πρέπει τόνδε ἐν τῷ φωλεῷ, ὅπου ὁ γηγενὴς δράκων ἐγένετο φύλαξ τῶν ναμάτων τῆς Δίρκης, σφαγέντα τὸ ἀπὸ τῆς σφαγῆς αἷμα δοῦναι θυσίας τῇ γῇ, διὰ τὰ μηνίματα τὰ παλαιὰ τοῦ Ἄρεως τὰ κατὰ τοῦ Κάδμου, ὃς Ἄρης ἐκδικεῖ τὸν φόνον τοῦ ἐκ γῆς γεννηθέντος δράκοντος, ὃν ἐφόνευσεν αὐτὸς ὁ Κάδμος. καὶ ταῦτα ποιοῦντες βοηθὸν ἕξετε τὸν Ἄρην. I. *ὀρθῶς*: εὐλόγως. B. *εἰς ἀγῶν'*: εἰς ἐξέτασιν καὶ κρίσιν. B.M.

931. *θαλάμαις*: θαλάμαι, καταδύσεις, θῆκαι, ἀγγεῖα κεράμεια, εἰς ἃ ἐμβάλλεται ἅτινα ἀπόρρητα καὶ εἰς γῆν τίθεται. A.B.C.M. Fl. 33. καὶ ἐν θήκαις. B. *ἐν τῷ φωλεῷ*. Gr. *ὁ γηγενής*: ὁ τοκεύς. M.

933. *φόνιον αἷμα*: τὸ ἀπὸ τῆς σφαγῆς. Gr. τοῦ φόνου αἷμα. Fl. 33. *χοάς*: τὸ τοῦ φόνου αἷμα. B.M. χοὰς δὲ ἐκχύσεις κυρίως τὰς ἐπιχεομένας τοῖς νεκροῖς. B. ἐκχύσεις τὰς ἐπιχεομένας τοῖς νεκροῖς. M.T. Fl. 33.

934. *Κάδμου παλαιῶν*: λείπει ἡ κατά, κατὰ Κάδμου. ὁ δὲ νοῦς, διὰ τὴν παλαιὰν μῆνιν τοῦ Ἄρεως τὴν κατὰ Κάδμου· ἐπ' ἐκδικίᾳ γὰρ τοῦ δράκοντος ἔτι καὶ νῦν μνησικακεῖ τοῖς περιλειφθεῖσι τῶν σπαρτῶν ὁ Ἄρης, ἐπεὶ μὴ ἤμυναν τῷ δράκοντι γεγονότες ἐξ αὐτοῦ, οὔτε τοῖς ἀδελφοῖς, ἔμειναν δὲ τοῦ Κάδμου φίλοι, καὶ σὺν αὐτῷ ἔκτισαν τὴν πόλιν· ὁ δὲ Ἐχίων καὶ θυγατέρα Κάδμου ἔγημεν. ἀλλαχοῦ δέ φησι ταῦτα ὑπὸ Διονύσου πεπονθέναι τὴν πόλιν. A.B.C.M.

11. δεῖ τόνδε θαλάμαις (θαλάμοις C.) lemma C.M., deest in B.
ib. θαλάμαι om. C.M.
ib. κεράμεια Valck. κεραμεῖα C. κεράμια A.B.M.
12. ἐμβάλλεται] ἐμβάλεται M. ἐμβάλειται (sic) C.
ib. ἅτινα C. τινα B.M. Fl. 33.
16. ἐκχύσεις τὰς ἐπιχεομένας] ἐκχύσεις αἱ ἐπιχεόμεναι M.
18. λείπει—ὁ δὲ νοῦς om. C.
ib. κατὰ Κάδμου post ὁ δὲ νοῦς habet I.
19. Ἄρεως] ἄρεος C.
ib. τὴν κατὰ κάδμου B.M. τὴν κατὰ τοῦ κάδμου T. τὴν τοῦ κάδμου C. καὶ τοῦ κάδμου I. In Gu. haec διὰ τὴν παλαιὰν τοῦ Ἄρεως μῆνιν τὴν κατὰ τοῦ Κάδμου supra v. Κάδμου scripta sunt.
20. ἔτι] ἐστιν C.
21. ἤμυναν] ἤμυνε C.
ib. γεγονότες] γεγονότα M.
22. οὔτε] Immo οὐδέ. οὔτως A.
23. θυγατέρα] τὴν θυγατέρα C.
24. δέ φησι ταῦτα ὑπὸ (φησὶν ὑπὸ M.) Διονύσου πεπονθέναι τὴν πόλιν] ἀλλαχοῦ δὲ τὰ (δὲ Σφίγγα Valck. collato scholio v. 1031.) ὑπὸ διονύσου πεμφθῆναι C.

T.I. ζητοῦσι δέ τινες, εἰ μὲν ὠργίσθη ἡ γῆ καὶ ὁ Ἄρης διὰ τὸν φόνον τοῦ δράκοντος, διὰ τί πάλιν κελεύει ὁ μάντις ἀπ' ἐκείνου τοῦ γένους σφαγῆναι. πρὸς τοῦτο ῥητέον ὅτι ἡ γῆ ἀνέδωκε τοὺς σπαρτοὺς πρὸς τὸ ἐκδικῆσαι τὸν φόνον τοῦ δράκοντος, οὗτοι δὲ οὐκ ἐξεδίκησαν, ἀλλὰ τοῖς Θηβαίοις ἐκοινώνησαν· καὶ γὰρ Ἐχίων, εἷς ὢν τῶν σπαρτῶν, ἔγημεν Ἀγαυὴν τὴν Κάδμου. διὰ τοῦτο οὖν κελεύει ὁ μάντις ἐκ τοῦ γένους σφαγῆναί τινα, ἵνα τιμωρίαν παράσχωσι τῆς προδοσίας. A.M.T. διὰ τί, φασὶν, ἐμήνιεν ὁ Ἄρης τοῖς σπαρτοῖς; ὅτι οὐκ ἐβοήθησαν αὐτῷ τῷ δράκοντι μετὰ ταῦτα, οὐδὲ ἐτιμώρησαν τοῖς ἀδελφοῖς, ἀλλ' ἔμειναν τοῦ Κάδμου φίλοι. αὐτοὶ γοῦν καὶ συνέκτισαν αὐτῷ τὴν πόλιν. A.M.T. Fl. 33. ὁ μὲν Ἄρης, ὡς λέγουσι, φύλαξ ἦν τοῦ δράκοντος, καὶ ἕνεκεν τούτου ὁ Ἄρης ὠργίσθη. C.

Κάδμου παλαιῶν Ἄρεος: ἕνεκα τῶν μνησικακιῶν τοῦ Ἄρεος τῶν παλαιῶν τῶν ἐκ τοῦ Κάδμου, ἤγουν τῶν ἀπὸ τῶν χρόνων τοῦ Κάδμου, ὃς, ἤγουν ὁ Ἄρης, ἐκδικεῖν ζητεῖ τῷ γηγενεῖ δράκοντι τὸν φόνον ἐν τοῖς σπαρτοῖς δηλονότι, ἐπεὶ ἀπὸ τοῦ δράκοντος γεγονότες οὐκ ἤμυναν αὐτῷ, ἀλλ' ἔμειναν φίλοι τοῦ Κάδμου, καὶ σὺν αὐτῷ ἔκτισαν τὴν πόλιν. Gr. Florr. τὸ Κάδμου παλαιῶν Ἄρεος ἐκ μηνιμάτων οὕτω νόει· ἐκ τῶν παλαιῶν μηνιμάτων τοῦ Ἄρεος τοῦ Κάδμου, τουτέστιν, ἃ πρὸς τὸν Κάδμον εἶχεν ὁ Ἄρης φονεύσαντα τὸν υἱὸν αὐτοῦ δράκοντα. Bar. Gu. παλαιῶν: ἤγουν πρὸ μακροῦ ἀρξαμένων. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

p. 253. l. 24. ταῦτα ὑπὸ] τὰ ὑπὸ A. τὰ ὑπὲρ T.

1. ζητοῦσι—] In marg. A.M. απ et infra ad ὅτι ἡ γῆ etc. λυ, i. e. ἀπορία et λύσις.

ib. εἰ μὲν] εἴπερ A.

3. Post σφαγῆναι in M. finis scholii significatur (:—), omissis proximis verbis πρὸς τοῦτο ῥητέον, quibus non opus erat, quum λύσις in margine adscriptum sit.

4. πρὸς τὸ] ἐπὶ τῷ A.

5. εἷς ὢν τῶν σπαρτῶν post κάδμου A.

6. κάδμου M. θυγατέρα κάδμου A.T.

7. τινὰ] ἕνα A.

ib. παράσχωσι om. A.

8. διὰ τί—] Hoc scholion in codicibus adscriptum est verbis γηγενεῖ δράκοντι v. 935.

ib. διὰ τί] διὰ τοῦτο A. Fl. Praecedit in A.M. ἐκδικεῖ τῷ δράκοντι τὸν φόνον. ἄλλως.

ib. φασὶν scripsi pro φησίν.

9. ὅτι οὐκ Fl. ὅτι οὐδὲ M.T. ὅτι οὐδ' A.

ib. οὐδὲ A.M.T. οἱ δὲ Fl.

10. γοῦν om. M.

12. ὠργίσθη Valck. pro ὀργιάσθη.

20. μηνιμάτων] καὶ ὀργῶν add. Bar.

21. ὁ Ἄρης om. Gu.

935. γηγενεῖ: τῷ ἐκ τῆς γῆς γεννηθέντι, ἤγουν τῷ ἰσχυρῷ. Gu. τιμωρεῖ: ἐκδικεῖ τῷ δράκοντι τὸν φόνον. A.B.M. ἐκδικεῖν ζητεῖ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἐκδικεῖ, τιμωρίαν ἀπαιτεῖ. Fl. 59.

937. χθὼν δ' ἀντὶ καρποῦ: καρποῦ τοῦ δράκοντος ἢ τῶν γηγενῶν· καρπὸν δὲ πάλιν τὸν Μενοικέα. A.B.C.M.T. ἐὰν ἡ γῆ ἀντὶ τοῦ αἵματος τοῦ δράκοντος ἕτερον αἷμα λάβῃ, ἔσται τότε εὐμενὴς ἡμῖν. ἐλυπεῖτο δὲ ἡ γῆ, ὅτι γηγενεῖς ἦσαν. δεξαμένη οὖν τὸ αἷμα ἀντὶ τοῦ αἵματος, ὅ ἐστι καρπὸν ἀντὶ καρποῦ ἰδίου τοῦ φονευθέντος τοῦ ἀπὸ δράκοντος, εὐμενὴς ἐγένετο. A.M.T.

χθὼν δ' ἀντὶ καρποῦ: ἡ γῆ δὲ ἐὰν ἀντὶ καρποῦ, ἤτοι τοῦ δράκοντος τοῦ υἱοῦ αὐτῆς, λάβῃ καρπὸν, ἤτοι τὸν Μενοικέα, καὶ ἀντὶ τοῦ αἵματος τοῦ δράκοντος αἷμα βρότειον τοῦ Μενοικέως, ἔσται ἵλεως ὑμῖν. ἐλυπεῖτο γὰρ ἡ γῆ, ὅτι τῶν γηγενῶν σπαρτῶν ἐδέξατο τὸ αἷμα. I. ἐπειδήπερ ἐκ γῆς καὶ Ἄρεος ὁ δράκων ἦν, οὐ μόνον Ἄρης ἐλυπεῖτο διὰ τὸν φόνον τοῦ παιδὸς, ἀλλὰ καὶ ἡ γῆ. λέγει οὖν ὁ μάντις ὡς, εἴπερ ἀντὶ τοῦ καρποῦ καὶ υἱοῦ αὐτῆς δράκοντος ἡ γῆ λάβῃ καρπὸν τὸν Μενοικέα—καρπὸς γὰρ γῆς καὶ ὁ Μενοικεὺς, ἀπὸ τῶν ἐκ τῆς γῆς ἀναδοθέντων σπαρτῶν κατάγων τὸ γένος—καὶ αἷμα ἀντὶ αἵματος, ἵλεων αὐτὴν ἕξετε καὶ οὐκ ἔτι ὀργιζομένην. Gu.

938. ἕξετ' εὐμενῆ γῆν: ἐλυπεῖτο γὰρ ἡ γῆ ὅτι τῶν γηγενῶν σπαρτῶν ἐδέξατο τὸ αἷμα. A.B.C.M. ἀντὶ τοῦ καρποῦ αὐτῆς, ἤγουν τῶν Γιγάντων, ἣν λάβῃ καρπὸν βρότειον, καὶ ἀντὶ τοῦ αἵματος αὐτῶν ἣν λάβῃ αἷμα βρότειον, ἕξετε εὐμενῆ αὐτὴν, ὤφειλεν· ὁ δὲ ἐπάγει πάλιν τὴν γῆν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

939. γῆν, ἥ ποθ' ὑμῖν: ἥτις ἡ γῆ ἀνέδωκε ποτὲ ἡμῖν στάχυν τῶν σπαρτῶν χρυσοπήληκα, ἤτοι ἄνδρας χρυσαῖς περικεφαλαίαις

2. τῷ δράκοντι] τοῦ δράκοντος B. Post τὸν φόνον sequitur in A.M. ἄλλως. διὰ τί etc. quae v. ad v. 934.
4. καρποῦ alterum om. C.
5. τοῦ αἵματος] τοῦ om. A.T.
6. λάβῃ] λάβοι M.
ib. ἔσται] ἔστι A.
7. δὲ ἡ γῆ om. M.
ib. τοῦ αἵματος] τοῦ om. A.T.
8. καρποῦ—τοῦ δράκοντος om. A.
9. εὐμενὴς ἐγένετο M. ἵλεως ἔσεται A., om. T.

14. ἐπειδήπερ—] Partem horum e Bar. jam dedit King. nimirum ἐπειδήπερ—ἀλλὰ καὶ ἡ γῆ, et καρπὸς γὰρ—τὸ γένος. In Gu. haec sequuntur: φασὶ δὲ μαχομένων τῶν σπαρτῶν, περιλειφθῆναι τούτους, χθόνιον οὐδαῖον, πέλωρον, ὑπερήνορα, ἐχίονα, ὃς ἔγημεν etc. quae addere nolui ob scholion editum ad v. 942. MATTH.

26. χρυσαῖς — ἀνεδίθησαν] Haec sunt etiam in A.B.M.T. Fl. 33.

κεκοσμημένους· οὕτω γὰρ ἀνεδόθησαν· ἢ ἀπὸ μέρους τῆς πήληκος πᾶσαν τὴν ὅπλισιν δεῖ νοεῖν. I. ἥτις ἡ γῆ ἀνέδωκεν ὑμῖν τὸν χρυσοπήληκα στάχυν τῶν σπαρτῶν, ἀντὶ τοῦ σπαρτοὺς, ὥσπερ στάχυν κεχρυσωμένοις ὅπλοις χρωμένους. Gr.

940. ἐκ γένους δὲ δεῖ θανεῖν: ἀνάγκη δὲ ἔστιν ἕνα τῶν ἐκ γένους τῶν σπαρτῶν, ὅ ἐστι τοῦ δράκοντος, ἀποθανεῖν ὑπὲρ τῆς πατρίδος. A. C.M.T. Fl. 33.

δεῖ θανεῖν: ἐκεῖνον ὅστις πέφυκεν, ἤγουν ὑπάρχει, παῖς ἐκ τῆς σιαγόνος τοῦ δράκοντος. Gr. Bar. Fl. 5. 6. 9. 21. 56. 59. 76. γένυος: τοῦ στόματος, ἤγουν τῶν ὀδόντων, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. Gu.

941. ὃς δράκοντος γένυος: λέγεται Ἐχίονα εἶναι ἕνα τῶν γηγενῶν. ὅτε ἐφόνευσε τοὺς γηγενεῖς ὁ Κάδμος, ἔσωσε πέντε ἐξ αὐτῶν, συνεργῶν τῇ γνώμῃ τῆς Ἀθηνᾶς εἰς τὸ κτίσαι τὴν πόλιν, καὶ αὐτῷ δέδωκεν ὁ Κάδμος πρὸς γάμον τὴν θυγατέρα αὐτοῦ. C. λέγεται δὲ ἐν τῇ μάχῃ τοῦ Κάδμου πρὸς τοὺς σπαρτοὺς περιλειφθῆναι πέντε. ἐξ ἑνὸς οὖν τούτων κατήγετο ὁ πατὴρ τοῦ Μενοικέως Κρέων. A. M.T.

942. λοιπὸς εἶ σπαρτῶν γένους: οἱ περιλειφθέντες τῶν σπαρτῶν,

Aliud e Bar. dedit King. τοὺς μετὰ χρυσῆς περικεφαλαίας ἀναδοθέντας γίγαντας. Ultima ἀπὸ τῆς πήληκος πᾶσαν τὴν ὅπλησιν δεῖ νοεῖν habet etiam Gr. MATTH.

1. κεκοσμημένους] ἄνδρας addit B.

5. ἀνάγκη—] Haec in C. post scholion v. 942. sic, ἀνάγκη οὖν φησὶν ἑνὸς (sic) τῶν ἐκ τοῦ γένους etc.

6. τῶν om. A. ὅ—δράκοντος om. C.

13. πέντε restitui pro πάντας. sed ne sic quidem ista sincera sunt, hunc in modum fortasse refingenda: λέγεται Ἐχίονα εἶναι ἕνα τῶν ε′ γηγενῶν, (ὅτε γὰρ ἐφόνευσε τοὺς γηγενεῖς, ἔσωσε πέντε ἐξ αὐτῶν, συνεργῶν τ. γ. τ. Ἀ. ε. τ. κ. τ. π.) ᾧ καὶ δέδωκεν ὁ Κ. π. γ. τ. θ. α. VALCK.

15. λέγεται δὲ (δὲ om. A.) ἐν] Lemma ἐκπέφυκε παῖς praefixum in A.M. Simile scholion in C. ἄλλως. ἐν τῇ μάχῃ τοῦ κάδμου πρὸς τοὺς σπαρτοὺς παραλειφθῆναι πέντε μόνους, ὧν καὶ τὰ ὀνόματα αἰσχύλος λέγει, οὐδαῖος ὑπερήνωρ ἀγήνωρ ἐχίων χθόνιος. ἐξ ἑνὸς οὖν τούτων κατήγετο ὁ πατὴρ τοῦ μενοικέως ὁ κρέων. (Post quae pergit ἀνάγκη οὖν φησὶν etc. quae v. ad v. 940.) "Eadem sunt in Flor. 33. nisi quod is λέγεται ἐν τῇ μ. . . . . . περιλειφθῆναι ἕνα. ἐξ ἑνὸς οὖν τ. κατ. καὶ ὁ π. τοῦ M. ὧν καὶ τὰ ὀν. Αἰ. λ. . . . . Ἀγήνωρ . . . . in fine repetuntur verba ἐξ ἑνὸς οὖν etc. In T. priora tantum leguntur: λέγεται δὲ ἐν τῇ μ. . . . περιλειφθῆναι πέντε.—ἐξ ἑ. οὖν τ. κατήγαγεν ὁ π. τοῦ μενοικέως κρέων." MATTH.

19. οἱ περιλειφθέντες—] Hoc scholion etiam in Gu. supra ad v. 795. ubi sic scriptum, οἱ περιλειφθέντες ἐκ τῶν σπαρτῶν Γιγάντων, ὡς Αἰσχύλος φησὶν, ἦσαν οὗτοι· Χθόνιος, Οὐδαῖος, Πέλωρ, Ὑπερήνης, Ἐχίων, ὃς ἔγημεν Ἀγαυὴν τὴν τοῦ Κάδμου θυγατέρα, ἐξ

ὡς Αἰσχύλος φησὶν, ἦσαν Χθόνιος, Οὐδαῖος, Πέλωρος, Ὑπερήνωρ Ἐχίων, ὃς ἔγημεν Ἀγαυὴν τὴν Κάδμου, ἐξ ἧς ποιεῖ Πενθέα, οὗ Ὄκλασος, οὗ Μενοικεὺς, οὗ Κρέων καὶ Ἰοκάστη. A.B.M.I.

943. ἀκέραιος: ἀντὶ τοῦ καθαρὸς καὶ ἀνεπίληπτος καὶ ἀληθὴς ἀπόγονος τῶν σπαρτῶν. τὸ δὲ "ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο" ἀντὶ τοῦ ἑνικοῦ τὸ πληθυντικὸν εἶπεν, ἀντὶ τοῦ ἀκέραιος καὶ ἀπὸ πατρὸς καὶ ἀπὸ μητρός. A.B.C.M.I. Ἄλλως. ἀληθὴς ὢν ἔκγονος τῶν σπαρτῶν καὶ ἀπὸ μητρὸς καὶ ἀπὸ πατρός. A.M. ἀληθὴς, ἀνεπίληπτος υἱὸς, ὅπερ ἑρμηνεύει ἐξ ἀμφοτέρου λέγων τοῦ γένους. Gu. ἀνελλιπὴς λέγω καὶ ἐκ μητρὸς καὶ ἀπὸ ἀρσένων, ἤγουν ἀπὸ πατρός. Gr.

944. Αἵμονος μὲν οὖν: ὁ Αἵμων, φησὶν, ὁ πρεσβύτερός σου υἱὸς, διὰ τὸ μεμολύνθαι τῇ μνηστείᾳ οὐ σφαγήσεται· ἀφθόρου γὰρ ἀνδρὸς χρεία. A.B.C.M. Gu. I. γάμοι: ὁ γάμος ἀντὶ τοῦ ἡ μνηστεία· ἦν γὰρ κατηγγυημένη αὐτῷ ἡ Ἀντιγόνη. Gr. Cant.

945. σφαγὰς ἀπείργουσ': σφαγὰς καὶ θάνατον κωλύουσι. M. τὴν σφαγὴν αὐτοῦ κωλύει. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

ἧς ποιεῖ Πενθέα, οὗ ὄκλασος, οὗ Μενοικεὺς, οὗ Κρέων καὶ Ἰοκάστη. Repetitur hoc loco ubi post Ἰοκάστη ita pergit: οὗ Μενοικεὺς ὁ νῦν σφαγησόμενος. καλῶς δὲ εἶπε τὸ βρότειον, ἐπειδὴ ὁ μὲν Μενοικεὺς ἐξ ἀνθρώπων ἦν, ὁ δράκων δὲ θεῖός τις, ὡς ἐξ Ἄρεος.

1. Αἰσχύλος] Fragm. 385.

ib. Πέλωρος] πέλω M.

2. Ἐχίων] καὶ ἐχίων B.I.

ib. Ἀγαυὴν] Rectius Ἀγαύην. ἀγανήν A.

ib. τὴν κάδμου B.M. τὴν κάδμου θυγατέρα A.I. κάδμου θυγατέρα Gu.

ib. ἐξ ἧς ποιεῖ Πενθέα] ἐξ ἧς πενθεὺς Gu.

3. ὄκλασος A Gu. ὁ κλάσος M. ὁ κλάσας B.I.

4. ἀκέραιος: ἀντὶ—καὶ ἀπὸ πατρός] Sic B.M., nisi quod ἀνεπίπληκτος B. et omittit τοῦ ante ἑνικοῦ. In A. hoc ordine, ἀκέραιος: ἀληθὴς—ἀπὸ πατρός. ἄλλως. καθαρὸς καὶ ἀνεπίληπτος—πληθυντικὸν—πατρὸς καὶ μητρός:—In M. ἀκέραιος ἔκ τε μ. ἀ. τ' ἄπο: καὶ ἀπὸ πατρός. ἀντὶ τοῦ ἑνικοῦ τὸ πληθυντικὸν εἶπεν. ἄλλως. ἀληθὴς ὢν—καὶ ἀπὸ πατρός. ἄλλως ἀντὶ τοῦ καθαρὸς—ἀκέραιος καὶ ἀπὸ πατρός:—In C. ἔκ τε μητρός: ἀπὸ μητρός. ἀντὶ ἑνικοῦ τὸ πληθυντικὸν εἶπεν. ἀκέραιος δὲ ἀντὶ τοῦ καθαρὸς, ἀνεπίληπτος καὶ ἀληθὴς ἀπόγονος τῶν σπαρτῶν καὶ ἀπὸ μητρὸς, καὶ ἀπὸ πατρὸς, οὐκ ἀπὸ μητρὸς μόνον ἢ ἀπὸ πατρὸς, ἀλλὰ καθ' ἑτέρων (sic) ὁμοίως. Brevius in I. ἀκέραιος: καθαρὸς καὶ ἀνεπίληπτος καὶ ἀληθὴς ἀπόγονος τῶν σπαρτῶν. (καὶ ἀπὸ μητρὸς καὶ ἀπὸ πατρὸς, οὐχὶ ἀπὸ πατρὸς μόνον ἢ μητρὸς, ἀλλὰ καθ' ἑκάτερον ὁμοίως addit Fl. 33.) τὸ δὲ ἔκ τε—ἀντὶ ἑνικοῦ—καὶ ἀπὸ πατρός.

ib. ἀληθὴς] ἀληθῶς M.

5. ἔκ τε] τε om. A.

6. τοῦ ἑνικοῦ] τοῦ om. A.I.

ib. ἀντὶ τοῦ om. A.

7. καὶ ἀπὸ μητρός addidi ex A.

8. καὶ ἀπὸ μ. καὶ ἀπὸ π.] ὡς ἀπὸ μ. καὶ π. A.

12. ὁ et φησὶν om. Gu. ὁ om. C.

13. μεμολύνθαι] μεμολυνθῆναι M. μεμολῦσθαι C. Gu.

οὐ γάρ ἐστιν ἤθεος: ἢ καθὸ ἐμνηστεύσατο, ἢ ἐπεί, ὡς λέγουσι, λάθρα αὐτῇ συνῆλθε· τοῦτο δ' ὡς μάντιν εἰδότα εὐφήμως εἰπεῖν. A.B.C.M.I.

ἤθεος: παρθένος. Gr. Florr. iidem. ἄγαμος. Gu. καθαρὸς, ἀμόλυντος, μεμνηστευμένος Ἀντιγόνῃ. Gu.

946. *εὐνῆς*: συνουσίας. Gr. Florr. iidem. *λέχος*: ἀντὶ τοῦ γυναῖκα. Gr. Cant. ἀλλ' ἠγγύηται πρὸς γάμον. B.M.

947. *πῶλος*: παιδίον. M. παρθένος ὤν. Gu. *τῇδ' ἀνειμένος πόλει*: ἀντὶ τοῦ ἱερωθεὶς καὶ σφαγιασθεὶς τῇ πόλει ταύτῃ. B.C.M.I.

τῇδ' ἀνειμένος: τὸ τῇδε ἀντὶ τοῦ οὕτως, ἢ ἀντὶ τοῦ ταύτῃ, ἵν' ᾖ οὕτως· ὁ μὲν Αἵμων μεμνήστευται Ἀντιγόνῃ, καὶ οὐκ ἔστι καθαρὸς, Μενοικεὺς δὲ ἀνειμένος καὶ ἀπολελυμένος τῇδε καὶ ταύτῃ τῇ πόλει, πῶλος καὶ παρθένος, τουτέστιν ἄνετος διάγων καὶ μὴ γυναικὶ συνημμένος, θανὼν, ὥσπερ ἔφην, ταύτην σώσειεν ἄν. ἔστι δὲ κρεῖττον τὸ τῇδε ἀντὶ τοῦ οὕτως. τοῦτο δὲ λόγῳ δεύτερον. Gu. Bar. *ἀνειμένος*: ἔφετος, ἀπολελυμένος. M.

949. *πικρὸν δ' Ἀδράστῳ νόστον*: μόνος γὰρ ἐσώθη τῶν στρατηγῶν, διὸ εἶπε νόστον· πικρὸν δὲ διὰ τὴν λύπην τῶν συστρατευσαμένων. B.C.M.I.

πικρὸν νόστον: ἀλγεινὸν νόστον, ἤγουν ἀλγεινὴν ἐπαναστροφήν. Gr. Cant.

950. *μέλαιναν κῆρ'*: κατὰ κοινοῦ τὸ θήσει, ποιήσει θανατηφόρον μοῖραν. M. βαλὼν ἐπὶ τοῖς ὄμμασιν αὐτῶν κῆρα μέλαιναν, ἀντὶ τοῦ ἀμαυρώσεως ποιητικήν. Gr. Leid. Fl. 5. 6. 9. 21. 56. 59. 76. *μέλαιναν*: σκοτοποιόν. Gu. *κῆρα*: θάνατον. Gu. διὰ τοὺς ἀναιρεθέντας Ἀργείους. Gu.

1. οὐ γάρ ἐστιν ἤθεος (ἤθεος om. B.)] Pro lemmate ἄλλως habet C. In A. M. κεἰ μὴ γὰρ εὐνῆς (ἥψατ' add. M.): ἢ (ἢ om. A.) κ. ἑ. etc.

ib. ἢ ἐπεὶ (ἐπεὶ om. A.), ὡς λέγουσι] ἢ ἐπεὶ λέγεται M.

2. αὐτῇ (αὐτῷ C.) om. A.B.I.

ib. τοῦτο] τοῦτον B.C. In A. est οὗτος δὲ ὡς μάντις εἰδὼς—εἶπεν.

ib. μάντιν] μάντις C.

8. τῇδ' ἀνειμένος πόλει M. ἀνειμένος δὲ (τῇ addit I.) πόλει B.I. In M. hoc scholion bis legitur, supra versum et in margine. In margine est ἀντὶ τοῦ ἱερωθεὶς καὶ σφαγεὶς ὑπὲρ τῆς πόλεως.

ib. ταύτῃ addidi ex A.B.M.

9. ἱερωθεὶς καὶ σφαγιασθεὶς A.M. σφαγιασθεὶς καὶ ἱερωθεὶς B.I. Frustra Valck. σφαγιασθησόμενος vel εἰς τὸ σφαγιασθῆναι ἱερωθεὶς τῇ πόλει.

15. λόγῳ δεύτερον] λόγου δευτέρου Bar.

17. νόστον om. A.

18. συστρατευσαμένων] στρατευσαμένων C. στρατευομένων M. συστρατευσάντων A.

951. *κλεινάς τε Θήβας*: τὸ θήσει ἀπὸ κοινοῦ. καὶ τὰς Θήβας κλεινὰς θήσει. B. ἐνδόξους. θήσει ἀπὸ κοινοῦ. Gr. I. τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν: τοῖν δυοῖν πότμοιν τὸν ἕτερον ἑλοῦ, ἢ τοῦ παιδὸς τεθνηκότος σῶσαι τὴν πόλιν, ἢ τῆς πόλεως καταστραφείσης σῶσαι μὲν τὸν υἱόν, οὐ μὴν οὐδ' αὐτὸν σώσεις· μετ' οὐ πολὺ γὰρ καὶ αὐτὸς μετὰ τῆς πόλεως ἀπολεῖται. A.M.T. τούτων τῶν δύο πότμων ἕνα ἐπίλεξαι, ἢ τὴν τοῦ παιδὸς σωτηρίαν, ἢ τῆς πόλεως. πότμον δὲ λέγει τὴν εἱμαρμένην. C. ἀπὸ τῶν δύο δυστυχιῶν πρόκρινε τὴν ἑτέραν, ἢ τὸν παῖδα σῶσον, ἢ τὴν πόλιν. I. ἑλοῦ: ἐπίλεξαι. M. Gu.

τοῖνδ' ἑλοῦ δυοῖν: τούτων τῶν δύο δυστυχιῶν, ἤγουν τοῦ καταστραφῆναι τὴν πόλιν, ἢ τὸν σὸν παῖδα ἀποθανεῖν, ἑλοῦ, ἤγουν πρόκρινε, ἔκλεξαι τὴν ἑτέραν· ἢ γὰρ τὸν σὸν παῖδα σῶσον καὶ ἄφες δηλονότι καταστραφῆναι τὴν πόλιν, ἢ τὴν πόλιν σῶσον, καὶ ἔασον φονευθῆναι τὸν σὸν παῖδα. Gr. Bar.

πότμοιν: τυχῶν. Gu.

953. *τὰ μὲν παρ' ἡμῶν*: ἤγουν τοὺς λόγους πάντας, οὓς ἦν δυνατὸν ῥηθῆναι παρ' ἐμοῦ ἔχεις, ἀκούσας δηλονότι. Gr. Bar. οἱ παρ' ἡμῶν λόγοι ταύτην ἔχουσι τὴν ἔννοιαν. Gu. πάνθ' ὅσα παρ' ἡμῶν ἐβούλου μαθεῖν ἔχεις, ἀντὶ τοῦ ἀκήκοας καὶ κατέχεις. I.

953.—959. *ἡγοῦ*; ἡγεμόνευε. Gr. ὁδήγει, ὦ θύγατερ, πρὸς τὸν οἶκον. Gr. προοδοποιοῦ, θύγατερ, πρὸς τὸν οἶκον. ὅστις δὲ μαντικῇ χρῆται τέχνῃ μάταιός ἐστιν· ἢν μὲν γὰρ τύχῃ δηλώσας μισητά, ἐπαχθὴς ἐγένετο, ἐκείνοις δηλονότι ὧν χάριν τὰς μαντείας ποιῆται· ψευδῆ δὲ τοῖς χρωμένοις λέγων ὑπὸ συμπαθείας ἀδικεῖ εἰς τοὺς θεοὺς ψευδόμενος καὶ κρύπτων τὸ ἀληθές, καὶ μὴ διάδηλον ποιῶν τὴν δύναμιν αὐτῶν καὶ τὴν δωρεάν. τὸν Ἀπόλλωνα δὲ μόνον πρέπει χρησμοὺς διδόναι τοῖς βροτοῖς, ὃς οὐ φοβεῖταί τινα. I.

954. *ὅστις δ' ἐμπύρῳ χρῆται τέχνῃ*: τῇ μαντικῇ τῇ διὰ πυ-

4. τῆς πόλεως] τῆς om. M.
8. εἱμαρμένην] ἡμαρμένην C.
11. τοῦ] τὸ Bar.
12. ἤγουν πρόκρινε] ἤγουν om. Bar.
13. ἢ γὰρ] ἤγουν Gr.
ib. δηλονότι om. Bar.
17. οὓς] οἳ Gr.

25. ποιῆται] Puto ποιεῖται, ut Gu. qui verba ἐπαχθὴς et ἐκείνοις—ποιεῖται supra adscripta habet, ut paulo post κρύπτων (om. τὸ ἀληθές) καὶ μὴ διάδ.—δωρεὰν in margine. MATTH.

26. καὶ ante κρύπτων addidi ex B.M. (in scholio v. 958.)

ρός. M. μαντικῇ. B. Gr. τὸ εἶδος ἀντὶ γένους· γένος γὰρ ἡ μαντική, εἶδος δὲ ταύτης τὸ διὰ πυρὸς γνῶναι τὸ μέλλον. Gu.

955. μάταιος: ἄκαιρος. Gr. ἦν μέν: ὁ μέν ἀντὶ τοῦ γάρ. B.M. ὑπάρχει. Gu. ἐχθρὰ σημήνας: καθὰ τὸ φίλος λέγεται μὲν ἐπὶ τοῦ φιλουμένου, λέγεται δὲ καὶ ἐπὶ τοῦ φιλοῦντος, οὕτω καὶ τὸ ἐχθρός ἐνίοτε μὲν λέγεται ἐπὶ τοῦ ἐχθραίνοντος, ἐνίοτε δὲ ἐπὶ τοῦ πρὸς ὃν ἡ ἔχθρα. Gr. Leid. σημήνας: δείξας, μαντευσάμενος. Gu.

956. πικρός: ἐχθρός. M.

957. ψευδῆ—τοῖσι χρωμένοις λέγων: ψευδῆ λέγων ὑπὸ τῆς ἐλεημοσύνης τούτοις μαντευομένοις. M.T. Fl. 33. ψευδῆ δὲ λέγων τοῖς χρωμένοις αὐτῷ, ἤγουν τοῖς μαντευομένοις, ὑπ' οἴκτου ἀναπειθόμενος δηλονότι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

958. ἀδικεῖ τὰ τῶν θεῶν: ἀντὶ τοῦ ἀδικεῖ εἰς θεοὺς ψευδόμενος καὶ κρύπτων τὸ ἀληθές. A.B.M. τὰ τῶν θεῶν κρύπτων δηλονότι καὶ μὴ διάδηλον ποιῶν τὴν δύναμιν αὐτῶν καὶ τὴν δωρεάν. Gr.

959. θεσπιῳδεῖν: μαντεύεσθαι. M.

960. Κρέον, τί σιγᾷς: ὦ Κρέον, τί σιωπᾷς, τὴν φωνὴν ἄηχον ἐπισχὼν καὶ οὐκέτι φθεγγόμενος; ὡς εἰ ἔλεγεν, οὐ σιωπῆς σοι καιρὸς ἀκούσαντι τοιαῦτα, ἀλλὰ βουλεύσασθαί τι καὶ πρᾶξαι. κἀγώ σοι οὐδὲν ἧττον συναλγῶ. ἀλλ' οὐ σιωπῆς, βουλῆς δὲ μᾶλλον καιρός ἐστιν. διὸ ἔδει λέγειν σε. A.B.C.M.I.

Κρέον τί σιγᾷς: ἰδὼν ὁ χορὸς ἄφθογγον ὑπ' ἀπορίας Κρέοντά φησι, τί σιωπᾷς, ὦ Κρέων; οὐ γὰρ καιρὸς σιωπῆς, ἀλλ' ἐπειδὴ τοιαῦτα ἤκουσας, δεῖ σε βουλεύεσθαί τι πράξειν· καὶ γὰρ κἀγὼ ταῦτα ἀκούσας οὐδὲν ἧττον ἢ σὺ ἐκπλήττομαι, ἀλλ' οὐχ ἡγοῦμαι νῦν καιρὸν ἔχειν τὴν σιωπήν. Bar. Gu.

σχάσας: ἀποκλείσας, ἀποκόψας. M. κρατήσας. B. rec. με-

11. τούτοις μ.] τοῦτο τοῖς μ. ἀδικεῖ :— M.

14. ἀντὶ τοῦ om. A.M.

15. τὸ ἀληθές] τὴν ἀλήθειαν A. in quo a m. rec. additum ἢ ὅστις πάλιν λέγει τοῖς ἀνθρώποις τὰ ψευδῆ ἀδικεῖ τὰ τῶν θεῶν.

18. ὦ Κρέον, τί σιωπᾷς om. A.B.C.M.

ib. τὴν] τί A.

ib. ἄηχον ἐπισχὼν] ἀνεπισχὼν C.

20. τοιαῦτα A.M. ταῦτα ceteri.

ib. κἀγώ—] Novi scholii initium in A.M. (cum lemmate κἀμοὶ γὰρ οὐδὲν ἧττον) et B.

21. σοι] γὰρ M. In A. κἀμοὶ γὰρ οὐδὲν ἧττον: κἀγὼ γὰρ οὐδέν σοι ἧττον etc.

ib. ἀλλ' οὐ] ἀλλὰ C.

ib. μᾶλλον καιρός] καιρὸς (κερὸς C.) μᾶλλον A.B.C.

22. λέγειν A.M. λαλεῖν σε ceteri.

ταφορικῶς ἀντὶ τοῦ ἀποκόψας καὶ ἀποκλείσας. ἄφθογγον δὲ γῆρυν ἀντὶ τοῦ ἄηχον. A.B.I. *ἐκ μεταφορᾶς τῶν ἐρεσσόντων. σχάσαι γὰρ τὸ κρατῆσαι τὴν τῶν κωπῶν εἰρεσίαν.* Gu. *παύσας.* Gr. *ἐπισχὼν, χαλάσας.* Gu. *ἄφθογγον: ἄηχον.* M. *ἄφωνον.* Gu.

961. *πάρα: ἀντὶ τοῦ πάρεστι.* M.

962. *δῆλον: λείπει τὸ πρᾶγμα, δῆλον τὸ πρᾶγμα.* B.I. *δῆλον οἵ γ' ἐμοὶ λόγοι: δῆλον ὅτι οὐδὲν ἄλλο ἢ ὅπερ οἱ ἐμοὶ λόγοι, ὥστε μὴ προσθεῖναι τὸν υἱὸν τῇ πόλει σφάγιον.* C. Fl. 33.

963.—976. *ἐγὼ γὰρ οὔ ποτ' εἰς τόδ' εἶμι: ἐγὼ γὰρ οὔποτε εἰς ταύτην ἐλεύσομαι τὴν συμφορὰν, ἤγουν εἰς τοῦτο τὸ δεινὸν ὥστε ἔκδοτον ποιῆσαι τῇ πόλει τὸν ἐμὸν παῖδα σφαγησόμενον.* Gr. *ἐγὼ γὰρ οὐδέποτε εἰς τοῦτο τῆς συμφορᾶς, ἀντὶ τοῦ εἰς τοιαύτην συμφορὰν, ἀπελεύσομαι, ὥστε παραθεῖναι τῇ πόλει τοῦτον σφαγέντα, ἀντὶ τοῦ ὥστε σφαγιασθῆναι ὑπὲρ τῆς πόλεως. πᾶσι γὰρ ἀνθρώποις ὑπάρχει φιλότεκνος ὁ βίος, ἤγουν πάντες ἄνθρωποι τὰ ἑαυτῶν τέκνα φιλοῦσι, οὐδέ τις ἂν δοίη τὸν αὑτοῦ παῖδα, ὥστε φονευθῆναι. μὴ ἐπαινείτω μέ τις λόγους εὐλόγους λέγων, τἀμὰ τέκνα συμβουλεύων με κτείνειν. ἐγὼ δὲ θνήσκειν ὑπὲρ πατρίδος ἕτοιμός εἰμι, ἀπολυόμενος αὐτὴν τῶν περιεστώτων κακῶν· ἐν ζωῇ γὰρ ἐγκαίρῳ καθίσταμαι. ἀλλ' ἄγε, ὦ παῖ, πρὸ τοῦ τὴν πόλιν μαθεῖν, τὰ ἀπαίδευτα τοῦ μάντεως ἐάσας χρηστήρια, φεῦγε λίαν ταχέως τῆς χθονὸς ταύτης ἐλευθερωθείς. λέξει γὰρ τοῖς ἄρχουσι καὶ τοῖς στρατηγοῖς ταῦτα, ἐπὶ τὰς ἑπτὰ πύλας καὶ τοὺς λοχαγέτας παραγενόμενος. καὶ ἐὰν προφθάσωμεν, ὑπάρχει σοι σωτηρία· ἐὰν δὲ ὑστερηθῇς, ἀπωλόμεθα· ἀποθανῇ γάρ.* I.

963. *συμφορᾶς: νῦν λύπης.* M.

964. *σφαγέντα: ἀντὶ τοῦ σφαγησόμενον.* C. Gr. *προσθεῖναι: ἀντὶ τοῦ παραθεῖναι.* B.M. *ἐκθεῖναι, ἔκδοτον ποιῆσαι.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *προσάξαι.* Gu. *ἤγουν δοῦναι.* B. rec.

965. *πᾶσιν γὰρ ἀνθρώποισι: ἤγουν πάντες γὰρ οἱ ἄνθρωποι φι-*

1. ἀντὶ τοῦ om. B.
ib. ἀντὶ — ἀποκλείσας] ἀποσχάσας ἀντὶ ἀποκόψας ἀποκλείσας A.
ib. γῆρυν om. B.
6. λείπει τὸ πρᾶγμα etiam M. "King. addidit τουτέστι δηλοῖ [voluit δῆλοι] haud dubie e Bar. vel Cant. nam Gr. etiam et Flor. 5. 6. 9. 21. 56. 59. 76. δῆλον τὸ (τὸ om. Gr.) πρᾶγμα, τουτέστι δῆλοι. Hoc Valck. praeposuit: τουτέστι δῆλοι, ἢ λείπει τὸ πρ. δ. τὸ πρ. nescio unde." MATTH.

λότεκνον ζωὴν ζῶσιν, ἀντὶ τοῦ μετὰ τοῦ φιλεῖν τὰ ἑαυτῶν τέκνα ἀνύουσι τὴν ζωὴν, τουτέστι φιλότεκνοί εἰσιν· ὅμοιον ὥσπερ ἂν εἴ τις εἴποι, ἀμελῆ ζωὴν ζῶ, ἀντὶ τοῦ μετὰ ἀμελείας ἀνύω τὴν ζωὴν, τουτέστιν ἀμελής εἰμι· οὐ γὰρ ἡ ζωή ἐστιν ἀμελὴς, ὥσπερ οὐδὲ φιλότεκνος, ἀλλ' οἱ τὴν ζωὴν ζῶντες ἐν ἀμελείᾳ καὶ φιλοτεκνίᾳ, οὗτοί εἰσιν εἰκότως ἀμελεῖς καὶ φιλότεκνοι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq.

966. δοίη κτανεῖν: εἰς τὸ φονευθῆναι. M. Gu. ἤγουν εἰς τὸ κτανεῖν αὐτόν τινα· ὅμοιον τῷ "ἡδὺς ποταμὸς πιεῖν." Gr. Cant. Florr. iidem.

967. μή μ' εὐλογείτω: καλολογείτω. B. rec. ἐπαινείτω. M. ὡς δόξαν μέλλοντα ἔχειν τὸν υἱὸν ὑπὲρ τῆς πόλεως δεδωκότα. M.T. ὡς ὑπὲρ τῆς πόλεως τὸν υἱὸν δεδωκότα. B. ἐπαινείτω, μεγαλόψυχον λεγέτω. Gr. ἐπαινείτω λέγων ὡς σωτὴρ ἔσομαι τῆς πατρίδος, εἰ προείμην τὸν παῖδα. Gu.

968. ἐν ὡραίῳ γὰρ ἵσταμαι βίῳ: τὸ ἑξῆς ἐν εἰρωνείᾳ, αὐτὸς δὲ θνήσκειν ἕτοιμος· ἐν καιρῷ γάρ ἐσμεν τοῦ ἀποθνήσκειν· γέροντες ἐσμέν. A.M. γηραιῷ. B. ὥραν καὶ καιρὸν ἔχοντι τοῦ θανάτου. B.C.M. αὐτὸς δ' ἐν ὡραίῳ: ἐγὼ δὲ αὐτὸς, φησὶν, ἐν τῷ καιρῷ τῆς τελευτῆς ὑπάρχω, γέρων ὤν. C.M. ἐγκαίρῳ, πρὸς τελευτὴν ἐπιτηδείῳ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

ἕσταμεν: γρ. ἵσταμαι. B.

969. ἐκλυτήριον: λύτρον ὑπὲρ τῆς πατρίδος. B.M. ἀπολυτήριον, ἴαμα κακῶν, ἀπολυόμενος τὴν πατρίδα τῶν περιεστώτων αὐτῇ

2. ὅμοιον om. Gr.
ib. εἴ τις Gr. εἴ om. ceteri.
3. ἀντὶ τοῦ—ἀνύω τὴν ζωὴν om. Mosq.
8. εἰς τὸ om. Gu.
ib. ἤγουν om. Gr.
9. τῷ] τὸ Cant.
ib. ἡδὺς ποταμὸς πιεῖν] Hoc exemplo saepius utuntur scholiastae Byzantini.
14. ἐπαινείτω—προείμην τὸν παῖδα] μὴ ἐπαινείτω καὶ μεγαλόψυχον λεγέτω, εἰ π. τὸν π. Bar.
16. τὸ ἑξῆς] In M. lemma praefixum οὐδ' ἂν αὐτὸν αὐτοῦ (sic) παῖδά τις δοίη κτανεῖν.
18. ὥραν καὶ C. ἐν ὥρᾳ B., omisso καί. ὥραν καὶ om. M.
ib. ἔχοντι τοῦ (τοῦ om. M.) θανάτου B.M. ἔχοντι θανάτῳ C.
19. φησὶν om. M.
20. ὢν] Sic non solum M, sed etiam C., non ὑπάρχων ut ap. Valck.
23. τῆς πατρίδος] τῆς om. B.

κακῶν. C. Fl. 33. *ἡ λυτήριον ὑπὲρ τῆς πατρίδος*. Fl. 33. *ἐλευθερωτήριον*. Gu. *εἰς ἐλευθερίαν, εἰς λύτρωσιν*. Gr. Bar. Mosq.

970. *ἀλλ' εἶα*: *ἄγε δή*. M.

971. *ἀκόλαστ'*: *τὰ τολμηρὰ καὶ προπετῆ, τὰ μὴ ὑποπίπτοντα κολάσει, μετ' ἐξουσίας λεγόμενα*. A.B.C.M. *ἀνεξέταστα, ἀβασάνιστα, τόλμης γέμοντα*. C.M. *τὰ ἀπαιδεύτως καὶ χωρὶς συστολῆς λεγόμενα*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. *ἀζήτητα, τολμηρὰ, προπετῆ*. Fl. 33. *ἐάσας*: *ἀτελῆ*. C.

973. *λέξει γὰρ ἀρχαῖς*: *τοῖς ἄρχουσι δηλονότι*. A.B.M. *τοῖς ἡγεμόσι, τοῖς βασιλεῦσιν*. C.M. *ἤρκει οὗτος· ὁ γὰρ ἐπιφερόμενος περιττός ἐστιν "πύλας ἐφ' ἑπτὰ καὶ λοχαγέτας μολών."* B.C.M.

974. *λοχαγέτας μολών*: *ἐπὶ τοὺς στρατηλάτας μολών*. C.M.

975. *φθάσωμεν*: *προλάβωμεν*. B.M.

976. *ἢν δ' ὑστερήσῃς*: *ἐναντίον τὸ ὑστερεῖν τῷ προφθάνειν*. Gr. Cant. *ἀπολειφθῇς*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *ἤγουν βραδύνῃς*. M. Gu. *ὕστερος φανῇς*. Gu. Fl. 33.

977. *ποῦ δῆτα*: *ποῦ λοιπὸν φύγω, εἰς τίνα πόλιν, εἰς τίνα τῶν φίλων*; I.

978. *ὅπου χθονός*: *ποῦ; ὅπου μακρὰν μάλιστα τῆσδε τῆς γῆς γενήσῃ*. I. *ἐκποδών*: *ἀντὶ τοῦ μακράν*. B.M. Gr.

979. *οὐκοῦν σε φράζειν*: *πρέπον σε λοιπὸν ὅπου πορευθῶ λέγειν*,

1. *κακῶν*] *δεινῶν* Fl. 33.

2. *λύτρωσιν*] *ἐκλύτρωσιν* Mosq.

4. *τὰ τολμηρὰ—τὰ μὴ*] *τολμηρὰ, προπομπῆ, ἤγουν τὰ μὴ* C. *προπετῆ τολμηρὰ τὰ μὴ* A.

5. *ἐξουσίας*] *δὲ* add. B.C.

ib. *λεγόμενα. ἀνεξέταστα*] *λεγόμενα ἢ ἀνεξέταστα* C. *λεγόμενα. ἄλλως. ἀτελῆ, ἀνεξέταστα* A. Gl. *ἀνεξέταστα* est in B.

6. *γέμοντα* M. *γέμοντα. ἀτελῆ* C. *ἀτελῆ* ad *ἐάσας* rettuli cum Valck. Post *ἀτελῆ* pergit C. et a m. rec. A. *σωσιφάνης δὲ ὁ τραγικὸς* etc. quae vide ad v. 1010. Tum pergit *τοῖς ἄρχουσι*— (ad v. 973.)

ib. *ἀπαιδεύτως*] *ἀπαίδευτα* Gr.

7. *λεγόμενα*] *εἰρημένα* Gr.

9. *τοῖς ἡγεμόσι*] *τοῖς ἄρχουσι, τοῖς ἡγεμόσι* C.

10. *ἤρκει*] *εἶπει* (sic) M. *ἤρκει δὲ* B.

ib. *οὗτος* B.M. *οὗτος ὁ στοῖχος* (*στίχος* Valck.) C.

11. *περιττός ἐστιν* om. M. In A. est *ἤρκει γὰρ ὁ ἐπιφερόμενος πύλας—λ. μολών περιττός ἐστιν*, quibus manus recentior addidit *ὁ πύλας ἐφ' ἑπτά. ἤρκει γὰρ οὗτος ὁ στίχος ὁ προλεγόμενος.*

13. *ἐπὶ τοὺς—μολών*] Haec bis in M., qui loco altero *πύλας ἐφ' ἑπτά: ἐ. τ. σ. μετελθών.*

16. *ἤγουν* om. M.

21. *ἀντὶ τοῦ* om. Gr.

ἐκπληροῦν δ' ἐμέ. I. ἐκπονεῖν: ἀντὶ τοῦ ἀνύειν, ἐκπληροῦν. B. ἀνύειν, πληροῦν. M.

980. ποῖ με χρή: ποῖ με χρὴ ἀπελθεῖν τοὺς Δελφοὺς διαβάντα; —εἰς τὴν τῶν Αἰτωλῶν γῆν.—ἐκ δὲ τῆσδε ποῖ περάσω;—εἰς τὴν γῆν τῶν Θεσπρωτῶν. Gr. Cant.

Δελφοὺς περάσας: παρελθὼν τοὺς Δελφοὺς φεῦγε. M. ποῖ με χρὴ μολεῖν: ἐκ τῶν Δελφῶν δηλονότι. εἰς οὐδὲν δὲ χρήσιμον τοπογραφεῖ. μᾶλλον δὲ αὐτὸν ἐχρῆν σκοπεῖν ὅπως τῶν πολεμίων παρακαθεζομένων λήσεται ὁ Μενοικεὺς φεύγων. A.B.C.M.T.I. περάσας: διαβάς. Gr. διελθών. Gu. πῆ με χρή: ἡ σύνταξις οὕτως, ἐκ δὲ τῶν Δελφῶν πῆ με χρὴ μολεῖν. C.

981. Αἰτωλίδ' εἰς γῆν: ὄνομα ἔθνους ἀπὸ Αἰτωλοῦ οἰκιστοῦ. C. M. ἡ λεγομένη Βόντιζα, ἐπισκοπῆς Ναυπάκτου. C. ἐκ δὲ τῆσδε: ἐκ τῆς Αἰτωλίδος γῆς. M.

982. Θεσπρωτὸν οὖδας: ἔθνος Θεσσαλίας ἀπὸ Θεσπρωτοῦ τοῦ Διός. A.B.M. εἰς τὴν γῆν τῶν Θεσπρωτῶν, εἰς τὴν νῦν κοινῶς λεγομένην Δρυνόπολιν, εἰς τὸν τόπον, ἔνθα ἵδρυται ἡ σεμνὴ Δωδώνη. Gr. Bar. Leid. Θεσπρωτοὶ ἔθνος πλησίον τῆς Δωδώνης χώρας· τοῦτο γὰρ λέγει βάθρα, οἱονεὶ θεμέλιοι καὶ ὅροι. Gu. Bar. Leid. Mosq. σεμνὰ Δωδώνης βάθρα: τὰ σεβάσμια τῆς Δωδώνης θεμέλια. B.I. σεμνὰ βάθρα λέγει, ἤγουν σεβάσμια, διὰ τὸ ἐκεῖ Διὸς ἱερὸν καὶ τὴν λαλοῦσαν δρῦν καὶ μαντευομένην. Gu. Bar.

Δωδώνης: Δωδώνη τόπος Λευκαδος πλησίον τοῦ αἰγιαλοῦ. C.

6 ποῖ με χρὴ μολεῖν] Hoc lemma in M., Δελφοὺς περάσας in I., nullum in B.

7. δηλονότι] περάσας δηλονότι B. T.I.

ib. δὲ om. M.

8. τοπογραφεῖ] τὸ τοπογραφεῖν C.

9. παρακαθεζομένων A.M. παρακαθιζομένων B.I. παρασκευαζομένων C.

ib. λήσεται M.T. λήσηται C. λήσει B. λήσῃ I.

ib. φεύγων ante ὁ Μενοικεύς B.T.I.

12. Αἰτωλοῦ] αἰτωλοὺς (sic) C.

13. ἡ λεγομένη Βόντιζα—] Novitii grammatici additamentum.

ib. ἐπισκοπῆς Valck. ἐπισκοπὴν C.

15. Θεσπρωτοῦ] θεσπρώτου A.M.

16. εἰς τὴν γῆν (γῆν post Θεσπρωτῶν Leid.) τῶν Θεσπρωτῶν om. Bar.

ib. τὴν νῦν] γῆν νῦν Bar. Sola verba εἰς τὴν γῆν τὴν κοινῶς λεγομένην δρυνόπολιν sunt in Mosq. "In Δρυνόπολιν codd. consentiunt cum Flor. 59. qui εἰς τὸ ἔδαφος τὴν Δρυνόπολιν, sed margo Leid. veram nominis formam 'Αδριανούπολιν praebet: inde vulgare ejus aetatis nomen prava loquendi consuetudine factum esse dicas." MATTH. Vid. Hierocl. Synecd. p. 651. VALCK.

ἐν τῇ Θεσπρωτείᾳ, φησὶν, ὅπου τὰ τῆς Δωδώνης βάθρα· Δωδώνη γὰρ ἐγγὺς Θεσπρωτείας, ἐν ᾗ Διός ἐστιν ἱερόν. A.C.M.

983. ἔγνως: ἀποφατικῶς, ἐγνώρισας. M. τί δῆτα ῥῦμα: φύλαγμά μοι γενήσεται, ὅ ἐστι ποία με πόλις δεξαμένη σώσει. B. M.I. τί πρᾶγμα γενήσεται εἰς ἔρυμα, ἀντὶ τοῦ ἀσφάλεια γενήσεται; Gr. Cant. φυλακὴ καὶ ἀσφάλεια κατὰ τὴν ὁδόν. Bar.

984. πόμπιμος ὁ δαίμων: ὁδηγήσει σε ἡ τύχη. Gu. I. ὁδηγὸς ὁ θεὸς, ὁ Ζεὺς, δηλονότι διὰ τῶν αὐτοῦ χρησμῶν. Gr. Bar. ὁ ἐκεῖσε θεὸς ὁ Ζεὺς· μαντεύεται ποῖ δεήσει οἰκεῖν. B.C. αὐτὸς, φησὶν, ὁ ἐνταῦθα θεὸς Ζεὺς παραπέμψει σε, χρησμῷ δηλώσας δηλονότι ὅπου δεῖ σε σταλέντα σωθῆναι. C.M.T. χρημάτων δὲ τίς πόρος: τίς εὐπορία. I. εὐπορία. Gr. ἀφορμή. Gu.

985. ἐγὼ πορεύσω: ἀντὶ τοῦ πέμψω χρυσόν. I. σὺν σοὶ ἀποπέμψω, ἀποστελῶ. εἴποι δ' ἄν τις, ἕως οὗ ἀποστείλῃ τὸν χρυσὸν, πόθεν ἕξει τὰ ἀναγκαῖα ἐφόδια; A.B.C.M.T.

εὖ λέγεις: καλῶς λέγεις, ὦ πάτερ. ἀπέρχου δή. I.

986. ὡς σὴν πρὸς κασιγνήτην: ἐκ παραλλήλου· ἢ ἡ εἰς περιττή. I. πρὸς τὴν σὴν ἀδελφὴν ἀπελθὼν, τὴν Ἰοκάστην λέγω, ἧς πρῶτα τὸν μαστὸν εἵλκυσα τῆς ἐμῆς μητρὸς στερηθεὶς καὶ ὀρφανὸς γενόμενος, χωρισθεὶς ἐκείνης συνταξάμενος αὐτῇ ἀπελεύσομαι καὶ διατηρήσω τὴν ἐμαυτοῦ ζωήν. Gr. ἀπελθὼν ὡς πρὸς τὴν σὴν ἀδελφὴν, τὴν Ἰοκάστην λέγω, ἧστινος πρῶτον εἵλκυσα τὸν μαστὸν, στερηθεὶς τῆς μητρὸς καὶ χωρισθεὶς ὀρφανὸς προσηγορήσων καὶ χαιρετίσων αὐτὴν ἀπελεύσομαι καὶ σώσω τὸν βίον, τουτέστι μετὰ τὸ

1. ἐν τῇ βάθρᾳ] Sic A.M. In C. est ὅπου τὰ σεμνὰ τῆς δωδώνης θεμέλια, omissis ἐν τ. θ. φ.

3. φύλαγμα—] In B.I. haec adjuncta sunt scholio v. 982. post θεμέλια, omisso lemmate.

4. με post δεξαμένη B.I.

7. ὁδηγήσει—τύχη I. ἤγουν σὴ ὁδηγήσει σε τύχη Gu.

8. ὁ Ζεύς gl. est in B.

ib. ὁ ἐκεῖσε θεὸς] ἐκεῖνος ὁ θεὸς B.

9. αὐτὸς] ὁ αὐτὸς C.

ib. φησὶν et ἐνταῦθα θεὸς om. M.

10. παραπέμψει] πέμψει M.

ib. χρησμῷ δηλώσας] χρησμῳδήσας T. et Fl. 33.

ib. ὅπου δεῖ σε M. ποῖ δέει σε T. ὅπου δέοι C. Fl. 33.

11. σταλέντα] σοι add. C.

13. ἀποπέμψω om. T.

14. ἀποστελῶ] ἀποτελῶ C. ἀποστείλω B.T.

ib. ἀποστείλῃ Fl. ἀποστείλῃς A.B. C.T.

ib. εἴποι] εἴπῃ Fl. 33.

ib. τὸν χρυσὸν om. A.

15. ἕξει] ἕξοι A. ἥξει C. ἕξω Fl.

18. πρὸς τὴν—τὴν ἐμαυτοῦ ζωήν] Haec paraphrasis est etiam in Fl. 5. 6. 9. 21. 56. 59. 76.

προσειπεῖν ἐκείνην φευξοῦμαι καὶ σωθήσομαι. Gu. *πρὸς τὴν σὴν κασιγνήτην Ἰοκάστην ἐλθὼν, ἥστινος κατ' ἀρχὰς τὸν μαστὸν ἐθήλασα, τῆς μητρὸς στερηθεὶς καὶ ὀρφανὸς γενόμενος, προσαγορεύσων ἐκείνην καὶ συνταξόμενος ἀπελεύσομαι διατηρήσων τὴν ἐμαυτοῦ ζωήν.* I.

Ἐναντίως ἱστορεῖ Σοφοκλῆς· μετὰ γὰρ θάνατον τοῦ Μενοικέως ἡ μήτηρ αὐτοῦ ζῇ, ὡς ἐν Ἀντιγόνῃ φησὶ "καὶ μὴν ὁρῶ δάμαρτα τὴν Κρέοντος." A.B.C. Gu. I. *ὡς σὴν πρὸς κασιγνήτην: πρὸς τὴν σὴν ἀδελφὴν ἀπελθών· πλεονάζει γὰρ τὸ ὡς.* B.C.M.T. *Ἄλλως. πρῶτον, φησὶ, πρὸς τὴν σὴν ἀδελφὴν θέλω ἀπελθεῖν, ἥτις με ἀνέθρεψε στερηθέντα τῆς μητρός.* A.C.M.T.

989. *προσηγορήσων: προσαγορεύσων, συνταξάμενος αὐτῇ, ἀποχαιρετίσων παρὰ τοῖς κοινοῖς, ἀπελεύσομαι καὶ διατηρήσω τὴν ἐμαυτοῦ ζωήν.* Gr.

προσηγορήσων εἶμι αὐτὴν καὶ σώσων τὸν βίον. Ἄλλως. σώσων τὴν πόλιν. οὐ γὰρ ὡς ὁ πατὴρ ᾤετο. B.M.I.

5. *Ἐναντίως*] *δὲ* addit I. In B.C. scholion hoc post proximum legitur scholion, et in C. quidem sic compendifactum, *ἐναντίως μαρτυρεῖ σοφοκλῆς· μετὰ γὰρ τὸν θάνατον μενοικέως ἡ μήτηρ αὐτοῦ ζῇ*:—" Sophoclis verba sunt v. 1180. *καὶ μὴν ὁρῶ τάλαιναν Εὐρυδίκην ὁμοῦ | δάμαρτα τὴν Κρέοντος· ἐκ δὲ δωμάτων | ἤτοι κλύουσα παιδὸς, ἢ τύχῃ πάρα.* Schol. *λείπει ἡ περὶ, ἵν' ᾖ, περὶ τῆς παιδός.* imo scribendum, *περὶ τοῦ παιδὸς*, *de filio*: sed filium intelligit Sophocles Haemona, non Menoecea, cujus nulla fit in Antigone Sophoclis mentio: versu 1310 occidisse dicitur Eurydice *κωκύσασα μὲν | τοῦ πρὶν θανόντος Μεγαρέως κλεινὸν λέχος·* ibi schol. *οἱ δὲ φασὶ τοῦ Μενοικέως τοῦ ἀποσφάξοντος ἑαυτόν· πρότερον γὰρ Μεγαρεὺς ἐκαλεῖτο.* haec nullo teste nituntur. Sed pro patria tamen ante mortuus jam erat Menoeceus, quam evenirent in Sophoclis Antigone narrata." VALCK.

ib. *τοῦ* (*τοῦ* om. A. Gu.) *μενοικέως* A.B.C. Gu. *τοῦ παιδὸς* I.

ib. *ἡ μήτηρ αὐτοῦ ζῇ*] *τὴν μητέρα αὐτοῦ* (adde *ζῆν*) A.

6. *Ἀντιγόνῃ*] *τῷ ἀντιγόνης φησὶ δράματι* Gu.

ib. *φησὶ* om. A.

ib. *ὁρῶ*] *τάλαιναν εὐρυδίκην ὁμοῦ* addit Gu

ib. *τὴν κρέοντος* B. *τοῦ κρέοντος* A. Gu. I.

8. *γὰρ* om. A.

ib. *Ἄλλως* om. C.

9. *τὴν σὴν*] *σὴν* om. C.

ib. *θέλω* A.M. *βούλομαι* C.T.

ib. *ἀνέθρεψε*] *ἔθρεψε* C.

10. *τῆς μητρός*] *τῆς* om. C.T.

11. *συνταξάμενος* Gr. hic, ut Gu. p. 265, 20. Recte *συνταξόμενος* p. 266, 4.

ib. *ἀποχαιρετίσων παρὰ τοῖς κοινοῖς*] Haec etiam Cant. Dixit de hoc verbo Hemst. ad schol. Arist. Pluti v. 752.

14. *εἶμι* addidi ex M. Post *αὐτὴν* habet B. In A. est *προσηγορήσων εἶμι: προσηγορήσων αὐτὴν εἶμι καὶ εἶμι σώσων τὸν βίον. σώσων τὴν πόλιν —ᾤετο*:—

ib. *Ἄλλως* om. M.

15. *τὴν πόλιν*] In Gu. etiam voci *βίον* suprascriptum est *τὴν πόλιν*.

990. ἀλλ' εἶα χώρει: ἀλλ' ἄγε δὴ, σπεῦσον, ἄπελθε· μὴ σὺ σαυτὸν ἐμπόδιζε πρὸς τὴν σωτηρίαν. A.B.M.I. Ἄλλως. μὴ τὸ σὸν, ὅσον τὸ κατὰ σὲ, μὴ γενέσθω κώλυμα. I.

991.—1012. γυναῖκες, ὡς εὖ πατρός: λίαν καλῶς ἀπὸ τοῦ ἐμοῦ πατρὸς ἔλαβον τὸν φόβον κλέψας λόγοισιν, ἀπατήσας αὐτὸν διὰ λόγων ὥστε τυχεῖν ἐκείνων ἃ βούλομαι. Gr. ὦ γυναῖκες, λίαν ἐπιτηδείως καὶ καλῶς ἐξέβαλον τὸν φόβον τοῦ πατρὸς, διὰ λόγων ἀπατήσας αὐτὸν, ὥστε τυχεῖν ὧν βούλομαι· ὅστις ὁ πατὴρ φυγαδεύει καὶ ὑπεξάγει τῆς πόλεως, τῆς εὐτυχίας ἀποστερῶν με καὶ φόβῳ δίδωσιν ἐμέ. καὶ συγγνώμης ἄξιον τὸ πρᾶγμα τῷ πατρὶ, τὸ κατ' ἐμὲ δ' οὐδαμῶς συγγνώμην ἔχει, τὸ γενέσθαι προδότην τῆς πατρίδος, ἥτις ἐγέννησέ με. ἵνα οὖν γνῶτε, ἀπελεύσομαι, καὶ σώσω τὴν πόλιν, τὴν δὲ ζωὴν δώσω, ὥστε ἀποθανεῖν ὑπὲρ τῆσδε τῆς χθονός. αἰσχύνης γὰρ ἄξιον, ἐὰν οἱ τῶν μαντευμάτων ἐλεύθεροι καὶ ὑπὸ τῶν θεῶν μὴ ἀναγκαζόμενοι οὐκ ἀναβάλλονται ἀποθανεῖν παρὰ πόλεμον στάντες, καὶ ὑπὲρ τῆς πατρίδος ἔμπροσθεν τῶν πύργων μαχόμενοι, ἐγὼ δὲ, πατέρα καὶ ἀδελφὸν προδοὺς καὶ πόλιν τὴν ἐμαυτοῦ, ὡς ἄνανδρος ἔξω τῆς χθονὸς ἀπελεύσομαι· καὶ ὅπου ἂν ζῶ, κακότροπος φανήσομαι. οὐ ποιήσω τοῦτο, μὰ τὸν μετ' ἄστρων Ζῆνα, ὅστις τοὺς ἀναδοθέντας ποτὲ ἐκ τῆς γῆς σπαρτοὺς δεσπότας καὶ βασιλεῖς τῆσδε τῆς γῆς κατεστήσατο. ἀλλ' ἀπελεύσομαι, καὶ στὰς ἐκ τοῦ ἄκρου τῶν ἐπάλξεων, καὶ σφάξας ἐμαυτὸν εἰς τὴν θαλάμην τὴν σκοτεινὴν τοῦ δράκοντος, ὅπου ὁ Τειρεσίας διηγήσατο καὶ παρῄνεσε φονευθῆναι, ἐλευθερώσω τὴν γῆν. I.

992. κλέψας λόγοισι: ἀπατήσας, παραλογισάμενος. τὸ ἑξῆς, εἷλον ἃ βούλομαι τυχεῖν. M.

993. ὅς μ' ἐκκομίζει: ἐκπέμπει, τὴν πόλιν τῆς εὐτυχίας ἀποστερῶν. A.M. φυγαδεύει, ἐκπέμπει, ὑπεξάγει τῆς πόλεως, τῆς εὐτυχίας ἀποστερῶν με. B.

Idem supra vv. ἐξεῖλον φόβον v. 991. habet: οὐ γὰρ, ὡς ὁ πατὴρ προσέταξεν, οὕτως ἐποίησεν. MATTH.

1. ἀλλ' ἄγε δὴ (δὴ om. A.) addidi ex A.M.

ib. μὴ σὺ—σωτηρίαν] Similiter in Gn. μὴ σεαυτὸν ἐμπόδιζε ἀπὸ τῆς σωτηρίας σου. In B. rec. gl. μηδὲν ἐμποδίσας ἑαυτόν. In A. μὴ ἐμπόδιζε τὴν σὴν σωτηρίαν.

ib. σὺ om. M.

19. Ζῆνα] Sequuntur in I. τὸν ἥλιόν φησι—ὁδόντων οἱ σπαρτοί, quae v. in scholio v. 1006.

28. Gl. φυγαδεύει, ἐκπέμπει in M. et τῆς εὐτυχίας ad τύχης.

994. *δειλίᾳ δίδωσι*: λείπει τὸ ἐμέ. B.M.

996. *ἐγείνατο*: ἐγέννησεν. M.

997. *ὡς οὖν*: ἵν' οὖν. M.

998. ἐπιχείρημα ἀπὸ τοῦ ἐλάττονος. Gu.

999. *οἱ μέν*: λείπει τὸ εἰ, εἰ οἱ μὲν ἄνευ μαντείας μάχονται, οἷον ἐκτὸς μαντείας, ἀπηλλαγμένοι, ἀντὶ τοῦ οὐκ εἰς μαντείαν καλούμενοι. αὐτὸς γὰρ ἠναγκάζετο διὰ τὴν μῆνιν τῶν θεῶν. B.C.M. αἰσχρὸν γὰρ εἰ οἱ μὲν καὶ ἄνευ θεσπισμάτων μάχονται, αὐτὸς δὲ ἠναγκάζετο διὰ τὴν μῆνιν τῶν θεῶν. A.M. *θεσφάτων ἐλεύθεροι*: προτροπῆς χρησμῶν εἰς τὸ ἀποθανεῖν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. οὗτος γὰρ οὐκ ἐλεύθερος θεσφάτων, ἐπεὶ ὁ Τειρεσίας δεῖν εἶπε τοῦτον θανεῖν. Gu.

1000. *κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι*: οὐκ ἀναγκαζόμενοι ὑπὸ θεῶν ὑπὲρ πατρίδος τεθνάναι, ὥσπερ ἐγώ. Gu.

1002. *πάροιθεν*: ἔμπροσθεν. τοπικὸν ἐνταῦθα. λέγεται δὲ καὶ χρονικῶς ἐν ἄλλοις. Gr. Leid. Mosq.

1003. *ἐγὼ δὲ πατέρα*: εἰ γὰρ ἐξέλθω τῆς πόλεως ὥσπερ δειλός, αὐτὸς μὲν ἴσως σωθήσομαι, πατρὸς δὲ καὶ ἀδελφοῦ καὶ πόλεως προδότης γενήσομαι, ἀπολωλυίας αὐτῆς ὑπ' ἐχθρῶν, καὶ σὺν αὐτῇ κἀκείνων. Gu.

1005. *κακός*: δειλός. B. rec. Gr. καὶ τῶν οἰκείων προδότης. Gu.

1006. *μὰ τὸν μετ' ἄστρων Ζῆν' Ἄρην τε φοίνιον*: τὸν ἥλιόν φησι καὶ τὸν Ἄρην τὸν τοῦ ἐμοῦ φόνου αἴτιον. ὁ γὰρ Ἄρης αἴτιος τῶν σπαρτῶν, δράκοντα καταστήσας αὐτόθι φύλακα τῆς κρήνης, ἐξ

5. λείπει—ἀπηλλαγμένοι (ἀπηλαγμένοι C.) om. M. (qui gl. habet οἱ μὲν μαντείας ἀπηλλαγμένοι): verba λείπει—μάχονται post μῆνιν τῶν θεῶν habet B.

6. ἀντὶ τοῦ—] Lemma οὐκ εἰς ἀνάγκην δαιμόνων praefixum in M.

7. τῶν θεῶν] Sic non solum B.M, sed etiam C., cui τοῦ θεοῦ tribuit Valck.

8. εἰ οἱ] ὅτι οἱ A.

ib. μάχονται] καὶ οὐδὲ ἀνάγκην δαιμόνων addit A.

23. τὸν ἥλιόν φησι—οἱ σπαρτοί] Hoc scholion in I. insertum est paraphrasi v. 991—1012. post verba (p. 267, 19.) μὰ τὸν μετ' ἄστρων Ζῆνα. Verba τὸν ἥλιον—φόνου αἴτιον om. A.

24. καὶ τὸν Ἄρην (ἄρη I.) om. B.

ib. αἴτιον ante τοῦ ἐμοῦ φόνου habent B.I.

ib. ὁ γὰρ Ἄρης] ἄρη δὲ φόνιον, ἐπειδὴ οὗτος B.I.

ib. αἴτιος] φονικὸς I.

οὗ τῶν ὀδόντων οἱ σπαρτοί. A.B.M.I. *τὸν ἥλιόν φασι δεσπότην τῶν ἄστρων, τὸν ὄντα ἐν τοῖς ἄστροις θεὸν, τὸν αἴτιον τοῦ ἐμοῦ φόνου.* C.M.

1007. *ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας: ἐν Θήβαις ταῖς ἑπταπύλοις τῆς Βοιωτίας λέγεται ὅτι Κάδμος ἢ ἄλλος τις, λαβὼν τοὺς τοῦ Δελφικοῦ δράκοντος ὀδόντας, ἔσπειρον εἰς τὴν γῆν, (ἢ ἐνέσπειρεν) καὶ ἀνεδόθησαν ἔνοπλοι ἄνδρες· ἀνεδόθησαν δὲ ἀπὸ μηρῶν μέχρι τῶν ἄνω, καὶ οὕτως ἱστάμενοι ἐπολέμουν ἀλλήλοις καὶ τοῖς ἄλλοις.* Leid. *ὑπερτείλαντας: ἀνατείλαντας.* B.M.

1008. *σπαρτούς: Ἐχίων γὰρ εἷς τῶν σπαρτῶν Ἀγαυὴν τὴν Κάδμου θυγατέρα ἐγάμησε. λέγει οὖν ἄνακτας τῆσδε γῆς τοὺς σπαρτοὺς, οὐ κυρίως, ἀλλὰ καταχρηστικῶς· εἰ γὰρ πρῶτος μὲν βασιλεὺς Κάδμος, μετ' ἐκεῖνον δὲ Πολύδωρος, ἔπειτα Λάβδακος, καὶ τέταρτος Λάϊος, ὕστερον δὲ Οἰδίπους καὶ οἱ παῖδες ἐκείνου, τίν' ἔχει λόγον σπαρτοὺς ἄνακτας τῆσδε καλεῖν χθονός.* Gu. Bar. *ἱδρύσατο: δεσπότας ἔστησεν.* M. *κατεστήσατο δεσπότας.* B.T. *κατέστησε, παραγαγὼν δηλονότι· εἰ μὴ γὰρ παρήχθησαν, οὐδ' ἂν ἄνακτες ἐγένοντο. ὁ Ἄρης δὲ ἦν αἴτιος τῆς παραγωγῆς αὐτῶν, τὸν δράκοντα καταστήσας αὐτόθι φύλακα, ἀφ' οὗ αὐτοὶ γεγόνασιν.* Gr. Bar. Mosq.

1009. *ἀλλ' εἶμι: ἀπὸ κοινοῦ τὸ οὐκ ἄπειμι ἔξω χθονός.* A.B.M.T. *οὐκ ἐκφεύξομαι, ἀλλ' εἶμι πρὸς θάνατον* A.B.M.T. *ἐξ ἐπάλξεων ἄκρων: τῶν λίθων τῶν ἐπάνω τοῦ τείχους.* A.M. *ἀπὸ τοῦ τείχους.* B. *τῶν τειχῶν· ἐνταῦθα γὰρ ὁ σηκὸς ἦν τοῦ δράκοντος πλησίον.* Gu. Bar.

1. *σπαρτοί*] Pergit A. *ἄλλως. δεσπότας κατέστησεν. ἀπὸ κοινοῦ τὸ οὐκ ἄπειμι ἔξω χθονός.*

ib. *τὸν ἥλιον—ἄστρων*] Haec supra versum scripta sunt etiam in M. qui *δεσπότην* post *τῶν ἄστρων* collocat.

2. Post *τοῦ ἐμοῦ φόνου* sequitur in C. scholion superius *ὁ γὰρ Ἄρης —ὀδόντων οἱ σπαρτοί.*

6. *Δελφικοῦ*] Forte scribendum *Δελφίνου.* Sed emendatu vix dignum est hominis indocti scholion. VALCK.

13. *Λάβδακος*] *κάδμος* Gu.

16. *κατεστήσατο δεσπότας*] *δεσπότας* om. T. qui pergit *ἀπὸ κοινοῦ δὲ τὸ οὐκ* etc.

22. *οὐκ ἐκφεύξομαι* om. A.T.

ib. *ἀλλ' εἶμι*] *ἀλλ' ἄπειμι* A.T.

ib. *πρὸς* om. A.T.

ib. *θάνατον*] *θανάτου* A.

ib. *ἐξ* om. B.

ib. *ἐξ ἐπάλξεων*] *τῶν ἐπάλξεων* A. *τῶν ἐξεπάλξεων* T. Verba *ἐξ ἐπάλξεων ἄκρων* post *θάνατον* lecta lemma feci scholii proximi.

24. *τῶν τειχῶν* om. Bar. Idem *ἦν ὁ σηκὸς*, omisso *πλησίον.*

1010. *σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ*: *διαφέρει σηκὸς καὶ ἄδυτον. ὁ μὲν γὰρ σηκὸς ἐπὶ ἀνθρώπου τάφου, τὸ δὲ ἄδυτον ἐπὶ θεοῦ. Σωσιφάνης δὲ ὁ τραγικὸς ὑπὸ τοῦ Λαΐου φησὶ τεθνηκέναι τὸν Μενοικέα, Νικόστρατος δὲ ὑπὸ τῆς Σφιγγός. τὸ δὲ ἑξῆς, εἰς τὸν σηκὸν σφάξας ἐμαυτὸν ἀπὸ τῶν τειχέων, ὡς τοῦ σηκοῦ πλησίον τοῦ τείχους ὄντος.* A.B.C.M.I.

Σηκὸς ἔνθα ἱδρύετο τὸ ἄγαλμα· λέγεται σηκὸς καὶ ἔνθα ἐγκλείουσιν οἱ νομεῖς τὰ νεογνὰ, ὅταν τὰς μητέρας αὐτῶν ἀμέλγωσιν, ἢ εἰς νομὴν ἐκπέμπωσιν· ἀφ' οὗ ἐνταῦθα σηκὸς ὁ φωλεός. Gr. Cant. Leid. Florr. omnes. *μελαμβαθῆ*: *μέλανα, σκοτεινόν.* M. Gr. Florr. omnes. Mosq.

1011. *ὁ μάντις*: *ὁ Τειρεσίας.* B.M. *ἐξηγήσατο*: *ἐκέλευσεν.* M. Gu. *διηγήσατο.* Gr. *εἶπε γὰρ "δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς ἐγένετο Δίρκης ναμάτων ἐπίσκοπος, σφαγέντα φόνιον αἷμα γῇ δοῦναι χοάς."* B.C.I.

1012. *εἴρηται λόγος*: *πεπλήρωται ὁ λόγος* B. *ἐλέχθη ὁ λόγος. ἀπέρχομαι δὲ διὰ τοῦ ἐμοῦ θανάτου δῶρον οὐκ ἀπρεπὲς τῇ πατρίδι δώσων καὶ τοῦ κινδύνου ταύτην ἐλευθερώσων. εἰ γὰρ ἕκαστος ὃ κατὰ δύναμιν εἶχεν ἀγαθὸν εἰσέφερε τῇ πατρίδι, ἐκτὸς ἂν ἦσαν πᾶσαι κακοῦ αἱ πόλεις.* I.

1013. *στείχω δὲ θανάτου*: *λείπει ἡ διά· διὰ θανάτου δῶρον παράσχω τῇ πόλει οὐκ αἰσχρόν.* A.B.C.M.T. *οὐκ αἰσχρόν*: *ἀλλὰ*

1. *διαφέρει—ἐπὶ θεοῦ* om. I.

2. *γὰρ* et *τάφου* om. A.

ib. *ἀνθρώπου τάφου* M. *τάφου ἀνθρώπου* B. *τάφου τοῦ ἀνθρώπου* C.

3. *Σωσιφάνης—Σφιγγός*] Haec in C. et a m. rec. A. leguntur etiam post scholion v. 971.

ib. *δὲ* om. A. (hic: sed habet supra) I.

ib. *Λαΐου*] *λαοῦ* C. [et A. supra] non absurde. Quod de Menoeceo Nicostratus, de fratre Menoecei Haemone plures tradiderunt, a Sphinge fuisse contrucidatum: hanc Laïi filiam qui dixerit praeter Lysimachum in Paradoxis Thebaicis neminem novi: vid. schol. ex Aug. cod. vulgatum ad Phoen. v. 26. VALCK.

4. *τὸ δὲ ἑξῆς—τοῦ τείχους ὄντος* om. C.

ib. *τὸ δὲ ἑξῆς* om. B.I., qui lemma praefigunt *σηκόν*.

ib. *εἰς τὸν σηκὸν* om. M.

5. *ἐμαυτὸν*] *ἐμβῶ τῶν* A.

9. *ἐκπέμπωσιν*] *ἐκπέμπουσιν* Gr.

10. *μέλανα, σκ.* M. *τὸν μέλανα, τὸν σκ.* ceteri. *σκοτεινὸν* etiam B.

13. *εἶπε γὰρ*] *ὅπου ὁ μάντις ἐξήγησεν* (*ἐξηγήσατο* Valck.) *εἶπε γὰρ* I. *εἶπε γὰρ* om. C. Idem et Gu. *θαλάμοις*.

ib. *δεῖ τόνδε—σφαγέντα*] Haec etiam in Gu. supra versum scripta.

14. *γῇ* om. C.

21. *διὰ θανάτου*] *μου* add. A.C.

22. *παράσχω τῇ πόλει* M. *τῇ πόλει παρέξω* B C.T.

εὐπρεπὲς δηλονότι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἀλλὰ καλὸν καὶ λυσιτελές, τίμιον. Gu.

1015.—1018. εἰ γὰρ λαβών: εἰ γὰρ ἕκαστος, φησὶν, ὁ κατὰ δύναμιν εἶχεν ἀγαθὸν εἰσέφερε τῇ πατρίδι, ἐκτὸς ἂν ἦσαν κακῶν αἱ πόλεις. A.B.C.M. εἰ γὰρ ἕκαστός τις ὅ τι ἂν δύναιτο χρηστὸν λαβὼν τοῦτο γυμνάσαιτο καὶ τῇ πατρίδι φέροι εἰς μέσον πάντων, αἱ πόλεις ἂν κατὰ τὸ ἔμπροσθεν εὐτυχοῖεν πεῖραν λαμβάνουσαι, ἀπολαύουσαι βλαβῶν ἐλαττόνων ἢ νῦν δηλονότι πειρῶνται. Gr. Cant. Florr. αὕτη ἡ κατασκευὴ πρὸς τὸ "οὐκ αἰσχρόν," τοῦτο δὲ κατὰ πρῶτον μὲν μερικῶς ἐξήνεγκε, ἔπειτα δὲ καθόλου, πρῶτον μὲν "εἰς κοινὸν φέρει πατρίδι" εἰπών, ἔπειτα δὲ "κακῶν αἱ πόλεις ἐλασσόνων." ὁ δὲ νοῦς· ἐὰν ἕκαστός τις τῶν πολιτῶν ὡς δύναιτο εἰς καιρὸν βίου ὑπὲρ πατρίδος σπουδάζῃ, ὀλίγου τινὸς πειραθεῖσαι τότε αἱ πόλεις κακοῦ, εἰς ἃς ἡ τοιαύτη σπουδὴ γίνεται, εὐτυχεῖς ἂν εἰς τὸ ἑξῆς. ἐπεὶ δὲ τὸ συμφέρον τῆς πόλεως καὶ διὰ συμβουλῆς καὶ δι' ἔργου γίνεται, πρὸς μὲν τὸ διὰ συμβουλῆς ἔθηκε τὸ διέλθοι, πρὸς δὲ τὸ δι' ἔργου τὸ φέρει. λάμβανε δὲ τὸ εἰς κοινὸν πρὸς τὸ διέλθοι κατὰ συνεκδοχήν. Gu.

λαβών: κτησάμενος. M.

1016. διέλθοι τοῦτο: μεταχειρίζοιτο καὶ εἰς μέσον φέροι, τουτέστι διεξέλθοι καὶ μεταχειρίζοιτο τοῦτο. A.M.T. μετέλθοι, γυμνάσαιτο, ἀσκῆσαι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1018. πειρώμεναι: ἀποπειρώμεναι. M.

1019.—1042. ἔβας: ἦλθες, ἦλθες, ὦ πτερόεσσα Σφὶγξ, γέννημα μὲν τῆς τῶν Θηβαίων γῆς—ἐνταῦθα γὰρ ἐγεννήθης—λόχευμα δὲ τοῦ Τυφῶνος καὶ τῆς καταχθονίου Ἐχίδνης, ἐπὶ ἁρπαγῇ τῶν Θηβαίων, πολλῶν στεναγμῶν αἰτία, πολύφθορε, μιξοπάρθενε, (ἔχεις γὰρ τὰ μὲν παρθένου, τὰ δὲ θηρός, ξένης καὶ παραδόξου φύσεως) φονικὸν τέρας τοῖς τε φοιταλέοις καὶ μανικοῖς πτεροῖς καὶ τοῖς ὄνυξι τοῖς ὠμὰ τὰ κρέα ἁρπάζουσι πρὸς σίτησιν. ἥτις πεδαίρουσα τοὺς νέους,

3. εἰ γὰρ ἕκαστος, φησὶν, ὁ B. et qui φησὶν post εἰ γὰρ habet C. εἰ ἕκαστος ὁ A.M.

ib. κατὰ] μετὰ C.

4. πατρίδι] πόλει M.

ib. ἂν ἦσαν—πόλει] ἦσαν ἂν—πόλεις πᾶσαι C.

6. φέροι] φέρει Gr.

20. διέλθοι—] Similiter in C. χρηστὸν ἐξέλθοι (sic): εἰς μέσον φέροι, μεταχειρίζοιτο καὶ εἰς μέσον φέροι.

21. τοῦτο om. M.T.

ἀπὸ τῆς γῆς εἰς ὕψος αἴρουσα ποτὲ ἐκ τῶν τόπων τῆς Δίρκης, ἤτοι ἐκ τῶν Θηβῶν, περιῆγες καὶ περιέφερες ἄναυλον καὶ ἀνήδονον ᾠδὴν, λέγω φόνους καὶ λύπας ταῖς Θήβαις. ὁ ἐκ θεῶν ταῦτα πράξας αὐτὸς φόνιος ἦν. αἱ δὲ ἰάλεμοι τῶν παρθένων καὶ τῶν μητέρων ἐστέναζον ἐν τοῖς οἴκοις, πενθοῦσαι αἱ μὲν τὰ τέκνα, αἱ δὲ τοὺς ἀδελφοὺς, θρηνητικὴν βοήν. ἄλλος ἄλλην ἐθρήνει· ὁ στεναγμὸς δὲ καὶ ἡ ἠχὴ βροντῇ ὑπῆρχεν ὅμοιος, ὅταν ἀναρπάσειεν ἡ Σφὶγξ ἀπὸ τῆς πολεώς τινα τῶν ἀνδρῶν, θρῆνος καὶ βοὴ ἐγένετο. I.

Ἦλθες, ὦ πτερόεσσα Σφὶγξ, γέννημα τῆς γῆς καὶ τῆς καταχθονίου Ἐχίδνης ἐπὶ ἁρπαγῇ τῶν Καδμείων, πολλῶν στεναγμάτων αἰτία, πολλῶν μόχθων αἰτία, ἐκ θηρίου καὶ γυναικὸς συντεθειμένη, ζῶον ξένης καὶ παρὰ φύσιν διαπλάσεως πολέμιον, ἥτις ποτὲ ἐκ τῶν τόπων τῶν τῆς Δίρκης τοὺς νέους μεταίρουσα ἐπέφερες κακόλυρον μοῦσαν καὶ ἀξίαν ἀπωλείας Ἐριννὺν, λέγω λύπας τῇ πατρίδι, ἤγουν ταῖς Θήβαις, ἐπὶ τοῖς φόνοις. φόνιος θεὸς ἦν ἐκεῖνος ὃς ἦν ὁ τάδε πράξας. ὁ Ἄρης δὲ μηνίσας διὰ τὸν φόνον τοῦ δράκοντος ἐπήγαγεν αὐτοῖς τὴν Σφίγγα. θρῆνοι δὲ μητέρων ἐπὶ τέκνοις, θρῆνοι δὲ παρθένων ἐπὶ μητράσιν ἐποίουν ἐπὶ τοῖς οἴκοις θρηνητικὴν βοὴν, θρηνητικὸν μέλος. ἄλλος ἐπ' ἄλλον ἐσχετλίαζε κατὰ διαδοχὴν ἐν τῇ πόλει. βροντῇ δὲ ἦν ὅμοιος ὁ στεναγμὸς καὶ ἡ βοὴ, ὁπότε ἡ πτερόεσσα παρθένος, ἤγουν ἡ Σφὶγξ, ἠφάνισέ τινα ἀπὸ τῶν ἀνδρῶν τῆς πόλεως. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

Ὦ πτεροῦσσα καὶ ἐπτερωμένη Σφὶγξ, λόχευμα καὶ γέννημα τῆς γῆς τῶν Θηβαίων. ἐνταῦθα γὰρ ἐγεννήθη, καὶ τῆς νερτέρου καὶ τῆς ἐν νεκροῖς Ἐχίδνης. θανάτου γὰρ αἰτία εἶ, μιξοπάρθενος καὶ τὸ ἥμισυ παρθένου ἔχουσα, δάϊον καὶ ἀφανιστικὸν τέρας, δάϊον μὲν ὡς ἀφανιστικὴ, τέρας δὲ ὡς πρόσωπον μὲν παρθένου ἔχουσα, χεῖρας δὲ καὶ πόδας καὶ στῆθος λέοντος, πτερὰ δὲ ὄρνιθος, οὐραῖον δὲ δράκοντος, σὺ οὖν, ὦ Σφὶγξ, ἦλθες, ἦλθες ἐν φοιτάσι καὶ μανικοῖς πτεροῖς, καὶ ἐν χηλαῖς καὶ ὄνυξιν ὠμοσίτοις καὶ φονικοῖς ἐπὶ ἁρπαγῇ τῶν Καδμείων, πολύφθορος, πολύστονος, ἤτοι πολλὰς φθορὰς καὶ στεναγμοὺς ποιοῦσα ἐνταῦθα διὰ τῆς ἁρπαγῆς. ἅ ποτε καὶ ἥτις ἔφερες ἔφερες τῇ πατρίδι, ἤτοι ταῖς Θήβαις, ἄχεα καὶ θλίψεις φόνια καὶ φονικὰ, πεδαίρουσα καὶ εἰς ὕψος ἐκ γῆς αἴρουσα νέους ἐκ τῶν Διρκαίων τόπων, ἤτοι τῶν Θηβῶν, περὶ μοῦσαν καὶ ᾠδὴν ἄλυρον καὶ κακόμουσον καὶ

ἄλλην ποταπὴν Ἐριννὺν οὐλομένην καὶ φθοροποιόν. ἡ γὰρ σὴ μοῦσα, ἤτοι τὰ ἔμμετρα αἰνίγματα, ἄλυρος καὶ κακόμουσος ἦν καὶ Ἐριννὺς οὐλομένη δι' οὓς προὐξένει θανάτους. ὅστις ἐκ τῶν θεῶν ἦν καὶ ὑπῆρχεν ὁ ταῦτα πράξας, τὸ τοῖς Θηβαίοις λέγω ἐπελθεῖν τὴν Σφίγγα καὶ φθείρειν αὐτοὺς, (ἦν δὲ ὁ Ἄρης διὰ τὸν φόνον τοῦ υἱοῦ αὐτοῦ τοῦ δράκοντος) φόνιος ἦν. εἰκότως δὲ ὁ Ἄρης τοιοῦτος καλοῖτ' ἂν, καὶ δι' οὓς ποιεῖ φόνους καὶ διὰ τὰς τῆς Σφιγγὸς φονικὰς ἁρπαγάς. ἰάλεμοι δὲ καὶ θρῆνοι παρθένων ἐστέναζον ἐν τοῖς οἴκοις, ἰάλεμοι δὲ καὶ θρῆνοι μητέρων, ἰήϊον καὶ θρηνητικὴν βοὴν, ἰήϊον μέλος, τουτέστιν ὁπότε ἡ Σφὶγξ τοῖς Θηβαίοις ἐπεχωρίαζεν, ἐστέναζον μὲν αἱ μητέρες διὰ τοὺς σφετέρους παῖδας ἁρπαζομένους ὑπ' αὐτῆς, ἐστέναζον δὲ αἱ παρθένοι, πατέρων αὐταῖς καὶ ἀδελφῶν καὶ ἑτέρων νέων, οὓς ἔμελλον συνοίκους κτήσεσθαι, ἀθλίως ὑπ' ἐκείνης ἀπολλυμένων. ἄλλος ἄλλον ἀνὰ τὴν πόλιν ἐπωτότυζε καὶ ἐθρήνει ἐν διαδοχαῖς· διεδέχετο γὰρ ἄλλος ἄλλον ταῖς συμφοραῖς, νῦν μὲν ἐκείνου, νῦν δὲ ἐκείνου σπαραττομένου ταῖς ἁρπαγαῖς. ἦν δὲ καὶ ὑπῆρχε στεναγμὸς ὅμοιος βροντῇ καὶ ἰαχῇ καὶ θρηνώδης βοὴ, ὁπότε ἀφανίσειε καὶ ἠφάνισε τινὰ τῶν ἀνδρῶν τῆς πόλεως ἡ πτεροῦσσα καὶ ἐπτερωμένη παρθενόμορφος Σφίγξ. Gu.

1019. ἔβας, ἔβας, ὦ πτεροῦσσα: ἐπορεύθης, ὦ πτερωτὸν γῆς θρέμμα καὶ γέννημα. B.C.

ἔβας ἔβας: πρὸς οὐδὲν ταῦτα· ἔδει γὰρ τὸν χορὸν οἰκτίσασθαι τὸν θάνατον τοῦ Μενοικέως, ἢ ἀποδέχεσθαι τὴν εὐψυχίαν τοῦ νεανίσκου. ἀλλὰ τὰ περὶ Οἰδίπου καὶ τῆς Σφιγγὸς διηγεῖται τὰ πολλάκις εἰρημένα. A.B.C.M.T.I. λόχευμα δὲ γέννημα. πτεροῦσσα:

14. ἐπωτότυζε] ἐπετότυζε Gu.

20. πτερωτὸν] πτερωτὴ B.

23. τὸν θάνατον B.M.T. καὶ τὸν θάνατον I. διὰ τὸν θάνατον A.C. quod recepit Valck. qui interpretatur, *lamentari chorus debuerat, atque adeo spectatores ad commiserationem movere propter mortem Menoecei.*

ib. τοῦ Μενοικέως] τοῦ om. B.C.T.I.

ib. εὐψυχίαν C M.T. εὐτυχίαν A. B.I.

24. ἀλλὰ τὰ] ἀλλὰ τὸ I.

ib. περὶ οἰδίπου A. περὶ οἰδίπουν B. M.T.I. μετὰ οἰδίπου C.

ib. τῆς σφιγγὸς A.M. τὴν σφίγγα ceteri.

ib. διηγεῖται A.M. διηγοῦνται ceteri.

25. λόχευμα—Τυφῶνος] In M. glossemata, πτεροφόρε et γέννημα· ἐκ γῆς γὰρ ἀνεδόθη, et scholion, γέννημα· ἐκ γῆς γὰρ ἀνεδόθη. γέγονε γὰρ ἡ σφὶγξ ἐχίδνης καὶ τυφῶνος. Verba ἡ δὲ σφὶγξ γέγονε ἐχίδνης καὶ τυφῶνος sunt etiam in C. post superiora ὦ πτ. γῆς θρέμμα καὶ γέννημα. In A. est γᾶς λόχευμα: γέννημα. ἀντὶ τοῦ ὦ πτεροφόρε γῆς γέν-

ἀντὶ τοῦ ὦ πτεροφόρε. ἡ δὲ Σφὶγξ γέγονεν Ἐχίδνης καὶ Τυφῶνος. μιξοπάρθενον δὲ ἐπειδὴ τὰ μὲν παρθένου εἶχε, τὰ δὲ θηρίου. B.

γᾶς λόχευμα: παρόσον ἐν ὄρεσι διατρίβουσα τὸ πρὶν καὶ μὴ φαινομένη ἐξαίφνης ἐπέστη τοῖς Θηβαίοις, διὰ τοῦτο ἔδοξεν οἷον ἐκ γῆς ἀναδοθῆναι. A. Fl. 33.

1020. νερτέρου: γέγονε γὰρ ἡ Σφὶγξ Ἐχίδνης καὶ Τυφῶνος. οὗτος δὲ ὁ Τυφὼν εἷς ἦν τῶν Τιτάνων, οὓς ὁ Ζεὺς ἐκεραύνωσε, καὶ αὐτὸν δὲ ἐν τῷ Αἴτνῃ κατεκεραύνωσεν, ὅθεν ἔκτοτε ἐν τῷ Αἴτνῃ τὸ πῦρ ὑπανάπτεται. A. σκοτεινῆς. Fl. 33. νερτέρου Ἐχίδνης γέννημα λέγει τὴν Σφίγγα, ὡς θανάτου αἰτίαν. Gu. Ἐχίδνης: ἐκ Τυφῶνος γὰρ καὶ Ἐχίδνης ἡ Σφίγξ. Gr.

1021. Καδμείων ἁρπαγᾷ: λείπει ἡ ἐπί, ἐπὶ ἁρπαγῇ τῶν Θηβαίων. B.M. πολύφθορος δὲ ἀντὶ τοῦ πολλοὺς φθείρουσα. M.

1022. τὸ πολύστονος καὶ τὰ ἑξῆς πρὸς τὸ ἔβης ἀποδίδοται, ἤγουν ἔβης πολύστονος, πολύμοχθος. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. πολλῶν στεναγμῶν αἰτία, πολλῶν μόχθων αἰτία. Gr. πολλὰς φθορὰς καὶ πολλοὺς στεναγμοὺς ποιοῦσα ἐκ τῆς ἁρπαγῆς. Gu.

1023. δάϊον τέρας: πολέμιον σημεῖον. B.M.

1024. φοιτάσι: μεμηνόσιν. M. Gr. Florr. iidem. ὁρμητικοῖς. Gu. Fl. 33.

φοιτᾶσι: συναλιφὴ ἀπὸ τοῦ φοιτήσεσι. B.M. φοιτᾶσιν: ὁρμητικῶς, φοιτητικῶς, οἷς ἐφοίτα καὶ διίπτατο. Ἄλλως. ἥτις γὰρ ἡ Σφὶγξ ἐν τοῖς πανταχοῦ πετομένοις σου πτεροῖς καὶ ἐν ταῖς σιαγόσιν ὠμὰ τὰ σώματα σιτουμέναις μετεωρίζουσα καὶ ἐξαίρουσα καὶ ἁρπάζουσα ἐκ τῶν Διρκαίων πότων, ἤτοι ἀπὸ τῶν Θηβῶν, τοὺς νέους διὰ τὴν ἄλυρον καὶ ἀνήδυντον καὶ ἀνάρμοστόν σου μοῦσαν, ἤτοι διὰ τὸ αἴνιγμά σου καὶ τὴν τιμωρίαν, τὴν ἀπώλειαν τοῖς ἀνθρώποις ἐμποιοῦσαν ἔφερεν ἄχεα τῇ πατρίδι φόνου προξενητική. A.

1025. χαλαῖσί τ' ὠμοσίτοις: τοῖς ὄνυξι τοῖς ὠμὰ τὰ κρέα ἁρπάζουσι πρὸς σίτισιν. A.B.M. ὠμοσίτοις δὲ ὁρμητικοῖς, φοιτητικοῖς, οἷς ἐφοίτα καὶ διίπτατο. B.

νημα. ἄλλως. παρόσον ὅτι ἐν ὄρεσι— ἀναδοθῆναι.

p. 273. l. 25. πτεροῦσσα ante ἀντὶ τοῦ om. B.

21. φοιτᾶσι] Hoc accentu B.M. in textu.

29. τοῖς ὄνυξι] χαλαῖσι δὲ τοῖς ὄνυξι B., omisso lemmate.

ib. τὰ om. A.M.

30. σίτισιν] σίτησιν M.

1025. *χαλαῖσι*: *χαλαῖσι νῦν ταῖς σιαγόσιν, οἱ δὲ τοῖς ὄνυξι, τὰ ὠμὰ κρέα ἁρπάζουσι καὶ σιτουμένοις.* Fl. 33. *ὠμοσίτοις*: *θηριώδεσιν.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *φονικαῖς.* Gu. *τὰ γὰρ ἁρπαζόμενα ὑπ' αὐτῆς ὠμὰ ἐσιτοῦντο.* Gu.

1026. *Διρκαίων ἅ ποτ' ἐκ τόπων*: *ἐκ μέρους τὸ πᾶν, ἀντὶ τοῦ ἀπὸ τῶν Θηβῶν.* B.M. *ἥτις ποτὲ Σφὶγξ ἀπὸ τοῦ πεδίου μετεωρίζουσα καὶ αἴρουσα πόνους καὶ λύπας ταῖς Θήβαις προσέφερες.* C.

1027. *πεδαίρουσα*: *ἀπὸ τῆς γῆς εἰς ὕψος αἴρουσα.* B. rec. *περισσὴ ἡ σύνθεσις τοῦ πέδου, ἐπεὶ ἔχει τὸ ἐκ τόπων. ἔστιν οὖν τὸ πεδαίρουσα ἀντὶ τοῦ μεταίρουσα.* Gr. Florr. iidem.

1028. *ἄλυρον ἀμφὶ μοῦσαν*: *ἄλυρον μοῦσαν τὸν θρῆνον, παρόσον πρὸς αὐλὸν, οὐχὶ πρὸς λύραν, ᾖδοντο οἱ θρῆνοι, ἱεροὶ Ἀπόλλωνος νομιζόμενοι. ἀπενθὴς δὲ θεὸς ὁ Ἀπόλλων. Αἰσχύλος "τί ταῦτ' ἀνωλόλυξας ἀμφὶ Λοξίου; οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν." ἡ ἀμφὶ δὲ πρὸς τὸ ἔφερες, τουτέστι, περιέφερες δὲ, περιῆγες ἄναυλον καὶ ἀνήδονον ᾠδήν. λέγει δὲ τὸ αἴνιγμα.* A.B.C.M.T.I. *ἀμφί*: *διά.* B. rec. *ἢ διὰ τοὺς γινομένους θρήνους, ἢ διὰ τὸ αἴνιγμα.* B. M.T. *ἡ ἀμφί ἀντὶ τῆς ἐπί, ἵν' ᾖ κακόλυρον μοῦσαν ἐπέφερες.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1029. *Ἐρινννύν*: *Ἐρινννὺς ἡ κατάρα, καὶ ἀπὸ τούτου Ἐρινννύες,*

2. In M. *χαλαῖσι πτεροῦσιν. νῦν σιαγόσιν σιτουμένοις.* Gl. *σιαγόσιν* in B.

5. *ἀντὶ τοῦ* om. M.

6. *ἀπὸ*] *ἐκ* B.

ib. *ἥτις ποτὲ σφὶγξ* etiam in B., sed supra ante *ἐκ μέρους.*

7. *αἴρουσα*] *εἰς ὕψος* addunt A.T. qui sola verba habent *ἀπὸ τοῦ πεδίου— αἴρουσα εἰς ὕψος:*, post sequentis scholii verba *πρὸς τὸ ἔφερες* posita, praefixo *ἄλλως.* Idem scholion *ἀντὶ τοῦ ἐκ τοῦ πεδίου μ. κ. αἴ. εἰς ὕψος :—* est in B. (post *τῶν Θηβῶν*).

11. Lemma *ἄλυρον ἀμφὶ μοῦσαν* addidi ex A.M.

12. *ᾔδοντο οἱ θρῆνοι* A.B.C.M. *ᾔδοντο οἱ ὕμνοι* I. *ᾖδον τὸν θρῆνον* T.

ib. *ἱεροὶ — νομιζόμενοι* M. *ἱερὰν— νομιζομένην* B.T.I. *ἱερὸς* (sic)—*λογιζομένην* C.

13. *ἀπενθὴς*] *ἄπενθº* (i. e. *ἄπενθος*) C.

ib. *ὁ Ἀπόλλων*] *ὁ* om. A.

ib. *Αἰσχύλος*] Agam. 1074. ubi *ἀνωτότυξας*, ut postulat praecedens *ὀτοτοτοῖ τοτοῖ.*

14. *θρηνητοῦ*] *θρηνειτοῦ* A. *θρηνεῖν* M.

15. *τουτέστι περιέφερες—τὸ αἴνιγμα* om. M. In I. nihil praeter *περιέφερες ᾠδήν. λέγει δὲ τὸ αἴνιγμα.* In C. separatum scholion, *ἄλυρον. ἡ ἀμφὶ ἀντὶ τῆς πρὸς, προσέφερες καὶ περιῆγες ἄναυλον καὶ ἀνήδονον ᾠδήν. λέγει δὲ τὸ αἴνιγμα. ἄλλως. ἄλυρον μοῦσαν τὸν θρῆνον* et reliqua quae supra leguntur. In A. est *τουτέστιν περιέφερες καὶ περιῆγες—λέγει δὲ τὸ αἴνιγμα.*

17. *γινομένους* om. M. In Gu. est scholion *τοὺς γινομένους θρήνους διὰ τὰ αἰνίγματα.*

ib. *τὸ αἴνιγμα*] *τὰ αἰνίγματα* M.T.

αἱ ἔφοροι τῶν καταρῶν θεαὶ παρ' Ἕλλησιν· ἐνταῦθα δὲ Ἐριννὺν οὐ τὴν κατάραν λέγει, οὐδὲ τὴν ἔφορον τῶν καταρῶν θεὰν, ἀλλὰ τὰ δάκρυα καὶ τοὺς φόνους οὕτω φησὶ κατὰ μεταφορὰν, ἐπεὶ ἀπὸ τῶν καταρῶν ἐνίοτε καὶ δάκρυα καὶ φόνοι συμβαίνουσιν. Gr. Leid. Florr. iidem. ὀλομέναν τ' Ἐριννύν: ἀπολομένην ἀπώλειαν. M. ἀπώλειαν. B. φθοροποιόν. ἐπειδὴ φθορᾶς αἰτία ἦν ἡ μοῦσα, διὰ τοῦτο Ἐριννὺν οὐλομένην αὐτὴν λέγει. Gu.

1030. ἔφερες ἔφερες: ὦ Σφὶγξ, ἥτις Ἐρινὺς ἄχεα ἦν τῇ πατρίδι. ἢ καὶ Ἐρινὺν καὶ ἄχεα φόνου λέγει ταῖς Θήβαις ἀντὶ τοῦ τὰ λύπης αἴτια καὶ φόνου κατὰ τῆς πατρίδος ἔφερες. A.M.

ἄχεα πατρίδι φόνια: τινὲς τὸ φόνια πρὸς τὰ ἑξῆς, ὃς τάδε τὰ φόνια πράξας φόνιος ἦν θεός. A.B.I. λέγω ἄχη, ἤγουν λύπας. Gr. θλίψεις. Gu. πατρίδι: τῇ γῇ. Gu.

1031. φόνια: φονικά. Gu. φόνιος: φονίως ὁ θεὸς ἐκεῖνος. Gu. ἐπὶ τοῦ φόνου φόνιος ἀπὸ τῶν θεῶν ἦν ἐκεῖνος, ἤγουν φόνιος θεός. Gr. ἐπὶ φόνοις. Fl. 5. 6. 9. 21. 56. 59. 76.

φόνιος ἐκ θεῶν: ὁ ἐκ θεῶν ταῦτα πράξας φόνιος ἦν αὐτός. A.B.C. M.I. παρόσον τὴν Σφίγγα ὁ Διόνυσος ἔπεμψε τοῖς Θηβαίοις ὡς ἐναντίον λέγειν. C.M.

1034. ἰάλεμοι δὲ παρθένων: ἢ πρὸς τὸ παρθένων στικτέον, ἢ τὸ ἰάλεμοι πρὸς τὸ ἐστέναζον συντακτέον. καὶ μὴ ξενισθῇς ἀκούων τὸ ἐστέναζον ἰάλεμοι· πολλὰ γὰρ τοιαῦτα παρὰ ποιηταῖς εὕρηται. Gu.

1035. ἐστέναζον οἴκοις: οἱ δὲ θρῆνοι ἐστέναζον ἐν τοῖς οἴκοις.

2. οὐδὲ τὴν] οὐδὲ μὴν Gr. et Florr.

9. τοῦ τὰ λύπης αἴτια καὶ φόνου] τὰς λύπας τὰς ἐπιφόνου γενομένας: A.

11. τινὲς τὸ] λέγω φόνους καὶ λύπας ταῖς θήβαις. (Haec jam supra in paraphrasi ad v. 1019.) τινὲς δὲ τὸ I.

ib. φόνια—τὰ ἑξῆς] φόνιον—τὸ ἑξῆς A.

ib. τάδε τὰ—θεός] Haec etiam in M. cum lemmate φόνια φόνιος ἐκ θεῶν.

12. θεός] ὁ θεός M.

17. ὁ ἐκ θεῶν—] ἄλλως praefixum in A.M.

ib. φοίνιος—(φόνιος B.) ἦν αὐτός B. M. αὐτὸς φόνιος ἦν I. οὗτος φόνιος ἦν C. φόνιος ἦν οὗτος A. Post φόνιος pergit I. αἱ δὲ ἰάλεμοι τῶν παρθένων—δασύνεται, quae v. ad v. 1035.

19. ἐναντίον M. ἐναντεία (sic) C. unde ἐναντία Valck. "Socrates apud schol. ad v. 45. Sphinga mulierem fuisse tradit fatidicam, δύσγνωστα μαντευομένην, ἅπερ ἀγνοοῦντες οἱ Θηβαῖοι καὶ ἐναντίως αὐτοῖς χρώμενοι ἀπώλλυντο." VALCK.

23. οἱ δὲ θρῆνοι—] Pars hujus scholii est in C. ἰάλεμοι οἱ θρῆνοι ἐστέναζον τοῖς οἴκοις πενθοῦσαι αἱ μὲν τὰ τέκνα, αἱ δὲ ἀδελφούς:—In M. est ἰήϊον μέλος: θρηνητικὴν βοήν. ἐπὶ μὲν θρήνων ψιλοῦται, ἐπὶ δὲ παιώνων δασύνεται. In I. αἱ (sic) δὲ ἰάλεμοι τῶν—

ἔνιοι δὲ οὕτως, οἱ δὲ ἰάλεμοι τῶν παρθένων καὶ τῶν μητέρων ἐστέναζον ἐν τοῖς οἴκοις πενθοῦσαι αἱ μὲν τὰ τέκνα, αἱ δὲ τοὺς ἀδελφούς. A. B.M.I. ἐστέναζον καὶ ἐστενάζοντο οἱ ἰάλεμοι θρῆνοι τῶν μητέρων καὶ τῶν πατέρων διὰ τὴν βοὴν καὶ τὴν μοῦσαν καὶ τὴν λαλιὰν τῆς Σφιγγὸς τὴν ἤϊον καὶ λοξὴν, παρόσον ὁ ἤϊος ὕμνος τῷ Λοξίᾳ Ἀπόλλωνι ᾄδεται. ἢ οὕτως. ἐστέναζον ἰάλεμοι τῶν πατέρων καὶ τῶν μητέρων, ἤτοι τὴν θρηνητικήν. τὸ γὰρ ὦ τὸ σχετλιαστικὸν λέγεται καὶ ἰὼ καὶ ἰή. εὑρίσκεται γὰρ ἐν τοῖς ποιηταῖς οὕτως, ἰὴ ἰή, ὡς τὸ ἰὼ καὶ ἰώ. A. ἰήϊον δὲ βοὰν θρηνητικὴν βοήν. διὸ ἐπὶ μὲν θρήνων ψιλοῦται, ἐπὶ δὲ παιάνων δασύνεται. A.B.M.I. ἀντὶ τοῦ ἐποίουν, ἀνέπεμπον. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1036. ἰήϊον βοάν: ἐθρήνει θρηνητικὴν βοήν. M.

1037. ἰήϊον μέλος: θρηνητικόν. Gr. ἀπὸ τοῦ ἰώ, ὃ σημαίνει τὸ φεῦ καὶ τροπῇ τοῦ ω εἰς η ἰήϊον. Fl. 21. ἀπὸ τοῦ ἰώ τὸ φεῦ. τοῦτο ἐπὶ μὲν θρήνων ψιλοῦται, ἐπὶ δὲ παιώνων δασύνεται. Gu. ἰήϊον βοάν: ἢ θρηνητικὴν, ἢ λοξὴν, διότι καὶ τῷ Λοξίᾳ Ἀπόλλωνι τοιοῦτος ὕμνος ᾖδετο. καὶ τὸ αἴνιγμα τοιοῦτον ἦν. Fl. 33. ἀφανιστικήν. idem. παιάνιον φωνήν. παιὰν δέ ἐστιν ᾆσμα ᾀδόμενον ἐπὶ καταπαύσει λοιμοῦ ἢ δεινῶν τινων. B. Fl. 33. εἰ μὲν συνταχθῇ βοὴν ἰήϊον ἀντὶ τοῦ λοξὴν, συντακτέον οὕτως, διὰ τὴν βοὴν τὴν ἰήϊον· εἰ δ' ἄλλως, ἄνευ προθέσεως. Fl. 33.

1038. ἄλλος ἄλλον ἐπωτότυζεν: ἄλλος ἄλλον ἐθρήνει, ὁ στεναγμὸς δὲ καὶ ἡ ἠχὴ βροντῇ ὑπῆρχεν ὅμοιος. I. ἄλλος ἐπ' ἄλλον ἐθρήνει, ἐσχετλίαζεν, ἀπὸ τοῦ ὀττοτοί. Gr. Fl. 21. ἔκλαιε. Gu.

1040. βροντᾷ: ὁ δὲ στεναγμὸς βροντῇ ἦν ἐφόμοιος. B.M.

1041. ὁπότε πόλεος ἀφανίσει': ἁρπάσειεν. οἷον, ὁπότε ἀφαρ-

αἱ δὲ τοὺς ἀδελφούς. ἰήον (sic) δὲ βοὰν θρηνητικὴν βοὴν διὸ ἐπὶ μὲν θρήνων—δασύνεται.

p. 276. l. 23. ἐστέναζον (ἐστέναξαν B.) om. M. in quo lemma est ἰάλεμοι.

1. ἔνιοι—οἱ δὲ ἰάλεμοι om. M.

ib. ἐστέναζον] γὰρ addit M.

2. τοὺς om. B.

9. ἰήϊον—δασύνεται hic om. M., sed habet in scholio ad ἰήϊον μέλος, ut modo diximus. In A est ἰήϊον βοάν: θρηνητικὴν βοήν. ἐπὶ μὲν οὖν θρήνων—δασύνεται.

10. παιάνων] παιώνων B.I., quod in proxima recentioris scholiastae annotatione intactum reliqui.

18. παιάνιον B. παιώνιον Fl. 33.

22. ἄλλον ἐ.] ἄλλην ἐ. I.

25. ἐφόμοιος] ὅμοιος M. In Gr. βροντῇ δὲ ἦν ὅμοιος ὁ στεναγμὸς καὶ ἡ ἰαχὴ, ἤγουν ἡ βοή.

26. ἁρπάσειεν addidi ex M.

ib. οἷον ὁπότε] ὁπότε οἷον C. οἷον ὅταν M. ὅταν (ὅτ' ἂν B.) B.I., omisso οἷον.

πάσειεν ἡ Σφὶγξ τινὰ τῶν ἀνδρῶν ἀπὸ τῆς πόλεως, θρῆνος καὶ βοὴ ἐγένετο. B.C.M.I.

ἀφανίσει: ἠφάνιζε. B. rec. ἠφάνισεν. Gr.

1043.—1066. χρόνῳ δ' ἔβα: χρόνῳ δὲ ὕστερον ἔβη ὁ ἄθλιος Οἰδίπους εἰς τήνδε τὴν Θηβαίων γῆν ἐν ἀποστολαῖς Πυθίαις καὶ ταῖς τοῦ Πυθίου, ἀσμένοις καὶ χαίρουσι τοῖς Θηβαίοις τότε, διὰ τὸ θανατῶσαι τὴν Σφίγγα, πάλιν δὲ καὶ ὕστερον ἄχη ὑπῆρξε διὰ τὰς γεγενημένας ἀπ' αὐτοῦ συμφοράς. καλλίνικος δὲ καὶ νικητὴς ὢν τῶν τῆς Σφιγγὸς αἰνιγμάτων συνάπτει ὁ τάλας τῇ μητρὶ γάμους δυσγάμους, (παρανομώτατοι γάρ) μιαίνει δὲ καὶ μολύνει ἐκ τῆς τοιαύτης παρανόμου συναφῆς τὴν πόλιν. ἀμείβει δὲ καὶ διέρχεται τὴν πόλιν δι' αἱμάτων καὶ διὰ φόνων καταβαλὼν ὁ μέλεος τὰ τέκνα ἐν ἀραῖς εἰς ἀγῶνα μυσαρὸν καὶ βδελυρὸν καὶ ἀδελφοκτόνον, τουτέστι καταρασάμενος τοῖς παισὶ δι' αἵματος τὴν ἀρχὴν λαχεῖν εἰς πόλεμόν τε συνῆψε, δι' οὗ πολὺς φόνος γίνεται καὶ κινδυνεύουσιν ὑπ' ἀλλήλων καὶ αὐτοὶ φονευθῆναι. ἀγάμεθα, ἀγάμεθα καὶ θαυμάζομεν σφόδρα (ὁ γὰρ τῶν ὀνομάτων τούτων διπλασιασμὸς ὑπερβολὴν θαύματος δηλοῖ) τὸν Κρέοντος υἱὸν Μενοικέα, ὅστις οἴχεται καὶ ἐπορεύθη ἐπὶ θάνατον αὐτόχειρα ὑπὲρ τῆς πατρῴας γῆς, λιπὼν μὲν καὶ καταλείψας τῷ αὐτοῦ πατρὶ Κρέοντι γόους, (ἀπαραμύθητα γὰρ στενάξεται δι' αὐτὸν) θήσων δὲ τὰ ἑπτάπυλα κλεῖθρα τῆς γῆς καλλίνικα, τουτέστι τὴν ἑπτὰ πύλας ἔχουσαν πόλιν τῶν Θηβαίων νικῆσαι ποιήσων, ὡς ἔφη ὁ μάντις. γενοίμεθα, γενοίμεθα καὶ ὑπάρξαιμεν εὔτεκνοι μητέρες ὧδε καὶ οὕτως, τουτέστι τοιούτους παῖδας ποιήσαιμεν, ὡς ὑπὲρ τῆς αὐτῶν πατρίδος, ἣν δέῃ, εἰς θάνατον ἑαυτοὺς ἑκόντας διδόναι. γενοίμεθα, ὦ Παλλὰς καὶ Ἀθηνᾶ, ἥτις κατειργάσω καὶ διεπράξω αἷμα καὶ φόνον λιθόβολον καὶ διὰ λίθου βολῆς γενόμενον τοῦ ἐν Δίρκῃ δράκοντος. πῶς δὲ τοῦτο ἐποίησας; ὁρμήσασα ἐπὶ

p. 277. l. 26. ἀφαρπάσειεν B.C.M. ἀναρπάσειεν I. et ἀ. τῆς π. post Σφίγξ.

4. χρόνῳ δέ:—Initium hujus paraphrasis est in I. μετὰ χρόνον δὲ ὁ ἄθλιος Οἰδίπους εἰς τήνδε τὴν γῆν τῶν Θηβαίων ταῖς τοῦ Ἀπόλλωνος παραπομπαῖς ἦλθε I.

7. τὴν Σφίγγα] τὴν om. Gu.

ib. ὑπῆρξε] ὑπῆρξαν Gu.

12. τὴν πόλιν om. Gu.

13. τουτέστι κ.] κ. γὰρ Bar.

15. ὑπ'] ἀπ' Gu.

20. στενάξεται] στενάζει Bar.

21. ἑπτάπυλα] ἑπτάπυργα Bar.

22. πύλας] πύργους Bur.

25. αὐτῶν om. Bar.

27. διεπράξω] ἔπραξας Bar.

ib. λιθόβόλον (duplici accentu) Gu.

τοῦτο τὸ ἔργον, ἤτοι τὸν φόνον, τὴν Καδμείαν μέριμναν, τουτέστι παρακινήσασα τὸν Κάδμον μεριμνῆσαι τὸν κατὰ τοῦ δράκοντος φόνον. ὅθεν καὶ ἀφ' ἧς αἰτίας, λέγω δὴ τῆς τοῦ δράκοντος ἀπωλείας, ἐπέσσυτο καὶ ὥρμητο εἰς τήνδε τὴν γῆν τις δαιμόνων ἄτη καὶ βλάβη ἐν ἁρπαγαῖς· τουτέστιν ὀργισθεὶς ὁ Ἄρης ὑπὲρ τοῦ υἱοῦ αὐτοῦ τοῦ δράκοντος ἐπήγαγε τὴν Σφίγγα Θηβαίοις (ταύτην γὰρ ἄτην δαιμόνων λέγει). Bar. Gu.

1043. Πυθίαις ἀποστολαῖς: ταῖς τοῦ Ἀπόλλωνος παραπομπαῖς. B.C.M. ἀντὶ τοῦ ἀπὸ Πυθίου ὁ ἄθλιος ἀπεσταλμένος. κατὰ χρησμὸν γὰρ τούτου ἦλθεν εἰς Θήβας. A.M.T. κατὰ τὴν ἀποστολὴν τοῦ Πυθίου, ἤγουν ἣν ἀπέστειλεν αὐτὸν ὁ Πύθιος, τουτέστιν ὁ Ἀπόλλων. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. οὐκ ἐπὶ τὸ ἀνελεῖν τὴν Σφίγγα ἐπέμφθη παρὰ τοῦ Πυθίου Οἰδίπους, ἀλλὰ χρωμένῳ περὶ τῶν γονέων ἀνεῖλεν αὐτῷ ὡς τούτους φονεύσειε. καὶ ὅς, φοβηθεὶς διὰ τὸν χρησμὸν ἀπελθεῖν εἰς Κόρινθον, ἵνα μὴ τὸν δοκοῦντα γονέα Πόλυβον ἀποκτείνῃ, καταλαμβάνει Θήβας. Bar. Gu.

1044. Οἰδίπους ὁ τλάμων: πυνθανομένῳ γὰρ Οἰδίποδι περὶ τῶν γονέων εἴρηκεν αὐτῷ ὁ θεὸς ὡς ἀποκτείνας τὸν πατέρα γαμήσει τὴν μητέρα. διὸ εἰς Θήβας ἦλθεν, οὐκ εἰς Κόρινθον, φοβούμενος μή πως Πόλυβον φονεύσας γαμήσῃ τὴν Μερόπην. A.B.C.M.I. ὁ τλάμων: γρ. ὁ τάλας. M.

1046. τότε μὲν ἄσμενος: ἀντὶ τοῦ ἡδύς. I. διὰ τὸ λῦσαι τὸ αἴνιγμα· πάλιν δὲ ἄχη συνάπτει, διὰ τὸν γάμον τῆς μητρὸς, καὶ τὰ λοιπά. B.C.M.T.I. ὁ αὐτὸς δὲ πάλιν, φησὶ, καὶ λύπας αὐτῷ προσετρίψατο, γήμας τὴν μητέρα καὶ φύσας τοὺς περὶ Πολυνείκην

3. δὴ] δὲ Bar.
4. ὥρμητο] ὥρμησεν Bar.
5. τοῦ alterum om. Gu.
6. ταύτην—λέγει om. Gu.
8. παραπομπαῖς] πομπαῖς C.
9. ἀντὶ τοῦ—ὁ ἄθλιος (sic Matth. pro ὁ ἥλιος) om. M., qui δὲ addit post ἀπεσταλμένος.
10. κατὰ τὴν ἀ.] μετὰ χρόνον ἦλθε κατὰ ἀ. Gr.
12. ἐπὶ τὸ] ἐπὶ τῷ Bar.
ib. τὴν Valck. fortasse ex Leid. δὲ Bar., om. Gu.
18. τῶν γονέων] τῶν om. A.
ib. εἴρηκεν A.M. ἔχρησεν B.C.I.
ib. αὐτῷ] αὐτὸ C.
19. διὸ—γαμήσῃ om. C.
ib. μή πως πόλυβον φονεύσας A.B.M. μὴ ἀποκτείνας πόλυβον I.
20. γαμήσει (scripsi γαμήσῃ ex A.) τὴν Μερόπην om. M., τὴν om. A.I.
22. διὰ τὸ λῦσαι] διαλῦσαι C.
23. πάλιν δὲ] ἤτοι ὕστερον addit I.
24. λοιπά] ἀπὸ κοινοῦ δὲ τὸ συνάπτει addit I. Vide p. 280, 4.
ib. ὁ—φησὶν] καὶ αὐτὸς δὲ φησὶν πάλιν A.
ib. καὶ λύπας αὐτῷ M. οὕτω καὶ λύπας αὐτὸς A.T.

ἐξ ἀνόμων γάμων· οἱ νῦν διὰ τὰς τούτου ἀρὰς εἰς ἀγῶνα καὶ πόλεμον κατέστησαν. τὸ δὲ ὕστερον γενόμενον προανεφώνησεν· οὐ γὰρ εὐθὺς, ὡς ἐπεδήμησεν, ἄσμενοι αὐτὸν εἶδον, ἀλλ' ὅτε ἔλυσε. λείπει δὲ τὸ ἦλθε. A.M.T. ἀπὸ κοινοῦ τὸ συνάπτει ἄχη. M.

1047. γάμους δυσγάμους: συνάφειαν γάμων δυσγάμων. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. παρανόμους, αἰτίους συμφορῶν, κακούς. Gu.

1048. καλλίνικος ὢν: νικηφόρος ἂν τῶν ἀσαφῶν λόγων τῆς Σφιγγὸς συνάπτει γάμους κακοὺς τῇ μητρί. M. τὸ ἑξῆς, καλλίνικος ὢν τῶν αἰνιγμάτων τῆς Σφιγγὸς γάμους συνάπτει κακοὺς τῇ μητρὶ αὐτοῦ. A.B.C.M.I.

1051. δι' αἱμάτων δ' ἀμείβει: τὴν πόλιν ἐξ αἱμάτων ἀμείβει. M. τὴν πόλιν δι' αἱμάτων διαλλάσσει. τὸ δὲ ἀμείβει ἀμείβεσθαι ποιεῖ, ἐμβαλὼν διὰ καταρῶν τοὺς παῖδας εἰς φιλονεικίαν. A.B.M.I. Ἄλλως. τὰ πρῶτα κακὰ δι' αἱμάτων ἤλλαξε, δευτέρῳ φόνῳ ἐμβαλὼν τοὺς παῖδας διὰ τῶν καταρῶν εἰς φιλονεικίαν. A.B.C.M.I. Ἄλλως. διὰ φόνων δὲ διέρχεται, εἰς μεμισημένην φιλονεικίαν (λέγει δὲ τὴν μονομαχίαν,) καταβαλὼν διὰ τῶν ἀρῶν τὰ ἑαυτοῦ τέκνα ὁ ἄθλιος. B. I. καταβαλὼν τὰ ἄθλια τέκνα διὰ τὰς κατάρας. C.M. εἰς μεμισημένην φιλονεικίαν. λέγει δὲ τὴν μονομαχίαν τῶν ἀδελφῶν. M. ἀμείβει: κατὰ διαδοχὴν ἄγει (διαβιβάζει 59.) τὴν πόλιν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. διέρχεται. Gu.

1052. μυσαρόν: βδελυκτόν. Gr. Florr. iidem. βδελυρόν· πολεμοῦσι γὰρ ἀλλήλοις. Gu. αἴτιος ὁ Οἰδίπους φόνων γίνεται

1. τὰς om. T.
2. κατέστησαν] κατέστησεν M.
9. τῇ μητρί] ἔκρινεν addit M.
ib. τὸ ἑξῆς om. C.
10. ὢν] γὰρ ὢν B.I.
ib. Σφιγγὸς] ἕνεκα addit I.
ib. κακοὺς om. A.B.M.I.
ib. τῇ μητρὶ] τῆς μητρός A.M.
11. αὐτοῦ addidi ex C.
13. τὴν πόλιν δι' αἱμάτων A.M. τὴν πόλιν δὲ δι' αἱμάτων B. τὴν πόλιν δὲ διὰ φόνων I.
ib. διαλλάσσει] ἐναλλάσσει B,I.
ib. ἀμείβει om. M.
15. Ἄλλως om. C. qui lemma habet δι' αἱμάτων.
ib. κακὰ] κακῶς C.
ib. δευτέρῳ (βῳ C.) φόνῳ om. I.
16. τῶν add. A.M.
ib. Ἄλλως. διὰ—διέρχεται et διὰ τῶν ἀρῶν—ὁ ἄθλιος om. B.
17. μεμισημένην B. τὴν μεμιασμένην I.
19. διὰ τὰς] διὰ τῆς M. Post τὰς κατάρας C. pergit, ἀγάμεθα. προσυπακουστέον τὸ ἐκεῖνον. ἀπὸ τούτου εὐθέως —περιττά. ἀγάμεθα. μετέβησαν (post hoc v. aliquot literae—ἐπὶ τὸν φόνον, ut videtur — deletae) ὑπακουστέον μέσον φόνον ἐκεῖνον. θαυμάζομεν φησὶ— εὔκλειαν.

καταβαλὼν τὰ τέκνα κατάραις εἰς μυσαρὸν καὶ βδελυρὸν ἀγῶνα, ὃν ἀγωνίζονται ὑπὲρ τῆς ἀρχῆς, ἀλλήλους καταβαλεῖν σπεύδοντες. Gu.

1053. καταβαλών: ἐκβαλὼν, ἀνελών. M.

1054. ἀγάμεθ': λείπει τὸ ἐκεῖνον. M. μετέβησαν ἐπὶ τὸν Μενοικέως φόνον A.M.T. προσυπακουστέον τὸ ἐκεῖνον. B.C. θαυμάζομεν, φησὶ, καὶ ἐκπεπλήγμεθα τὸν παῖδα ἀνταλλαττόμενον ἑκουσίῳ θανάτῳ τὴν εὔκλειαν. A.B.C.M.T. ἀπὸ τούτων ἐχρῆν εὐθέως ἄρξασθαι τὸν χορόν· ἐκεῖνα γὰρ περιττά εἰσιν. B.C. M.I.

1054.—1059. ἀγάμεθ' ἀγάμεθα: θαυμάζομεν καὶ ἐκπληττόμεθα τὸν Μενοικέα ἐκεῖνον, ὃς ἦλθεν ἐπὶ θάνατον ὑπὲρ τῆς ἑαυτοῦ πατρίδος, Κρέοντι μὲν καταλείψας θρήνους, τὰς δ' ἑπταπύλους Θήβας νικηφόρους καταστήσων, ἀντικαταλλασσόμενος ἑκουσίῳ θανάτῳ τὴν εὔκλειαν. I.

1058. καλλίνικα θήσων: νικηφόρα, ἐπικρατῆ ποιήσων. C.M.

1060. γενοίμεθ' ὧδε: εἴθε, φησὶν, ὦ δέσποινα Ἀθηνᾶ, καὶ ἡμεῖς εὐτυχήσαιμεν τοιούτων τέκνων. ὡς παρθένοι δὲ παρθένῳ θεῷ εὔχονται, ταύτην τέως εἰδυῖαι θεόν. Ἄλλως. ἡμεῖς αἱ γυναῖκες. συμπεριλαμβάνει γὰρ τὸ πᾶν γένος τοῦτο λέγουσα. A.B.C.M.I. γενοίμεθ': κατὰ τὸν Μενοικέα. M. φίλαι: γρ. φίλα. M. ἀναγκαίως, ἐπειδὴ παρθένος. M.

γενοίμεθ' ὧδε: ἤγουν τοιούτων παίδων ὑπὲρ πατρίδος ἀγωνιζομένων. Gu.

1062. Παλλάς: διὰ τοῦτο τὴν Ἀθηνᾶν ἐπικαλεῖται νῦν, ὡς γενναῖον καὶ φρόνιμον ἔργον ἐργαζομένου τοῦ Μενοικέως. Bar. Gu.

ἃ δράκοντος: λίθῳ γὰρ τὸν δράκοντα ἀνεῖλεν ὁ Κάδμος Ἀθηνᾶς προνοίᾳ. B. ἥτις τὸν φόνον τὸν διὰ λίθου γενόμενον τοῦ δράκοντος

7. ἀνταλλαττόμενον] ἀνταλλασσόμενον A.M.

8. ἀπὸ—περιττά εἰσι etiam in I. post scholion proximum, praefixo Ἄλλως.

ib. τούτων M. τούτου A.B.C.

ib. εὐθέως om. M. In A.C. ἐχρῆν εὐθέως, in B. χρῆν εὐθέως, in I. εὐθέως ἐχρῆν. Lemma est μέλεος.

9. εἰσιν om. C. ἐστίν A.

16. φησὶν om. C.I.

17. παρθένῳ] πρὸς παρθένον A.M.

18. ταύτην τέως εἰδυῖαι θεὸν om. A.

ib. Ἄλλως addidi ex M. In B. pro eo est γενοίμεθα δὲ εὔτεκνοι.

ib. αἱ γυναῖκες] γυναῖκες φησὶ B.

ib. συμπεριλαμβάνει — λέγουσα] συμπεριλαμβάνουσι δὲ τὸ πᾶν γένος, γενοίμεθα λέγουσαι I.

19. τοῦτο om. C. Idem δὲ pro γάρ.

πεποίηκας. B.I. *δοκεῖ Ἀθηνᾶ συμπρᾶξαι τῷ Κάδμῳ κατὰ τῶν σπαρτῶν, διὸ καὶ ἱδρύσατο ταύτην, Ὄγκαν προσαγορεύσας τῇ τῶν Φοινίκων διαλέκτῳ. ἐπεγέγραπτο δὲ τῷ ἱερῷ τούτῳ,*

Ὄγκας νηὸς ὅδ' ἐστὶν Ἀθήνης, ὅν ποτε Κάδμος
εἵσατο, βοῦν θ' ἱέρευσεν, ὅτ' ἔκτισεν ἄστυ τὸ Θήβης.

B.C.M.I. *Ἄλλως. προνοίᾳ γὰρ Ἀθηνᾶς λίθῳ τὸν δράκοντα ἀνεῖλεν ὁ Κάδμος, ὡς ἀνωτέρω* "Παλλάδος φραδαῖς." A.C.M.

κατειργάσω: κατήνυσας, ἐφόνευσας. M.

1063. *Καδμείαν μέριμναν: τὸν Κάδμον περιφραστικῶς, διεγείρασα καὶ παρορμήσασα εἰς ἔργον, ἤτοι εἰς τὸν φόνον τοῦ δράκοντος.* I. *ἐν περιφράσει τὸν Κάδμον.* B. rec. M.

1. *δοκεῖ*] *δοκεῖ γὰρ* I.
ib. *κατὰ τῶν σπαρτῶν* om. C.
2. *διὸ* om. I.
ib. *Ὄγκαν*] *ὀγκὰν* M.
3. *Φοινίκων*] Idem tradit schol. Aeschyl. Sept. 164. *Ὀγκαία Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοις, Ὄγκα δὲ παρὰ τοῖς Φοίνιξι.* "De Phoenicio nomine, quo Cadmus Minervam honestavit, agentium loca collegerunt, Berkelio jam citati ad Steph. Byz. Io. Seldenus de Diis Syr. 2, 4. et Bochartus Geogr. S. 2, 1, 16. et 2, 12. ille quidem male dubitans, utrum apud Pausan. 9, 12, 2. *Ὄγκα* reponendum esset pro *Σίγα*, an *Σίδα*· correctionem *Ὄγκα* dubio vacare nuper etiam statuit Iablonski Panthei Aegypt. 1, 3, 1. Centenis vicibus o et c fuerunt male permutata; Γ et I in hoc ipso nomine ap. schol. Soph. Oed. Tyr. v. 20, ubi *Ὀγκαίας* pro *οἰκαίας*, praeter Seldenum, correxerunt Canterus et Stanl. ad Aesch. Theb. 170. praeterea V. D. in Miscell. Obs. vol. 2. p. 289. Horum nullus nostrum scholion in Phoenissas attigit, excitatum hanc in rem a Kuhnio ad Pausan. et A. van Staveren in Miscell. Obs. vol. 10. p. 305. Latet adpellationis ratio, quam Seldenus nescire se fatebatur: conjectura Bocharti parum habet verisimilitudinis. Harum rerum intelligentibus probabilius forte videbitur, nomen illud *Ὄγκα* patria Cadmi lingua scriptum עוכקה. a verbo עכק participium עוכקה, *onca*, significare potuit *prominentem* et *excelsam*; quaequē Graecis *Ἀκρία* diceretur et *Ἐπιπυργίτις*, *Minerva* Cadmo sic fuerit appellata *Ὄγκα*. *Minerva* quoque *Πολιὰς* et *Πολιοῦχος*, sive *Ῥυσίπτολις* eadem illa designari potuit adpellatione. Diversas, qua viget in dialectis illud verbum, excitare significationes, et in hoc genere literarum nova comminisci, conjectoribus facillimum est." VALCK.
ib. *ἐπεγέγραπτο*] *ἐπιγέγραπται* I.
ib. *ἱερῷ*] *ἱερείῳ* C.M. Pro *δὲ τῷ ἱερῷ τούτῳ* in A. *γὰρ τῇ τῶν φοινίκων διαλέκτῳ.*
4. *ὅδ'* (*ὃ* C.) *ἐστιν* B.M. *τουτέστιν* I.
ib. *Ἀθήνης*] *ἀθηνᾶς* I.
5. *εἵσατο* (*εἴσατο* M.I.) om. C. in initio lineae (quae ultima est folii 86 b), relicto spatio plus quam viginti literarum capaci. In Gr. *ὄγκας ὁ νηὸς ὅδ' ἔστιν Ἀθήνης* (*Ἀθήνης* etiam T.) *ὅν ποτε Κ. δείματο* etc. In Gu. *Ἀθηνᾶ συνέπραξε Κάδμῳ τὸν τοῦ δράκοντος φόνον· διὸ καὶ ἱδρύσατο ταύτῃ ἐν Θήβαις ἱερὸν, ἐπιγράψας αὐτῷ τάδε· Ὄγκας—Θήβας. Ὄγκαν δὲ τῇ τῶν Φοινίκων διαλέκτῳ προσηγόρευσεν*:—
ib. *Θήβης*] *θήβας* I.
6. *λίθῳ τὸν δράκοντα* om. C.

1065. ὅθεν: ἤγουν ἀφ' ἧς αἰτίας ἐπῆλθεν εἰς τήνδε τὴν πόλιν μεγάλη τις βλάβη ταῖς τῶν θεῶν ἁρπαγαῖς. ἥρπαζε γὰρ ἡ Σφὶγξ, δὲ Μενοικεὺς ἔπαθέν τι ὅμοιον ἁρπαγῇ. I. ὅθεν: διὰ τὸν θάνατον τοῦ δράκοντος μηνίσαντος τοῦ Ἄρεως καὶ ἐπιπέμψαντος τὴν Σφίγγα. B.C. ἁρπαγαῖσι δὲ, καὶ γὰρ ἡ Σφὶγξ ἥρπαζεν, ὁ δὲ Μενοικεὺς πέπονθέ τι ὅμοιον ἁρπαγῇ. B.

1066. δαιμόνων τις ἄτα: βλάβη, ἣν οἱ θεοὶ ἔπεμψαν, τουτέστι θεήλατος. λέγει δὲ τὴν Σφίγγα, ἣν ὁ Ἄρης ἔπεμψεν. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1067. ὠή: τοῦτο καὶ ἐπὶ χαρᾶς λέγεται καὶ ἐπὶ φόβου καὶ θρήνου, ἐνταῦθα δὲ ἐπὶ χαρᾶς. I. κυρεῖ: τυγχάνει. M.

1068. ἐκπορεύετε: ἀντὶ τοῦ εἴπατε ἐκτὸς ἐλθεῖν, ἢ ἀντὶ τοῦ ἐξαγάγετε. B.M.

1069. διὰ μακροῦ: βραδέως μὲν ἐξέρχῃ, ὅμως δὲ ἄκουσον, ἔξελθε. A.B.M. βραδέως μὲν ἐξέρχῃ, ἀλλ' ὅμως δὲ ἔξελθε, καὶ ἄκουσον, ἔνδοξε γυνὴ τοῦ Οἰδίποδος, παυσαμένη τῶν θρήνων καὶ τῶν θρηνωδῶν δακρύων. I. διὰ μακροῦ: χρόνου ἢ λόγου ἀκούσῃ. Gu.

1070. κλεινὴ δάμαρ: ἐνδοξοτάτη γυνή. M. κλεινή: γρ. κυδρή. M.

1071. παυσαμένη τῶν θρήνων τῶν θρηνωδῶν. πένθιμα δάκρυα λέγει, ἐπεί εἰσι καὶ χαρᾶς δάκρυα. Bar. Gr.

1072. ἦ που: ἆρα που. M. ἆρα ποῦ. B. ξυμφοράν: κακῶν συντυχίαν. λαμβάνεται ἡ λέξις καὶ ἐπὶ τῆς ἁπλῶς συντυχίας, ὅμως ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπὶ τοῦ προτέρου τίθεται σημαινομένου. Bar. Gr.

1073. οὐ παρ' ἀσπίδα βέβηκας: ἐν τοῖς πολλοῖς ἀντιγράφοις οὐ φέρεται ὁ στίχος οὗτος. A.B.I. ἐπειδὴ ὑπασπιστὴς αὐτοῦ ἦν,

4. τοῦ Ἄρεως (ἄρεος C.)] τοῦ om. B.

7. βλάβη] ἤγουν addit Gu.

12. ἀντὶ—ἐξαγάγετε M. ἐξάγετε, εἴπατε ἐκτὸς ἐξελθεῖν B. In I. solum ἐξάγετε.

14. ὅμως δὲ ἄκουσον] ἄκουσον om. B. In A. ὅμως ἔξελθ' ἄκουσον.

19. In Gr. ἔνδοξε γυνή.

21. παυσαμένη—χαρᾶς] τῶν θρηνωδῶν δακρύων, πένθιμα λέγει δάκρυα ἐπεί ἐστι καὶ χαρᾶς Bar.

27. τοῖς πολλοῖς A.B. τοῖς om. I.

28. ὁ στ. οὗτος] οὗτος ὁ στ. I. οὐ γράφεται ὁ στίχος est in A. qui haec verba adjungit scholio v. 1069. post ἔξελθ' ἄκουσον.

νυνὶ δὲ κεχώρισται τοῦ δεσπότου, διὰ τοῦτο ὑπονοεῖ μὴ καὶ τέθνηκεν. A.B.C.I.

1074. πολεμίων εἴργων βέλη: ἃ οἱ πολέμιοι πέμπουσιν ἀποσοβῶν, κωλύων ἐπ' αὐτὸν ἀφικνεῖσθαι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1077. μὴ τρέσῃς τόδ': μὴ κατὰ τοῦτο φοβῇ· καὶ γὰρ ἦλθον, ἵνα σε ἀπαλλάξω φόβου. A.B.C.M. ἀντὶ τοῦ κατὰ τοῦτο. τὸ δὲ ὡς ἀντὶ τοῦ ἵνα. M. τὸ ὡς ἀντὶ τοῦ ἵνα, ἦλθον ἵνα σε ἀπαλλάξω τοῦ φόβου. I.

1078. ἑπτάπυργοι: ἀντὶ τοῦ ἑπτάπυλοι· πύργος γὰρ ἡ ἀσφάλεια. Ἄλλως. αἱ ἑπτάπυλοι σκέπαι τῆς πόλεως. B.M.I. περιβολαί: τὰ κυκλώματα τῶν τειχῶν. Bar. Gu. ἤγουν ἡ πόλις περιφραστικῶς. Bar.

1079. ἑστᾶσ' ἄθραυστοι: ἀβλαβεῖς, στερεαί, ἄκλαστοι. ἡ δὲ πόλις οὐ πεπόρθηται. C.

1080. ἦλθον δὲ πρὸς κίνδυνον: ἀντὶ τοῦ συνέβαλον· συμβαλόντες γὰρ κινδύνου διάπειραν ἔσχον. A.M. ἀντὶ τοῦ συμβαλόντες τοῖς Ἀργείοις κινδύνου διάπειραν ἔσχον. B.C.I. ἦλθον δὲ οἱ περίβολοι, ἀντὶ τοῦ οἱ ἐν τοῖς περιβόλοις, τουτέστιν οἱ Θηβαῖοι, πρὸς ἀγῶνα πολέμου μετὰ τῶν Ἀργείων. λέγει δὲ κίνδυνον ἀντὶ τοῦ ἀγῶνος, ἐπεὶ ὁ τοῦ πολέμου ἀγὼν ἐπικρεμάμενον ἔχει κίνδυνον. Gr. Cant. Florr. omnes. Mosq.

1081. ἀκμήν γ' ἐπ' αὐτήν: εἰς αὐτήν εἰσι τοῦ πολέμου τὴν σφοδρότητα. A.B.M.T.I. Ἄλλως. εἰς αὐτὸ τὸ ἀκμαιότατον τοῦ πολέμου ἦλθον. A.B.M. εἰς αὐτὴν τὴν τοῦ πολέμου ὀξύτητα, εἰς αὐτὸ τὸ ἀκμαιότατον τοῦ κινδύνου. C. Gu. ἐπ' αὐτὴν τὴν ἀκμὴν ἦλθον τοῦ ἀγῶνος, ἤγουν εἰς ἰσχυρὸν πόλεμον κατέστησαν οὐχὶ μέτριον. Gr. Florr. omnes.

1. νυνὶ] νῦν C.
ib. καὶ om. C.
6. μὴ—φοβῇ om. A.B.C.
7. φόβου] τὸ γὰρ ὡς ἀντὶ τοῦ ἵνα addit M.
9. ἑπτάπυργοι] δὲ addit B. In C. supra versum πύργος ἡ ἀσφάλεια, σκέπη δὲ τῆς πόλεως αἱ ἑπτάπυργοι τὰ τείχη. In eodem supra ad v. 1058. (ubi ἑπτάπυργα κλῇθρα γᾶς) ἀντὶ τοῦ ἑπτάπυλοι. πύργος γὰρ ἡ ἀσφάλεια. αἱ σκέπαι τῆς πόλεως αἱ ἑπτάπυλοι. In A. τί δ' ἑπτάπυργοι: αἱ σκέπαι τῆς πόλεως αἱ ἑπτάπυλοι, πύργοι καὶ ἡ ἀσφάλεια:— In M. ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί: ἀντὶ τοῦ αἱ ἑπτάπυλοι— ἀσφάλεια. et gl. interl. αἱ σκέπαι τῆς πόλεως αἱ ἑπτάπυλοι.
12. στερεαὶ] In M. gl. στερραί, in B. ἀβλαβεῖς, στερραί, et οὐ πεπόρθηται.
ib. ἄκλαστοι Valck. pro ἀκόλαστοι.
15. γὰρ] δὲ M.
16. τοῖς Ἀργείοις] τοῖς om. C.
17. πρὸς Gr. εἰς ceteri.
21. εἰσι] ἦλθον I.
23. εἰς αὐτὴν om. Gu. Idem τὴν ὀ. τ. π. ἤγουν εἰς etc.

1081. *ἀλλ᾽ ὁ Καδμείων*: *ἀλλ᾽ ὁ τῶν Καδμείων πόλεμος κρείσσων ἐγένετο τῶν Ἀργείων*. I.

1083. *εἴ τι Πολυνείκους πέρι*: *φιλοστόργου μητρὸς ἦθος· εὔχεται γὰρ ἑκάτερον εὐτυχεῖν. ἀκούσασα δὲ περὶ Ἐτεοκλέους καὶ περὶ Πολυνείκους ἐρωτᾷ*. A.B.C.M.I.

1084. *ὡς μέλει μοι καὶ τόδ᾽*: *ὅτι διὰ φροντίδος ἐστί μοι καὶ τόδε, εἰ ὁρᾷ φῶς, ἤγουν εἰ ζῇ. φάος τὸ φῶς βραχὺ, καὶ Φάρος ὄνομα τόπου. φάρος δὲ τὸ ἱμάτιον ἐνίοτε μὲν μακρὸν, ἐνίοτε δὲ βραχὺ, ὡς τὸ καλόν, τὸ ἴσον, τὸ ἀνήρ, τὸ ὕδωρ, τὸ ἀήρ, τὸ Ἄρης, ὡς δείκνυται ἐν τῷ "Ἆρες Ἄρες βροτολοιγέ," τὸ ὑμῖν καὶ ἕτερα*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1085. *ξυνωρίς*: *ἡ δυάς*. I. *ζῇ σοι*: *ζῇ ἡ δυὰς τῶν τέκνων μέχρι ταύτης τῆς ἡμέρας*. B.C.M. *εἰς ταύτην τὴν ἡμέραν, ἤγουν μέχρι ταύτης τῆς ἡμέρας*. Gu. Florr. iidem.

1086.—1089. *εὐδαιμονοίης*: *εὐτυχοίης. λέξον δὲ πῶς τοὺς Ἀργείους ἀπὸ τῶν πυλῶν ἀπεδιώξατε περικυκλούμενοι ὑπ᾽ ἐκείνων, ὅπως εἰσελθοῦσα εὐφράνω τὸν τυφλὸν Οἰδίποδα, τῆς γῆς ταύτης φυλαττομένης*. I. *πῶς γὰρ Ἀργείων δόρυ*: *αὕτη ἡ κατασκευὴ οὐ πρὸς τὸ εὐδαιμονοίης, ἀλλ᾽ ἄνω τοῦ ἀγγέλου εἰπόντος ὡς ὁ Καδμείων Ἄρης κρείσσων κατέστη τοῦ Μυκηναίου δορὸς, θεῖσα αὕτη διὰ μέσου τὴν περὶ τῶν τέκνων ἐρώτησιν, καὶ μαθοῦσα τὰ λῷω ὥσπερ διαπιστοῦσα πρὸς ἐκεῖνον τὸν λόγον ἔοικεν· ὑπονοεῖται γὰρ ἐκ τῆς τοιαύτης κατασκευῆς ὅτι οὐ δέχεται, φάσκουσα, πῶς γὰρ ἀπεστήσασθε τὸ Ἀργεῖον δόρυ τῶν πυλῶν; λέξον, εἰ ἀληθῆ λέγεις, ὡς ὁ Καδμείων Ἄρης κρείσσων κατέστη τοῦ Μυκηναίου δορός*. Bar. Gu.

1087. *ἀπεστήσασθε*: *ἀπεδιώξατε*. B. rec. Gu. *ἐδιώξατε*. Gr. *πυργηρούμενοι*: *φυλάσσοντες τοὺς πύργους, ἢ ὑπ᾽ ἐκείνων πολιορκούμενοι. ἢ φυλαττόμενοι ἡμεῖς, τειχήρεις ὄντες*. B.C.M.T. *κυκλούμενοι, πολιορκούμενοι*. Gr. *ὑπ᾽ ἐκείνων*. Gu.

3. *ἦθος* om. C.
4. *δὲ*] *γὰρ* C.M , om. B.
ib. *περὶ Π.*] *περὶ* om. A.
7. *Φάρος*] *φάος* Gr.
9. *ἴσον*] *ἶσον* Gr. cum duplici accentu.
12. 13. In B. *ἡ δυὰς τῶν τέκνων μέχρι ταύτης τῆς ἡμέρας.*
18. *κατασκευή*] *τὸ πῶς γάρ* addit Bar.
21. *λῴω*] *λῷστα* Bar.
27. *ἢ ὑπ᾽*] *ἢ* om. M.T.
ib. *ὑπ᾽* B.M. *ἐπ᾽* A.C.T.I.
ib. *ἢ φυλαττόμενοι* om. A.B.M.
28. *ἡμεῖς*] *ὑμεῖς* A.B.

1089. *σεσωσμένης*: *ἐν ἀσφαλείᾳ οὔσης*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1090. *ὑπερθανών*: *γράφεται ὑπερβαλών. τὸ ὑπερβάλλειν γενικῇ καὶ αἰτιατικῇ, ὥσπερ καὶ τὸ ὑπεραίρω. ἔστι δὲ τὸ ὑπερβὰς τῆς γῆς καὶ τὸ πύργων ἐπ' ἄκρων στὰς ταυτόν.* Gu.

1091. *μελάνδετον ξίφος*: *σιδηρόδετον*. M. *μέλαιναν λαβὴν ἔχον κερατίνην, ἢ σιδηρᾶν. Ἡσίοδος "μέλας δ' οὐκ ἔσκε σίδηρος."* B.C.M.I. *ἐπ' ἄκρων δὲ πύργων πρὸς τὸ πᾶσι τὴν πρᾶξιν καταφανῆ γενέσθαι. τὸ ἑξῆς, ξίφος μελάνδετον σωτήριον.* B.M.I.

1092. *λαιμῶν διῆκε*: *διεβίβασε διὰ τοῦ λαιμοῦ αὐτοῦ*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *διέπεμψε*. Gu. *ἐνέβαλε*. Fl. 33.

1093. *λόχους*: *τάγματα*. B.I. *ἔνειμεν*: *ἀντὶ τοῦ τὰ τάγματα διέταξεν*. M. *ἔταξεν ἄγων*. Gr. Florr. iidem. *λοχαγέτας*: *ταξιάρχους*. Cant. Gr.

1094. *φύλακας*: *ἐπιτηρητὰς καὶ ἀποσοβητὰς τῶν πολεμίων*. Gu. *διὰ τοῦτο ἑπτὰ ἔταξε στρατηγοὺς πρὸς ταῖς ἑπτὰ πύλαις, ἑαυτὸν οὐ συγκατατάξας, ὅπως αὐτὸς περιέρχοιτο τὰς πύλας, τῷ νοσοῦντι μέρει συμμαχῶν· ἐπάγει γὰρ "ἐπειδὴ τάσδ' εἰσεῖδεν εὐτυχεῖς πύλας, ἄλλας ἐπῄει παῖς σός."* A.B.C.M.T.I. *Ἄλλως. ἀπὸ*

7. *Ἡσίοδος*] Op. 150. de tertia agens aenea hominum prole, arma atque omnia aerea habuisse canit: *Χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος*. Dubitet forte quis ad quodnam de binis interpretamentis Hesiodeo pertinuerint; utrum ad posterius *σιδηρᾶν*, quia *σίδηρος* Hesiodo dicitur *μέλας*· an ad prius, quo *μελάνδετον ξίφος*, *ensis* fuisse dicitur *corneo capulo praeditus*, *μέλαιναν λαβὴν ἔχον κερατίνην*. nam *σπάνιος ἦν ὁ σίδηρος ἐν τῷ τότε πάλαι χρόνῳ*, Heraclit. Allegor. Homer. p. 451. mihi tamen prius omnino placet. His autem scholiastae verbis, quae proxima posui, docte Casaubonus utitur in Spartiani Hadrian, p. 20 F. cujus observatis Ian. Gebhardus quaedam addidit Crepund. 3, 8. VALCK.

8. *ἐπ' ἄκρων δὲ πύργων* om. M.

9. *μελάνδετον* om. B.M.

14. *ταξιάρχους*] *ταξιάρχας* Gr.

16. *διὰ*—] Lemma *φύλακας* in B.I., *λόχους* in C., *ἱππότας μὲν ἱππόταις ἔταξε* in M.

17. *ἑαυτὸν οὐ συγκατατάξας* (*κατατάξας* I.)] *καὶ ἑαυτὸν οὐ συγκατέλεξεν* C.

ib. *περιέρχοιτο*] *περιέρχηται* A.

ib. *τῷ νοσοῦντι—παῖς σός* om. I.

18. *ἐπάγει* (*ἐπάγῃ* T.)] V. 1163.

ib. *γὰρ*] *γοῦν* C. *οὖν* B. *γὰρ ἐπειδὴ* om. A.

ib. *εἰσεῖδεν*] *εἶδεν* A.

19. *ἐπῄει* C.M. *ἱππηῖς* B. *ἐπῇξε* A.T.

ib. *παῖς σός*] *παῖς σοῖς* C. *σὸς παῖς* B. Sic etiam A., verum non hoc loco, sed pro *πύλας*.

κοινοῦ τὸ ἐπειδὴ, ἵνα ᾖ καὶ ἐπεὶ λόχους ἔνειμεν. ἡ δὲ ἀπόδοσις εἰς τὸ δι' ὀλίγου περγάμων ἀπ' ὀρθίων εἰσορῶμων. A.

1095. ἐφέδρους: ἔφεδροι λέγονται οἱ τῶν ἐν τῷ πολέμῳ πιπτόντων ἀναπληροῦντες τὰς ἑαυτῶν τάξεις. M. ἀντιπάλους, ἀνταγωνιστάς. M. ἐπικαθεζομένους ἄλλους ἐποίησεν, ὅπως βοηθήσωσι τοῖς ἀσθενεστέροις. C. ἀντιπάλους, ἀγωνιστὰς ἐπικαθεζομένους ἀντιτάττεσθαι, εἰ ἐπικρατοίη τὸ ἀντίπαλον μέρος. B. Gr. I. ἔφεδρος γὰρ ὁ εὐτρεπισμένος, δύο τινῶν παλαιόντων, παλαίειν τῷ νικήσαντι. Gr. Leid. Cant. ἔταξε δὲ καὶ ἐφέδρους ἑτέρους, ἱππότας καὶ πεζοὺς ὡπλισμένους πρὸς τοὺς ἐν ταῖς πύλαις ἱσταμένους ἱππότας καὶ πεζοὺς, ἵνα ὦσι βοήθεια καὶ δύναμις τούτοις, εἴποτε κάμοιεν πολεμοῦντες. ἐγγὺς γὰρ ὄντες τούτοις τάχιστα καὶ δι' ὀλίγου ἐβοήθουν ἂν ὁρμώμενοι. ἔφεδρος γάρ ἐστιν, ὅταν τινῶν παλαιόντων ἕτερός τις ἀναμένῃ τὸν νικήσαντα παλαίσειν. Bar. Gu. ἐπαλλήλους τούτους ἔταξεν, ἵνα, φησὶν, εἴη τοῖς νοσοῦσι τείχεσι πολέμου βοήθεια ἐγγύς. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἱππότας μὲν ἱππόταις: ἐφ' ἱππόταις. ἡ ἐπί ἀπὸ κοινοῦ. Gu. Florr. iidem.

1096. ὁπλίτας: πεζούς. B. Gu. I. ὡπλισμένους ἐπὶ τοῖς πεζοῖς. Gu.

1097. ὡς τῷ νοσοῦντι: ὅπως ἀδυναμοῦντι εἴη ὁ σὸς παῖς ὁ Ἐτεοκλῆς βοήθεια. M. τῷ νοσοῦντι μέρει τῶν τειχῶν. I.

1098. δι' ὀλίγου: διὰ βραχέος χρόνου. B. ἐγγύς. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. συντόμως, διὰ ταχέος. Gu. περγάμων: νῦν τῶν τειχέων τῶν ὑψηλῶν. M. πέργαμα τὰ ἀκρωτήρια, στέγη δὲ τὰ τείχη τῶν ὑψηλῶν. A.M.T. οὕτως πᾶσαν ἀκρόπολίν φασιν. B.M. ὀρθίων δὲ ὑψηλῶν. B. λεύκασπιν: λευκὰς ἀσπίδας ἔχοντα. B.M. καὶ ἀπὸ τῶν τειχῶν τῶν ὑψηλῶν. Gr. Florr. iidem.

1100. Τευμησσόν: Τευμησσὸς ὄρος Βοιωτίας, ἀντὶ τοῦ τὴν τῷ Τευμησσῷ παρακειμένην χώραν. ἐπεὶ πῶς ὁρᾶν ἠδύναντο, πλέον ἑκα-

4. ἀντιπάλους, ἀγωνιστὰς om. Gu.
6. ἀντιτάττεσθαι] ἀντιτάσσεσθαι B. Gr.
7. ἐπικρατοίη] ἐπικρατείη I.
20. εἴη ὁ σὸς παῖς Ἐτεοκλῆς] Haec verba etiam in B.
24. στέγη] λέγει A.
25. τῶν ὑψηλῶν] Hoc adhaesit ex interpretatione voc. ὀρθίων.
ib. φασιν] φησίν B.
28. Τευμησσὸς] τελμησὸς C. et infra constanter τελμ—. τευμησσὸν A.
ib. ὄρος] ὄνομα. τόπος C.
ib. τὴν τῷ A.C. τὴν om. ceteri.
29. π. χώραν] χώραν π. C.M. χωρίῳ π. A.
ib. ἠδύναντο] ἐδύνατο B.
ib. ἑκατὸν] ρ' M.

τὸν σταδίους τοῦ Τευμησσοῦ ἀφεστηκότος τῶν Θηβῶν; ἢ οὐκ ἐκλιπόντα, ἀλλ' ἤδη καταλιπόντα. A.B.C.M.T.I. Ἄλλως. οἱ μὲν ὄρος Βοιωτῶν, οἱ δὲ, ὅτι ὄρος ἐν Ἄργει, ἐν ᾧ ὡπλίζοντο οἱ Ἀργεῖοι εὐτρεπιζόμενοι πρὸς πόλεμον. A.M.T. Ἄλλως. τόπος ὀρεινὸς, ἀπέχων Θηβῶν σταδίους ἑκατόν. λέγει οὖν οὐχ ὅτι Τελμησὸν κατέλιπον, (πολὺ γὰρ ἀφέστηκεν) ἀλλ' ὅτι τὴν χώραν τὴν παρατείνουσαν τοῦ Τελμησοῦ μέχρι Θηβῶν. C. τάφρου πέλας: πλησίον τῆς σούδας. I.

1101. δρόμῳ συνῆψεν: περιέλαβον, περιεκύκλωσαν, οἷον, ὀξέως ἐπέβησαν, ἐπλησίασαν. M. καὶ ἥνωσε τὸ ἄστυ τῶν Θηβῶν δρόμῳ, τουτέστι δραμὼν ἦλθεν εἰς Θήβας πλησίον εἰς τὸν τάφρον. δέον δὲ εἰπεῖν συνάψαντα πρὸς τὸ ἐκλιπόντα, καινῶς τὴν σύνταξιν ἐξήνεγκε πρὸς εὐθεῖαν. εὕρηται δὲ τοῦτο πολλαχοῦ, οὐ μόνον παρὰ ποιηταῖς, ἀλλὰ καὶ λογοποιοῖς. Gu. Bar. ἐπλησίασεν εἰς τὸ ἄστυ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. μέχρι τῆς πόλεως ἔδραμεν. Gu.

1102. παιάν: ὕμνος ᾀδόμενος εἰς Ἀπόλλωνα ἐπὶ καταπαύσει τῶν κακῶν. B.C.M.I.

1. τοῦ Τ. ἀφεστηκότος hic A.B.C.M.T., ante πλέον I.
ib. τῶν Θηβῶν] τῶν om. A.
ib. ἢ οὐκ—καταλιπόντα om. C.
2. καταλιπόντα] καταλείποντα T.
ib. Ἄλλως addidi ex A.M.
3. Βοιωτῶν] βοιωτίας A.
ib. ὅτι om. A.
5. οὐχ ὅτι—] Haec pars scholii etiam in A.M. sic scripta, (ἄλλως praefixum in A.) οὐχ ὅτι τευμησσὸν κατέλειπεν (κατέλιπε A.)—τοῦ τευμησσοῦ μέχρι θηβῶν. Sequitur in A. ἄλλως. τὴν χώραν καὶ τὸν τόπον ἀπὸ θηβῶν εἰς τευμησσὸν ἄγουσαν καταλιπόντα καὶ πλησιάσαντα τῷ τῆς πόλεως τείχει. "In Cant. est, ὄρος βοιωτίας, ἀντὶ τοῦ τὸν παρὰ τῷ Τελμησῷ τόπον, τὸν ἀφορῶντα πρὸς τὸν Τελμησόν. quod idem est in Gr. et Mosq. sed ii τὸν omittunt ante παρὰ, et Mosq. παρὰ τὸν Τελμησόν." MATTH.
7. τῆς σούδας] Infra ad v. 1188. glossa cod. Aug. interlinearis ad ἔξω τάφρου· καὶ τῆς σούδας, τὸ λεγόμενον χαντάκιον. *Sudes* σοῦδα, sed et *vallum sudibus munitum* recentioribus Graecis σοῦδα dicebatur: Nic. Rigaltio notata Glossar. Tact. v. Σοῦδα, Meursius partim correxit in Gloss. Gr. B. Plura dedit Ducangius Gloss. M. et I. G. in Σοῦδα et in Χάνδαξ, Χανδάκιον et Χαντάκιον. Quid fuerint veteribus οἱ χάρακες diligentissime tradidit Raphelius Annotat. in Lucae Evang. 19, 43. VALCK.
9. περιέλαβον, περιεκύκλωσαν etiam in B.
10. καὶ Gu. ἤγουν Bar.
12. καινῶς] κοινῶς Bar.
16. ὕμνος ᾀδόμενος M. ἐστὶν ὕμνος ᾠδῆς λεγόμενος C. εἶδος ᾠδῆς λεγόμενον B.I.
ib. Ἀπόλλωνα] ἥλιον M.
17. κακῶν B.C.M. δεινῶν I. "Leidensis Homeri codex ms. ad Il. 1, 473. hoc praebet vetus scholion nondum editum: Παιὼν καὶ Παιὰν ἐπὶ καταπαύσει λοιμοῦ ἢ πολέμου ᾀδό-

παιὰν δὲ καὶ σάλπιγγες: *παιὰν ὕμνος εἰς Ἀπόλλωνα ἐπὶ ἀφέσει λοιμοῦ ᾀδόμενος· νῦν δὲ παιᾶνα λέγει τὰς ἑκατέρων τῶν στρατευμάτων φωνὰς τὰς εἰς μάχην παρακαλούσας. γράφεται δὲ καὶ παιὼν, ὥς φησιν Ἀριστείδης ἐν Παναθηναϊκῷ "ἐκ θεῶν ἀρξάμενοι καὶ τοῦ φίλου παιῶνος."* Gu. Bar.

ἐκελάδουν: *οἱ μὲν εὐχόμενοι σωθῆναι, οἱ δὲ σαλπίζοντες.* B.C.M. Fl. 33. *τουτέστιν εὐχαὶ καὶ εὐφημίαι.* B. Fl. 33. *ἐπὶ ἀποτροπῇ κακῶν ἤχουν.* Bar. *ἤχουν.* Gr.

1104. *προσῆγε*: *προσήρχετο.* M. *Νηΐταις πύλαις*: *ἢ ἀπὸ Νηΐδος τῆς Ἀμφίονος καὶ Νιόβης, ἢ ἐπεὶ νέαται εἰσίν. ὁ δὲ Φερεκύδης ἀπὸ Νηΐδος τῆς Ζήθου θυγατρός.* B.C.M.I. *ταῖς ἀπὸ Νηΐδος τῆς Ἀμφίονος καὶ Νιόβης θυγατρὸς καλουμέναις.* Gu. *αἳ, φασὶν, ὠνομάσθησαν ἀπὸ Νηΐδος τῆς Ζήθου θυγατρός.* Gr.

1105. *πεφρικότα*: *πεπυκνωμένον.* A.B.C.M. *ἐξορθούμενον ταῖς ἀσπίσιν, ὡς τὸ "ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσιν."* A.B. C.M.I.

πεφρικότα: *φρὶξ τὸ ἀνεστηκὸς τῆς θαλάσσης ἐπιπολῆς. ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ ἐπὶ συὸς "φρίξας εὖ λοφιήν." καὶ "ἔφριξε μάχη φθισίβροτος ἐγχείῃσι." καὶ ἐνταῦθα, ἀσπίσιν πεφρικότα.*

μενος, πολλάκις δὲ καὶ ἐπὶ προσδοκωμένου. πέντε δὲ αἱ παρὰ τοῖς ἥρωσιν ᾠδαί· Σωφρονιστικὴ, ὡς ἡ τοῦ ἀοιδοῦ τῆς Κλυταιμνήστρας· Ἐγκωμιαστικὴ, οἵαν Ἀχιλλεὺς εὕρηται ᾄδειν, 'ἄειδε δ' ἄρα κλέα ἀνδρῶν'· Παιανικὴ, ὡς νῦν· Θρηνητικὴ, ὅπερ (ὥσπερ) ἐπὶ γυναικῶν, '"Ανερ ἀπ' αἰῶνος ὄλεο' (νέος ὤλεο Il. 24. 725.)' καὶ Ὑπορχισματική' imo Ὑπορχηματική." VALCK.

2. λοιμοῦ Valck. pro λιμοῦ. Conf. schol. ad v. 1037.

4. Ἀριστείδης] Vol. 1. p. 124. Παιὰν et Παιὼν interdum permutantur; saepius παιανίζειν et παιωνίζειν. vid. Wessel. ad Diodor. vol. 1. p. 554. VALCK.

6. οἱ δὲ σ. om. C. illatis verbis καὶ ἐπὶ ἀφέσει λιμοῦ (scribe λοιμοῦ) ᾀδόμενος, ex schol. v. 1102.

9. ἢ ἀπὸ] ἢ om. C.

10. νέαται] νεᾶται M. νεήται A. "Pausan. 9. p. 727. hanc adpellationis rationem tradit explicatius, sic ni fallor emendandus: ἐν ταῖς χορδαῖς νήτην καλοῦσι τὴν ἐσχάτην. Hesychius, νεάτη, ἐσχάτη, καὶ ἡ νήτη χορδὴ ὑπὸ τῶν μουσικῶν πρὸς ἀντιδιαστολὴν τῆς τε ὑπάτης καὶ μέσης. Schol. Soph. Aj. 1204. νήτη—ἡ τελευταία χορδή· frequens ejus mentio apud musicos et Plutarchum. Quae hoc in scholio, Νηΐς, Zethi filia, apud Pausaniam nostris in exemplaribus in marem fuit transformata; sed in isto loco plura sunt depravata, vel mutila." VALCK.

14. ἐξ. ταῖς ἀ. om. A.

15. ὡς τὸ] Hom. Il. 13, 239.

ib. δὲ μάχη—ἐγχείῃσι om. M. φθ. ἐγχείῃσι om. A. ἐγχείῃσι om. I.

18. φρίξας] Hom. Od. 19, 446.

ib. καὶ ἔφριξε—ἐγχείῃσι ex Gr. et Mosq. addidi, in quibus Mosq. φθεισίβροτος ἐγχίοισιν. Idem mox ὡς ἐνταῦθα pro καὶ ἐντ. et ἀσπίδι πεφρ. MATTH.

φρικότα, οἱονεὶ κυματίζοντα τῇ πυκνότητι καὶ κινήσει τῶν ἀσπίδων καὶ ὀρθιάσει. Gr. Cant. Mosq.

1106. ὁ τῆς κυναγοῦ—ἔκγονος: τῆς Ἀταλάντης. B. rec. M. ὁ υἱὸς τῆς κυνηγοῦ, ἤγουν τῆς Ἀταλάντης. Gr. Florr. omnes.

1107. ἐπίσημ᾽: ἐπίσημον. Gr. σημεῖον. B.T. Gu.

1108. Ἀταλάντην: ἔχει γὰρ ἐν τῇ ἀσπίδι τὴν Ἀταλάντην τοξεύουσαν τὸν Αἰτωλὸν κάπρον τοῖς μακροβόλοις ὀϊστοῖς. A.C.M.T.

κάπρον: ὃν ἐπήγαγεν Αἰτωλοῖς ποτὲ Ἄρτεμις λυμαίνεσθαι τὴν σφῶν χώραν, ὀργιζομένη Οἰνεῖ θύσαντι τοῖς ἄλλοις θεοῖς, καὶ οὐ τῇ Ἀρτέμιδι. ἀπέκτεινε δὲ τὸν κάπρον τοῦτον ὁ Μελέαγρος. Gu. Bar. οὗτος ὁ κάπρος ἐλέγετο Καλυδώνιος· Καλυδὼν δὲ ὄρος Αἰτωλίας. ἱστορεῖται δὲ ὡς τοῦτον τὸν κάπρον ἡ Ἄρτεμις ἐτόξευσε, Μελέαγρος δὲ τῷ συνεκτόνῳ δόρατι περὶ τὸ μέτωπον πλήξας ἀνεῖλεν. Gu.

1109. χειρουμένην: θηρῶσαν. B. κρατοῦσαν, νικῶσαν. Gu.

εἰς δὲ Προιτίδας: ἐκβληθεὶς γὰρ ὑπὸ Ἀκρισίου ᾤκησεν ὁ Προῖτος εἰς τὰς Θήβας πλησίον τούτων τῶν πυλῶν. πύλαι δὲ Θηβῶν ἀπὸ

6. γὰρ om. A.

ib. τὴν Ἀταλάντην hic M., ante ἐν τῇ ἀσπίδι C.T.

7. τὸν Αἰτωλὸν] τὸν (καὶ τὸν C.) ἀπὸ τῆς αἰτωλίας C.T.

ib. ὀϊστοῖς] τόξοις C.

9. ὀργιζομένη] ὀργιζομένην Bar.

ib. Οἰνεῖ Valck. pro οἱονεί. "Quum frugum primitiis superos omnes honestaret Oeneus, *solas sine thure relictas Praeteritae cessasse ferunt Letoïdos aras: Tangit et ira Deos. Deos* scilicet, (legatur Lucian. de Sacrific. vol. 1. p. 525, 526.) qui, καθάπερ ὀξύχολον γραΐδιον εἰς ὀργὴν ἐρεθιζόμενον, ἐκπικραίνονται· ᾗ φασὶ τὴν Ἄρτεμιν δι᾽ Οἰνέα Αἰτωλοῖς ὀργισθῆναι· ut scribit Clemens Alex. Strom. 7, p. 841, 26. haec continua subjiciens prioribus: πῶς γὰρ οὐκ ἐλογίσατο, θεὸς οὖσα, ὡς οὐ καταφρονήσας ὁ Οἰνεὺς, ἀλλ᾽ ἤτοι λαθόμενος, ἢ ὡς τεθυκὼς ἠμέλησεν; si paraphrasis postrema sunt Homericorum, ἢ λάθετ᾽ ἢ οὐκ ἐνόησε, quidni corrigerentur ἤτοι λαθόμενος, ἢ οὐ νενοηκὼς ἠμέλησεν: sed ne hoc quidem vidit editor, in proximis pro ἡ αὐτὴ, restituendum, ἡ Αὔγη, *Auges* nomen, cujus virginitatem Hercules delibaverat: hoc e Grotii discere potuerat Excerptis p. 375, ad Euripidis Augen fragmentum illud jure referentis." VALCK.

15. ᾤκησεν (ᾤκισεν M.) ὁ Προῖτος εἰς τὰς Θήβας] *Thebas concessit*, vel *profectus est, habitatum*: loquendi formam, saepe minus intellectam, sic interpolarat recentior, εἰς Θήβας ἦλθε καὶ αὐτόθι ᾤκησε. commemini, locum quemdam Ieremiae simillimo fuisse modo interpolatum in Graecis 48, 7. recte legitur in edd. ἔσφαξεν αὐτοὺς—εἰς τὸ φρέαρ· e Prolegom. ad vol. 3. ed. Breit. p. 25. discimus in cod. ms. legi ἔ. α. καὶ ἔρριψεν εἰς τὸ φ. illinc temere V. D. suspicabatur in Hebraeo contextu deficere ושלבם. VALCK.

16. πύλαι—ἐν Θήβαις om. B.C.I. In A. ἄλλως. πύλαι θηβῶν ἐπὶ προίτου—φεύγων ᾤκησεν εἰς θήβας.

Προίτου τοῦ ἄρχοντος, ὃς ἐξ Ἄργους φυγὼν ᾤκησεν ἐν Θήβαις. ὅθεν ἴσχυσεν αὐτῶν ἡ προσηγορία. A.B.C.M.T.I.

1110. *σφάγι' ἔχων*: ἱερεῖα εἰς σφαγὴν ἕτοιμα εἶχεν ἐν τῷ ἅρματι, ἵν', εἰ χρεία γένοιτο μαντείας, εὐθέως σφάξας μαντεύσηται. B.C.M.T. Gu. I. *θυσίας*. B. rec.

1111. *οὐ σημεῖ' ἔχων*: οὐκ ἔχων ἐπὶ τῇ ἀσπίδι σημεῖα ὑπερήφανα καὶ μετὰ ἀλαζονείας, ὡς τὰ Καπανέως. B.C.M.T.I. καὶ παρὰ τῷ Αἰσχύλῳ "τοίαν ὁ μάντις ἀσπίδ' εὔκυκλον ἔχων πάγχαλκον ἔρπει, σῆμα δ' οὐκ ἐπῆν κύκλῳ." A.B.M.T.I. Ἄλλως. οὐχ ὡς οἱ ἄλλοι ἔχων πεποικιλμένην τὴν ἀσπίδα. A.

ὑβρισμένα: ὑπερήφανα, οὐχ ὕβρεις ἐπιφέροντα ταῖς Θήβαις. M. *ὑπέρογκα*. B. rec. ὕβριν ἔχοντα καὶ ἀλαζονείαν, ἀλλ' ἔχων ὅπλα ἄσημα, ἤγουν μηδὲν ἐπίσημον ἔχοντα, σωφρόνως, ἤγουν ἐν καταστάσει ἀλαζονείας ἀπηλλαγμένῃ. Gr. Florr. omnes. *ἀλαζονικά*. Gu.

ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα: ἀντὶ τοῦ, οὐκ ἀλαζονείαν τινά. ἴσως δὲ ὡς μάντις προειδὼς τὸ μέλλον οὐδὲν ἀλαζονικὸν ἐφρόνει. A.M.T.

1113. *Ὠγύγια δ' εἰς πυλώμαθ'*: ἐπειδὴ παρὰ τῷ Ὠγύγου τοῦ

1. ὅθεν—προσηγορία solus habet C. "Aliud scholion e Cant. dedit King. quod idem est in Gr. et Florr. 56. 59. 76. ἐκβληθεὶς, φασὶν, ὁ Προῖτος ὑπὸ Ἀκρισίου εἰς τὰς Θήβας ἦλθε, καὶ αὐτόθι ᾤκησε πλησίον τούτων τῶν πυλῶν, αἳ δὴ καὶ Προιτίδες ἀπ' αὐτοῦ ὠνομάσθησαν. quorum ultima, εἰς τὰς Θήβας etc. sunt etiam in Mosq." MATTH. φασὶν, quod in schol. prostat Kingiano *indicium prodit grammatici recentioris*: Hemst. in Plut. Aristoph. 198. Multo rarius illud reperitur in Aug. cod. quam in edd. VALCK.

3. σφαγὴν] σφάγια A. qui verba ἱερεῖα—ἕτοιμα εἶχεν habet.

ib. ἕτοιμα εἶχεν] ἔχων ἕτοιμα I.

4. ἵν'] ἵνα B.

ib. γίνοιτο μαντείας] μαντείας γένηται M. γίνηται μαντείας C.

ib. εὐθέως σφάξας] σφάξας εὐθέως C. Gu. εὐθέως om. M.

ib. μαντεύσηται] μαντεύσοιτο Gu.

6. τῇ ἀσπίδι] τῆς ἀσπίδος A.B.C.

ib. ὑπερήφανα] ὑπερηφάνου A.

7. τὰ Καπανέως] καταπανέως C.

8. παρὰ τῷ M. παρ' ceteri. Pro καὶ παρὰ τῷ αἰσχύλῳ in A. lacuna.

ib. Αἰσχύλῳ] Sept. 590.

ib. τοίαν A.M.I. τοίων δ' T. τοιαῦθ' I., ut apud Aeschylum.

ib. ἀσπίδ'] ἀσπίδων T.

ib. εὔκυκλον A. ἔγκυκον T., om. B. M.I. Aeschyli codex Mediceus εὔκηλον ἔχων. Rectam scripturam εὔκυκλον νέμων in margine posuit διορθωτὴς codicis Medicei.

9. ἔρπει A.M.T. ἔρπε B.I. Apud Aeschylum ηὔδα.

16. προειδὼς] καὶ προειδὼς A.

ib. οὐδὲν] οὐδὲ A.

ib. ἐφρόνει] νέφος (sic) M.

18. ἐπειδὴ] ἐπεὶ A.T.

ib. τῷ om. A.T.

ib. τοῦ Βοιωτοῦ om. M.

Βοιωτοῦ τάφῳ ἔκειντο, καὶ οὐχ ὅτι Ὤγυγος αὐτὴν ἔκτισεν· οἱ γὰρ περὶ τὸν Ἀμφίονα ἔκτισαν τὰς Θήβας· ἢ ἀρχαίων ὡς αὐτῶν πρωτοκτίστων οὐσῶν τῇ πόλει. A.M.T. *Ὠγύγια προσηγορεύθη, φησὶν Ἀριστόδημος, διὰ τὸ τοὺς περὶ Ἀμφίονα καὶ Ζῆθον, τειχίζοντας τὰς Θήβας, παρὰ τὸν Ὠγύγου τοῦ βασιλέως τάφον αὐτὰς τάξαι. Ὠγύγια δὲ τὰ ἐν τάφῳ τοῦ Ὠγύγου βασιλέως.* C.

1114. *ἐν μέσῳ σάκει: ἐν μέσῳ τῷ Ἱππομέδοντος σάκει ἐνεγέγραπτο ὁ Ἄργος ὁ κύων, ὃν πανταχόσε τοῦ σώματος ὀφθαλμοῖς πεποικίλθαι φασὶ, τοὺς μὲν σὺν ταῖς ἀνατολαῖς τῶν ἄστρων, τουτέστιν ἐν νυκτὶ, ἀνεῳγμένους καὶ βλέποντας κεκτημένον, τοὺς δὲ σὺν τῇ δύσει τῶν ἄστρων καμμύοντας. τοῦτο δὲ ἦν, ἵν' ἑκάστοτε ἀγρυπνῶν πρόνοιαν ἔχῃ Ἰοῦς, ἧς ἐπιστάτην Ἥρα ἐπέστησεν· ὃν ὑπὸ τοῦ Ἑρμοῦ, Διὸς πέμψαντος, φονευθέντα ἐλεήσασα ἡ Ἥρα ἐποίησεν ἀντ' αὐτοῦ ταώ.* Gu. Bar.

1115. *στικτοῖς πανόπτην: ὁ πανόπτης κύων, ὃς ἐφύλασσε τὴν Ἰώ· ἅπας γὰρ ὀφθαλμὸς ἦν.* C. *πεποικιλμένοις, ἐγγεγραμμένοις.* M.T. Fl. 59. *Ἄλλως. τοῖς ἐμπεποικιλμένοις. φησὶ δὲ τὸν Ἄργον, τὸν τῆς Ἰοῦς φύλακα. οἰκεῖον δὲ ὁ Ἱππομέδων σημεῖον εἶχεν ἐγγεγραμμένον· εἰς γὰρ τεκμήριον τῆς πατρίδος σημεῖον στικτὸν*

1. αὐτὴν] αὐτοὺς A.
2. ἀρχαίων M. ἀρχαίως T. ἀρχαῖαι A.
ib. ὡς] ὡς ἂν A.
4. Ἀριστόδημος] Bonitatem antiquissimi scholii, quod deerat in edd., monstrat *Aristodemi* mentio. Inferius ad v. 1119. ex eodem traditur *Aristodemo* cur alia de septem portis *Homoloidum* nomine diceretur: eamdem operis partem respicit scholiasta Theocriti, cui dicitur *Aristodemus* ὁ Θηβαῖος et Suidas in Ὁμολώϊος Ζεύς, citans Ἀριστόδημον ἐν δευτέρῳ Θηβαϊκῶν, hoc enim *Aristophanis* nomini recte substituit D'Orvillius in Miscell. Nov. vol. 3. p. 159. Templorum, altarium, statuarum, portarumque, ni fallor, inscriptiones potissimum explicuerat in isthoc opere; quod Θηβαϊκῶν ἐπιγραμμάτων titulo citat schol. Apoll. 2, 906. Schol. in Phoen. 159. Ἀριστόδημος οὐδαμοῦ ἐν ταῖς Θήβαις φησὶ τῶν Νιοβιδῶν εἶναι τάφον. conf. schol. ad 1156. Illinc quoque petita suspicor quae sub *Aristodemi* nomine citant Etym. M. in Διόνυσος, et schol. Hom. Il. 13, 1. In Mich. Apostolii farragine Prov. 18, 42, Ἀριστόδημος, *rerum Thebanarum scriptor*, in Χρηστόδημον transformatus est. Suidam descripserat Apostolius. VALCK.
ib. διὰ τὸ Valck. τὸ om. C.
9. ταῖς ἀνατολαῖς—ἀνεῳγμένους] τῇ ἀνατολῇ—ἠνεῳγμένους Gu.
10. καὶ β. κεκτημένον om. Bar.
12. τοῦ om. Gu.
13. ἡ om. Gu.
16. Ἰώ] ἰνῶ C.
17. Ἄλλως om. C.T. Lemma στικτοῖς πανόπτην in C.
19. τεκμήριον—σημεῖον] σημεῖον—τεκμήριον M.

ἔφερε τῆς Ἀργείας βοὸς φύλακα. B.C.M.T. οἱ δὲ οἷον κατεστιγμένα, ποικίλα τὴν γραφήν· τοὺς γὰρ ὀφθαλμοὺς καταστίκτους γράφουσι καὶ φοβερόν τι ἀποτελοῦσι τῇ καταστίξει. C.T. πεποικιλμένοις, διὰ τὸ εἶναι αὐτὸν ἄϋπνον φυλάττοντα τὸν βοῦν ἐκ κελεύσεως τῆς Ἥρας. A.M. ποικίλοις. Gu. I. καταπληκτικοῖς. B.I. πυκνοῖς. Gr. Florr. πανόπτην: τὸν κύνα τὸν Ἄργον. Gu. I. πανόπτης διὰ τὸ εἶναι ἄϋπνος. Gu.

1116. ἐπιτολαῖσιν: τοῖς μὲν πρὸς ἀνατολὰς κειμένοις ὄμμασι βλέποντα, μύοντα δὲ τὴν πρὸς δύσιν· θέλει γὰρ αὐτὸν οἷς μὲν ἐξαγρυπνεῖν, οἷς δὲ καθεύδειν ὄμμασιν. Ἄλλως. ἰδίως ὁ Εὐριπίδης ἔνια μὲν τῶν τοῦ Ἄργου ὀμμάτων συνανατέλλειν τοῖς ἄστροις φησὶ δεδορκότα, τὰ δὲ πρὸς ταῖς δύσεσι καταμύειν. ὁ μὲν γὰρ Φερεκύδης αὐτὸν ἐπὶ τοῦ ἰνίου φησὶν ἔχειν ὀφθαλμόν, ἅμα δηλῶν ὅτι δύο ἐγένοντο Ἄργοι. γράφει δὲ οὕτως· Ἄργος ὁ Διὸς γαμεῖ Πειθὼ τὴν Ὠκεανοῦ. τοῦ δὲ γίνεται Κρίασος, τοῦ δ' Ἐρευθαλίων (ἀφ' οὗ Ἐρευθαλία πόλις καλεῖται ἐν Ἄργει) καὶ Φόρβας. τοῦ δὲ γίνεται Ἀρέ-

1. κατεστιγμένα, ποικίλα—καταστίκτους T. κατεστιγμένος, ποικίλος—κατάστικτος C.

3. γράφουσι] ἔχουσι A.

ib. καταστίξει] καταστίκτει C.

6. κύνα τὸν ἄ.] ἄ. κύνα I.

9. τὴν M. τὰ B.I. τοῖς A.T.

ib. οἷς μὲν—οἷς δὲ] τοῖς μὲν—τοῖς δὲ I.

ib. ἐξαγρυπνεῖν M.T. διαγρυπνεῖν A.B.I.

10. Lemma τὰ μὲν σὺν ἄστρων ante ἰδίως habent B.C. ἰδίως om. I. "Rei mirificae, quam propria sibi ratione tradit Euripides, recte praefigitur ἰδίως: vid. Hemst. ad schol. in Arist. Plut. p. 39." VALCK.

ib. ὁ Εὐριπίδης] ὁ om. M.

11. τῶν τοῦ Ἄργου] τοῦ τῶν ἄργων (sic) C.

ib. τοῖς ἄ. φησὶ M. φησὶ τοῖς ἄ. B.C.I. φησὶ τοῖς om. A., sed habet φησὶ post ἔνια μέν.

ib. δεδορκότα] φησὶν addit M., sed omittit post ἰνίου.

12. τὰ δὲ] τὰ om. A.

ib. δύσεσι] μύσαισι A.

13. αὐτὸν hic M., post φησὶν A.B.C.I. τοῦ om. A.C.

ib. δηλῶν ὅτι δύο ($\bar{\beta}$ M.)] δηλονότι δύο T. δὲ $\overline{\lambda\beta}$ C. omisso ὅτι.

ib. ἐγένοντο] γεγόνασι A. idque post Ἄργοι.

14. Ἄργοι. γράφει (γρ. B. γράφουσι T.) δὲ οὕτως om. C. In A. ἄργοι. γράφων οὕτως.

ib. Πειθὼ om. C.

15. Ὠκεανοῦ] θυγατέρα add. I.

ib. Κρίασος] κρίσσος C.

ib. Ἐρευθαλίων] ἔρευθα M.

ib. Ἐρευθαλία] ἐρευθαλίη A.B.C.M.

16. Φόρβας] Argo, qui totus oculeus fuit, patrem nemo tamen Phorbantem dedit: in edd. Arestor memoratur: Apollod. 2, 1, 3. τὸν πανόπτην Ἀσκληπιάδης μὲν Ἀρέστορος λέγει υἱόν· Φερεκύδης δὲ Ἰνάχου, ubi forte nomina transponenda sunt Asclepiadis et Pherecydae. In schol. ad Euripidis Oresten v. 930, ut hoc in scholio, Niobes e Iove,

στωρ, τοῦ δὲ Ἄργος, ᾧ Ἥρα ὀφθαλμὸν τίθησιν ἐν τῷ ἰνίῳ, καὶ τὸν ὕπνον ἐξαιρεῖται, καὶ ὑφίσταται φύλακα αὐτὸν τῇ Ἰοῖ, ἔπειθ' Ἑρμῆς αὐτὸν κτείνει. Διονύσιος δὲ ἐν τῷ πρώτῳ τοῦ κύκλου βύρσαν αὐτὸν

filius datur Criasus, huic Phorbas. Pherecydeis hinc descriptis utuntur Ursinus in Virgil. Aen. 7, 791. Micyllus in Ovid Met. 1, 624. partim quoque Galeus in Apollod. p. 35. Muncker. in Hygin. Fab. 145. VALCK.

p. 293. l. 16. Ἀρέστωρ, τοῦ δὲ om. C.

1. ᾧ] ᾧ δὴ C.

ib. Ἥρα] ἤδη A.B.M., om. C.

ib. τίθησιν] τίθει C. (non ἐτίθει, ut Valck.)

2. καὶ ὑφίσταται] Scribendum arbitror: καὶ ἐφίστησι φύλακα καὶ αὐτὸν τῇ Ἰοῖ. Pherecydes ipse: κατέστησε φύλακα τὸν ὄφιν in Eratosth. Cataster. c. 3. E proximis Pherecydeis apud Eratosth. corrigi poterit, qui passim Pherecydem sequitur, Apollodor. 2, 5, 11. ἃ Διὶ Γῆ γήμαντι Ἥραν ἐδωρήσατο. vulgatur, ἃ Διὶ γήμαντι Ἥρα ἐδ. De Io Apollod. 2, 1, 3. φύλακα αὐτῆς κατέστησεν Ἄργον τὸν πανόπτην. Schol. Hom. Il. 2, 103. ἐπέστησεν αὐτῇ φύλακα Ἄργον. rariori structura Charax ἐν Ἑλληνικοῖς· φυλάξαι ἐπιστήσας αὐτὴν — Ἄργον, *Argo praefecto, qui custodiret illam:* hanc historiae particulam e Charace nobis servavit Anonymus περὶ Ἀπίστων cap. 15. cujus prima verba turpis insidet menda: Ἰὼ ἡ Ἀρέστορος ἠρᾶτο τῇ Ἥρᾳ. L. Allatius vertit: *Iunoni odio erat:* corrigendum, ἱερᾶτο τῇ Ἥρᾳ, *Iunonis erat sacerdos.* sic Graeci verbum illud frequentant. Regiae puellae datum ab Argivis scribit Palaephatus π. Ἀ. c. 43, τὸ ἱέρειαν εἶναι τῆς Ἀργείας Ἥρας. Aeschylus Supplic. 299. κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτὲ Ἰὼ γενέσθαι τῇδ' ἐν Ἀργείᾳ χθονί. VALCK. καὶ ὑφίσταται καὶ B.I.

ib. ἔπειθ' A.C.M. ἔπειτα B.I.

ib. Ἑρμῆς om. M.

3. Διονύσιος] διον M. "Dionysius hic citatus non poëta, sed poëtarum fuit interpres et historicus: Casaubon. in Athen. p. 479. Quod scribit Dionysius, Argum βύρσαν ἠμφιέσθαι, plenius traditur ab Apollod. 2, 1, 2. τὸν τὴν Ἀρκαδίαν λυμαινόμενον ταῦρον ἀνελὼν τὴν τούτου δορὰν ἠμφιέσατο." VALCK.

ib. τῷ πρώτῳ C. τῷ αὐτῷ M. τῷ αὐτοῦ A.T. τῷ ἐνδεκάτῳ B.I. "Wetstenius, hinc verba quaedam excitans ad Joannis Apocal. 4, 6. posuit, sive casu, seu consilio deliberato: Διονύσιος δὲ ἐν τῷ ά τοῦ κύκλου· Sic scripta, sive potius ἐν ΤΩιΑ, monstrant erroris originem. Quae prostant apud Athen. 10. p. 432 A. verba Platonis leguntur ἐν τῷ ά τῶν Νόμων p. 637 D. non, ut ibi vulgatur ἐν τῷ ἐνδέκατῳ· Platonem adhibenti patebit error Casauboni: idem Athenaeus 15. p. 699 D. dixisse creditur Neanthem, ἕνα τῶν περὶ Ἄτταλον ἱστορικῶν· non vidit Ionsius scribendum, ἐν ά τ. π. Ἄ. ἱστοριῶν. Sed ista nihil ad Dionysium Samium, quem libro 5. et 6. res Troianas atque Homerica tradidisse liquet ex Athen. 11. p. 481 E. p. 477 E. Clem. Alex. Protrept. p. 42, 5. cujus verba Casaubonum tamen aliter accepisse memini, de Cyclo Epico docte disputantem Anim. in Athen. 7, 3., circa finem. Antiquissima, quae quidem Iûs spectant custodem, dudum ante Dionysium explicuisse credibile est. De hoc opere quaedam notarunt Fabricius B. G. 1. p. 281. p. 799. et Wesselingius ad Diodor. Sic. 1. p. 220. Numerus XI., qui hic erat in edd. facit ut

ἠμφιέσθαι φησὶ, καὶ κύκλῳ τὸ σῶμα ὅλον ὠμματῶσθαι. ὁ δὲ τὸν Αἰγίμιον ποιήσας φησί

Καί οἱ ἐπίσκοπον Ἄργον ἵει κρατερόν τε μέγαν τε,
τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα,
ἀκάματον δέ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος
πῖπτεν ἐπὶ βλεφάροις, φυλακὴν δ' ἔχεν ἔμπεδον αἰεί.

A.B.C.M.T.I.

ἐπιτολαῖσιν: ἀνατολὴ καὶ ἐπιτολὴ διαφέρει. ἀνατολὴ μὲν γάρ ἐστι τῶν μεγίστων ἄστρων τῶν προαναβαινόντων, ἐπιτολὴ δὲ τῶν ἐλαττόνων, τῶν μετ' ἐκεῖνα. A.C.M.T. ἐπιτολαῖσιν ὄμματα: ἐν-

recorder in exiguo libello de fluminibus a falsario saepius operum citari librum 13., Archelai, Callisthenis, Chrysermi, Clitophontis, Ctesiphontis, Sosthenis: hoc quoque fraudem ille suam prodit indicio." VALCK.

p. 294. l. 3. τοῦ κύκλου—φησὶ καὶ om. M. φησὶ om. A.C.

1. κύκλῳ om. C.

ib. ὠμματῶσθαι] ὀμματῶσθαι A.C. M.

ib. ὁ δὲ—ποιήσας φησὶ om. M.

2. Αἰγίμιον] αἴγιμον B.C.T., om. in lacuna I. "Qui cod. adhibuit Aug. haec adposuerat in margine Basil. edit. 'in Ms. est αἴγιμ'. Lege αἰγιμιόν. ita schol. Apoll. v. omnino Gronov. ad Steph. Byz. in ed. Berkeliana.' Aptior ex antiquitate locus forte designari non poterat illo Stephani, ad quem Gronovius notabat, in v. Ἀβαντὶς, ἡ Εὔβοια ὡς Ἡσίοδος ἐν Αἰγιμίου δευτέρῳ, περὶ Ἰοῦς,——νήσῳ ἐν Ἀβαντίδι δίῃ, τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες κ. τ. λ. Ex isto loco liquet Epicum fuisse poëma, eujus libro 2., poëta de Io eecinerit: hine itaque quatuor versus in scholiis nostris sunt petiti, de Iûs agentes custode. Patrem poëmatis veterrimi meliores critici, dum silent, ignorare se fatebantur: nonnulli tribuerunt illud vel Hesiodo vel Cercopi Milesio. Aegimius Herculi vicem retulerat accepti beneficii: huic iuscriptum poëma eompleetebatur procul dubio bellum Aegimii cum Lapithis; Aegimii filiorumque duorum, ad quos tertius Hyllus accessit Heraclides, historiam. Alii quidem attigerunt hoc poëma; sed diligenter egit atque eleganter de Aegimio Henr. Valesius Emend. 1, 32. quem noster tamen locus insignis latuit et ille Stephani; hic diligentiam non praeteriit editoris Petr. Burmanni." VALCK.

3. Ἄργον ἵει (ἵει A.I.) om. C. in fine lineae.

4. τέτρασιν] τέτρασι C. omisso ὀφθαλμοῖσιν.

6. πῖπτεν (correxi accentum πίπτεν)] πίπτει C., om. M.

ib. βλεφάροις A.B. βλεφάροισιν M. βλεφάροισι I. "βλεφάρων C. Vulgata lectio melior est: Homer. Od. 5, 271. de Ulysse, navim gubernaute, οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε." VALCK.

ib. φυλακὴν M. φυλακὴ ceteri.

ib. ἔχεν] ἔσχεν T.

ib. ἔμπεδον] ἔμπεδος C.T.

ib. αἰεί A.C.M.T. αὐτόν B.I. Post αἰεί C. pergit τὸν Ἄργον etc. (p. 296, 6.)

8. ἐπιτολαῖσιν—] Hoc scholion in C. legitur post scholion v. 1115. (post τῇ καταστίκτει), in M. inferius post λεπτοτέραν ὁρᾶν τὴν γραφήν.

ταῦθα ἀνατολαῖς ἀκούειν δεῖ, οὐ διαχωρίζοντας, ὡς παρ' Ἡσιόδῳ καὶ Ἀράτῳ. τὴν πρόφασιν δὲ εἶπεν ἀκολούθως τοῦ λεπτῶς οὕτω γνῶναι τὴν γραφήν· τεθνηκότος γὰρ τοῦ Ἱππομέδοντος, καὶ κειμένου τοῦ ὅπλου παρῆν ἀδεῶς καὶ λεπτοτέραν ὁρᾶν τὴν γραφήν. A.C.M.T. ὄμματα: τουτέστιν οἱ μὲν ὀφθαλμοὶ, οἵτινες ἦσαν πρὸς ἀνατολὴν, ἔβλεπον, οἵτινες δὲ ἦσαν πρὸς τὴν δύσιν, ἐκάμμυον. τὸν Ἄργον κύνα λέγει. ἐγέγραπτο γὰρ, φησὶν, ἐν τῇ ἀσπίδι τοῦ Ἱππομέδοντος, ἔχοντα τῶν ὀφθαλμῶν τοὺς μὲν ἐπὶ ἀνατολὰς τῶν ἄστρων τεταμμένους, τοὺς δὲ πρὸς τὰς δύσεις, οὓς καὶ μύειν ἐδόκει. τὸ γὰρ πίπτοντα ἀντὶ τοῦ καμμύοντα. πανόπτης δὲ καλεῖται διὰ τὸ εἶναι αὐτὸν ἄϋπνον, φυλάττοντα τὴν βοῦν ἐκ κελεύσεως Ἥρας. C. τὰ μὲν ἔμπροσθεν αὐτοῦ ὄμματα βλέποντα ταῖς ἐπιτολαῖς τῶν ἄστρων, τὰ δὲ ὄπισθεν μετὰ τῶν δυνόντων ἄστρων μύοντα. M.

1117. βλέποντα, τὰ δὲ κρύπτοντα: ἰστέον ὅτι τὸ βλέποντα καὶ τὸ κρύπτοντα πρὸς τὸν πανόπτην συντάσσεται, ἀρσενικαὶ αἰτιατικαὶ οὖσαι, καὶ οὐχ, ὥς φασί τινες, οὐδέτεραι, συντάσσοντες πρὸς τὸ τὰ μὲν, τὰ δὲ, οὐ συνάπτοντες τῷ προτέρῳ, ἀλλὰ κομματικὸν ἐκφέροντες, λαμβάνοντες ἔξωθεν τὸ ὑπῆρχον, καὶ λέγοντες οὕτω, τὰ μὲν ὄμματα ὑπῆρχον βλέποντα, τὰ δὲ κρύπτοντα. Gu. Bar.

1118. ὡς ὕστερον: ὥστε παρῆν ὁρᾶν τὴν ἀσπίδα ὕστερον οὕτως ἐγγεγραμμένην ἀποθανόντος τοῦ Ἱππομέδοντος τοῦ αὐτὴν βαστάζοντος. C.M.T. τὸ ὡς ἀντὶ τοῦ καθὼς ὁρᾶν οὕτως, καθὼς ἦν ἰδεῖν τὴν

1. διαχωρίζοντας] διαχωρίζοντος C. male. Dicit ἐπιτολαῖς idem esse quod ἀνατολαῖς, ut apud Hesiodum et Aratum vox occurrat, ut Πληϊάδων δ'—ἐπιτελλομενάων, non utrumque inter se distinguendum, quod paulo ante monitum erat. MATTH.

2. τὴν πρόφασιν δὲ] καὶ τὴν πρόφασιν δὲ (δὲ om. T.) A.T.

ib. τοῦ λεπτῶς οὕτω] τῷ λεπτῶς οὕτως C.

3. γραφήν] τροφήν C.

ib. γὰρ τοῦ] γὰρ φησὶ τοῦ A.

4. λεπτοτέραν addidi ex M. Idem vel λεπτότερον est in T. λεπτοτέρως A.

ib. ὁρᾶν M. θαυμάζειν A.C. θαυμάσεις T.

6. τὸν Ἄργον—Ἱππομέδοντος] Haec etiam in M. supra versum scripta.

ib. κύνα om. M.

7. ἐγέγραπτο M. ἐγγέγραπτω (hoc accentu et per literam ω) C.

ib. γὰρ addit M., om. C.

ib. ἔχοντα Valck. ἔχων C.

11. ἐκ addidit Valck.

14. ἰστέον] δὲ addit Gu.

16. καὶ οὐχ—οὐδέτεραι om. Bar.

ib. συντάσσοντες] δὲ additum in Kingii editione, sive ex Bar. sive ex conjectura, praecedentium verborum defectu non animadverso.

20. παρῆν—ἐγγεγραμμένην] παρῆν ὕστερον τὴν ἀσπίδα οὕτως ἐγγεγραμμένην ὁρᾶν C.

21. αὐτὴν] αὐτὸς C.

ἀσπίδα τοῦ Ἱππομέδοντος ὕστερον καὶ διαγνῶναι τὰ σημεῖα μετὰ τὸ αὐτὸν ἀποθανεῖν, ἐπεὶ πῶς ἦν δυνατὸν καλῶς διαγνῶναι ἀπὸ μήκοθεν, ὡς γνωρίσαι καὶ τὰ σημεῖα; ἀλλὰ μετὰ τὸ ἀποθανεῖν αὐτόν. M.

ὡς ὕστερον: καθὰ παρῆν ἡμῖν ὕστερον ὁρᾶν, ἀποθανόντος αὐτοῦ τοῦ Ἱππομέδοντος. Gr. Bar. Mosq.

1119. Ὁμολωΐσιν: πύλαι Θηβῶν. αὗται οὕτως ἐκλήθησαν ἀπὸ Ὁμολωέως τοῦ Ἀμφίονος. τοὺς γὰρ περὶ Ἀμφίονά φασι σὺν τοῖς παισὶν ἅμα Κάδμῳ τειχίσαι τὴν πόλιν. Ἀριστόδημος δ' αὐτάς φησιν οὕτω κληθῆναι διὰ τὸ πλησίον εἶναι τοῦ Ὁμολώου ἥρωος, οὗ τὴν ἐπίκλησιν ἔχουσι· κατὰ δὲ τοὺς ψευδολογεῖν βουλομένους ἀπὸ μιᾶς τῶν Νιόβης θυγατέρων, Ὁμολωΐδος καλουμένης. A.B.C. M.T.I.

Ὁμολωΐσιν: ταῖς ἀπὸ Ὁμολωέως, ἤγουν Ἀμφίονος, κεκλημέναις ἤγουν Ὁμολωΐδος τῆς θυγατρὸς αὐτοῦ. Gu.

1120. Τυδεὺς λέοντος: ὥπλιστο ἀσπίδα Τυδεὺς, λέοντος δέρμα ἐπίσημον ἔχουσαν· ἐνεγέγραπτο δὲ καὶ ὁ Προμηθεὺς λαμπάδα ἔχων ἐν τῇ δεξιᾷ, ὁ εἷς τῶν Τιτάνων, ὡς πρήσων τὴν πόλιν. Gu. Bar.

λέοντος δέρος: λέοντος δέρμα ὁ Τυδεὺς εἶχεν ἐγγεγραμμένον, τῇ μὲν λαιᾷ τὸ δέρμα, τῇ δὲ δεξιᾷ τὸ πῦρ ἔχων. τὸ δὲ Τιτὰν Προμη-

6. πύλαι—Ἀμφίονος] Brevius in C. αἱ ὁμολωΐδες ἀπὸ ὁμολωϊέως τοῦ ἀμφίονος. Verba πύλαι Θηβῶν om. A. qui αὗται δὲ —.

7. Ἀμφίονά φασι] ἀμφίονας (sic) φησὶ C.

ib. σὺν τοῖς παισὶν om. M. et cum signo lacunae I. In M. priora verba scholii usque ad περὶ ἀμφίονά φασι partim oblitcrata. "Servius ad Aen. 4. 470. *Thebae, civitas in Boeotia a Cadmo et Zetho et Amphione constituta.*" VALCK.

8. ἅμα Κάδμῳ] ἅμα καὶ κάδμῳ C.

ib. δ' αὐτάς φησιν] δὲ φησὶν αὐτὰς A.B. αὐτὰς om. C.

9. τὸ om. C.

ib. ὁμολώου T. ὁμολόου A. ὁμολωοῦ B.C.I. obliteratum in M.

ib. ἥρωος om. B.I. neque est in C., in quo post ὁμολωοῦ spatium relictum, in quo vocabula plura erasa, inter quae haud dubie ἥρωος fuit cum verbis proximis οὗ (οὕτω T.) τὴν ἐπίκλησιν ἔχουσι, quae ex A.T. addidi.

10. κατὰ δὲ—μιᾶς A.C.M.T. ἄλλοι δὲ ἀπὸ μιᾶς B.I.

11. τῶν—θυγατέρων] τῆς—θυγατρὸς C., qui om. καλουμένης.

18. ὁ Τυδεὺς εἶχεν ἐγγεγραμμένον] ἔχων ὁ τυδεὺς ἦν γεγραμμένον A.

19. τὸ πῦρ ἔχων A.B. τὸ πελτὸν I., omisso ἔχων. In C. hoc scholion sic conformatum, τυδεὺς λέοντος: τυδεὺς ἦν γεγραμμένος τῇ μὲν λεᾷ τὸ δέρμα, τῇ δὲ δεξιᾷ τὸ πῦρ ἔχων. In primis cum B.I. consentit T., in ultimis τῇ δὲ δ. τὸ πῦρ ἔχων cum C., qui post ἔχων pergit, ἀντὶ (Valck. ὁ ἀντὶ) δόρατος εἶχεν ὡς τιτὰν, ὅπερ ἐδέξαντο τινὲς ἀπὸ τοῦ ἑξῆς, ἀλλ' οὐ τὸ χρῆμα τιτὰν προμηθεύς. In A. (post ἔχων) τιτὰν προμηθεύς:

θεὺς οὕτως ἐξεδέξαντό τινες, ἀντὶ τοῦ δόρυ εἶχεν ὡς Τιτὰν, ἀλλ' αὐτόχρημα Τιτὰν Προμηθεύς. B.I.

1122. Τιτὰν Προμηθεύς: τὸ ὡς προτακτέον τοῦ Τιτάν, ὡς ὁ Προμηθεὺς ὁ ἀπὸ τῶν Τιτάνων. τὸ δὲ Τιτὰν Προμηθεὺς οὕτως ἐξεδέξαντό τινες, ἀντὶ δόρατος εἶχεν ὡς Τιτὰν, ὅπερ ἐξεδέξαντό τινες ἀπὸ τοῦ ἑξῆς, ἀλλ' αὐτὸ χρῆμα Τιτὰν Προμηθεύς. A.C.M.T.

1123. Κρηναίαισι: ταῖς ἐν τῇ Δίρκῃ. B. rec. I. ταῖς ἀπὸ τῆς κρήνης Δίρκης καλουμέναις. Bar. Gu. πύλαι καὶ αὗται Θηβῶν, ἴσως δὲ τῇ Δίρκῃ παρέκειντο, καὶ ἀπὸ ταύτης ὠνομάσθησαν. M.T.

1124. Ποτνιάδες; τὰς τοῦ Γλαύκου φησὶν, αἳ λυσσήσασαι κατέφαγον τὸν δεσπότην Γλαῦκον τὸν ἀπὸ Σισύφου ἐν Ποτνίαις τῆς Βοιωτίας. A.B.C.M.I. Γλαῦκον τὸν Σισύφου φασὶν ἔχειν ἵππους οὕτω λυττώσας ὡς καὶ αὐτὸν ὕστερον Γλαῦκον καταφαγεῖν. ἔτρεφε δὲ ἐν Ποτνίαις, πόλει τῆς Βοιωτίας, ὅθεν καὶ τοὔνομα ἔσχον αἱ ἵπποι Ποτνιάδες. εἶχε δὲ αὐτὰς ἐπίσημον Πολυνείκης ἐπὶ τῆς ἀσπίδος ἐν μέσῳ τῷ ὀμφαλῷ χαλκᾶς, οὕτως ὑπὸ μηχανῆς κατεσκευασμένας, ὥστε τοῖς ὑποκάτω τῆς ἀσπίδος ἱμᾶσι κινουμένας δοκεῖν μαίνεσθαι καὶ φόβον ποιεῖν τοῖς ὁρῶσιν. Bar. Gu.

τὸ ὡς προτακτέον τοῦ τιτᾶν, ὡς ὁ προμηθεὺς ὁ ἀπὸ τῶν τιτάνων. τὸ δὲ τιτὰν προμηθεὺς οὕτως ἐξεδέξαντο τινες ἀντὶ τοῦ δόρατα εἶχεν ὡς τιτὰν, ὅπερ ἐξεδέξαντο τινὲς ἀπὸ τοῦ ἑξῆς τιτὰν προμηθεύς.

3. τὸ ὡς—αὐτὸ χρῆμα Τιτὰν Προμηθεύς] Hoc scholion edidi ut in T. legitur. Fuit etiam in M., sed ita obliteratum ut paucorum tantum vocabulorum fragmenta appureant. Integrius in A. ut modo diximus.

ib. προτακτέον C. προστακτέον T.

ib. ὡς ὁ—αὐτὸ χρῆμα Τιτὰν Προμηθεύς] Pro his in C. est εἷς καὶ οὕτως (corrige οὗτος cum Matth.) ὁ προμηθεὺς γέγονε πάντων τῶν θεῶν. In Flor. 33. τὸ δὲ ὡς πρὸς τιτάν. ὁ γὰρ προμηθεὺς εἷς γέγονε τῶν τιτάνων θεῶν. "In his duo scholia confusa videntur, alterum τὸ ὡς προτακτέον τοῦ Τ. ὡς ὁ Προμ. ὁ ἀπὸ τῶν Τ. alterum huic oppositum, non jungenda esse ὡς Τιτὰν Προμ. sed Tydeum esse ipsum et verum Promethea, ἀλλ' αὐτόχρημα Τ. Προμ." MATTH. In M. in fine folii 97 a. trium scholiorum (ad v. 1122. Τιτὰν Προμηθεύς, 1124. Ποτνιάδες, 1126. εὖ πως στρόφιγξιν) vestigia supersunt, quinque lineis ita obliteratis ut paucas tantum literas agnoscere liceat.

9. ὠνομάσθησαν Matth. pro ὠνόμασαν.

11. τὰς τοῦ (τάς τε A.)—] ἄλλως praefixum in A. quia praecedit scholion infra positum ποτνιάδες. μανικαί—τὸν ἄγριον.

ib. φησὶ post λυσσήσασαι ponit A.

ib. λυσσήσασαι] λυττήσασαι C.

12. ἀπὸ σισύφου A. ἀπὸ om. ceteri.

Ποτνιάδες: *μανικαί.* *τινὲς δέ φασι* Γλαῦκον *τὸν τῶν* Ποτνιάδων *ἵππων δεσπότην πατέρα εἶναι* Βελλεροφόντου, *ἐξ οὗ παῖς ἐγένετο* Γλαῦκος. Ποτνιάδες δὲ ἐκαλοῦντο, ἐπειδὴ ἐν Ποτνίαις ἔτρεφεν αὐτὰς ὁ Γλαῦκος. Πότνιαι δὲ πόλις Βοιωτίας· Γλαῦκον δὲ οὐ τὸν ἀπὸ Σισύφου, ἀλλὰ τὸν Θρᾷκα τὸν ἄγριον. A.C.T.

1125. *ἐπίσημα πῶλοι*: *ἐπίσημον δὲ ἐπὶ τῇ ἀσπίδι αὐτοῦ πῶλοι μανικαὶ καὶ ἐπιτήδειοι εἰς δρόμον ἐσκίρτων ἐν κινήσει, εὐστρόφως κατά τινα τρόπον στρεφόμεναι μηχαναῖς τισιν ἔνδοθεν τῆς ἀσπίδος ὑπ' αὐτὸν τὸν πόρπακα.* Gr. Leid. *ἐφοίτων, ἐσκίρτων.* I.

ἐσκίρτων φόβῳ: *τῷ περὶ αὐτὰς φόβῳ ἐδόκουν σκιρτᾶν, τουτέστιν οὕτω φοβεραὶ ἦσαν κατὰ τὴν ἐπιγραφὴν ὡς δοκεῖν σκιρτᾶν, θέας ἀποτελούσης. στρόφιγξι δὲ ταῖς περιστροφαῖς τοῦ δρόμου ἐν τῇ γραφῇ κεκαμμένων αὐτῶν τῶν τραχήλων πάνυ ταῖς ἡνίαις, ὡς δοκεῖν ἀληθῶς τῇ ὄπισθεν τοῦ ὅπλου αὐτὰς κατέχεσθαι, ὡς νομίζεσθαι τὸν βαστάζοντα τὸ ὅπλον καὶ τὰς ἡνίας αὐτῶν ὑπὸ τὸν πόρπακα κατέχειν διὰ τὸ μὴ ἐγγεγράφθαι τὸν ἡνίοχον μηδὲ τὸ ὄχημα, μόνην δὲ τὴν ζεῦξιν τῶν πώλων, ὡς καὶ ἐν ἅρματι, ἐγγίζουσαν τοῦ ὅπλου, καὶ ἔσωθεν αὐτὴν ἡνιοχουμένην. στρόφιγξι δὲ ταῖς ἡνίαις, καθὰ δι' αὐτῶν στρέφεται τὸ ἅρμα.* A.C.T.

1126. *στρόφιγξιν*: *μηχαναῖς.* B. rec. M. I. *στρεφομέναις.* M. *τοῖς ὑποκάτω τῆς ἀσπίδος ἱμᾶσι.* Gu. *ἔνδοθεν κυκλούμεναι*: *περικυκλούμεναι.* M. *ἔνδοθεν τῆς ἄντυγος δηλονότι, ἵνα εἴπῃ κατὰ*

2. Βελλεροφόντου] *βελεροφόντου* C.

3. ἐπειδὴ—αὐτὰς] *ἐπεὶ—αὐτὸν* A.

4. Γλαῦκος] *κάδμος* A.

ib. Πότνιαι] *πότνια* C. "Πότνια bis legitur in schol. ad Eurip. Or. v. 318. et alibi: Muncker. ad Hyg. Fab 273. In seqq. si scripseris, Γλαῦκον δὲ οὐ τὸν ἀπὸ Σ. parum tamen profeceris." VALCK.

ib. *οὐ τὸν* A. *αὐτὸν* C.T.

6. In M. (supra *ἐπίσημα*) *ἐπισήμαν. ἢ πλεονάζει ἡ ἐπί. τῷ περὶ αὐτὰς φόβῳ ἐδόκει.*

7. εὐστρόφως] *εὐστρόφῳ* Leid.

10. *τῷ περὶ—τουτέστιν* om. A.

ib. *τουτέστιν—δοκεῖν σκιρτᾶν*] Haec sunt etiam in M. Gu.

ib. *τουτέστιν—ἦσαν*] *τοσοῦτο γὰρ ἦσαν φοβεραὶ* Gu.

11. *ἐπιγραφὴν*] *γραφὴν* C.T. Gu.

12. *ἐν τῇ γραφῇ κεκαμμένων* (*κεκαιμένων* T.) A.T. *ἐν τῇ γραφῇ κυκλουμένων* I. *ἐν τῷ κυκλουμένῳ* C. In reliqua scholii parte de codicis C. scriptura Valck. falsa nonnulla rettulit.

14. *τῇ ὄπισθεν*] *τοῦ ὄπισθεν* C.

ib. *αὐτὰς*] *αὐτὴν* T.

16. *μηδὲ* scripsi pro *μήτε.*

ib. *δὲ*] *τὲ* A.C.

17. *αὐτὴν* om. A.

19. *ἅρμα*] Pergunt A.T. *πόρπαξ δὲ* etc. quae v. p. 300, 5.

μέσον τῆς ἀσπίδος. A.B.C.I. στρόφιγξι δὲ ταῖς περιφοραῖς τοῦ δρόμου. B.I.

1127. πόρπαχ' ὑπ' αὐτόν: τὸν ὀμφαλὸν, ὃ καλοῦσι τὸ μέσον τῆς ἀσπίδος. Gu. κατὰ τὸ μέσον τῆς ἀσπίδος. B. rec. I. πόρπαξ ὁ λῶρος τῆς ἀσπίδος. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. πόρπαξ δὲ καλεῖται τὸ κατὰ μέσον τοῦ ὅπλου ὑπὸ τὸ τοῦ ὀμφαλοῦ κοίλωμα, δι' οὗ καὶ βαστάζεται τὸ ὅπλον. καλῶς πως ὑπὸ τὸν πόρπακα κατεχόμεναι σκιρτηματικῶς, ὡς δοκεῖν μαίνεσθαι αὐτάς. εἴη δ' ἂν αὐτῷ τῆς τύχης οἰκεῖον καὶ τῆς φυγῆς τὸ σημεῖον. τὸ δὲ ἔνδοθεν δηλοῖ ὅτι τῆς ἄντυγος ἔσωθεν, ἵνα εἴπῃ, κατὰ τὸ μέσον τῆς ἀσπίδος. πόρπακα δὲ τὸν ὀμφαλὸν τῆς ἀσπίδος. ἐν δὲ τῇ ἀσπίδι, φησὶ, τούτου ἐντετύπωντο αἱ Ποτνιάδες ἵπποι οὕτως ἀκριβῶς ὡς δοκεῖν τῇ ἀληθείᾳ σκιρτᾶν κατὰ τὴν γραφὴν καὶ περιθέειν τὸν τῆς ἀσπίδος ὀμφαλόν. A.C.T.

1128. ὁ δ' οὐκ ἔλασσον: ὁ δὲ Καπανεὺς, ὁ φρονῶν εἰς μάχην, ἤγουν ἐπαιρόμενος, οὐκ ἔλαττον τοῦ Ἄρεος, τοῦ θεοῦ δηλονότι. Gr. Bar.

1129. ἐπ' Ἠλέκτραις πύλαις: ἢ ἀπὸ Ἠλεκτρυῶνος τοῦ πατρὸς Ἀλκμήνης, ἢ ἀπὸ Ἠλέκτρας θυγατρὸς τοῦ Ἀμφίονος. ἔνιοι δὲ ἀπὸ Ἠλέκτρας τῆς τῆς Ἁρμονίας μητρὸς, ἧς εἶναι ἀνάθημά φασι τὸ ἐν Τροίᾳ Παλλάδιον, τὸ κλαπὲν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους. A.B. C.M.I. Ἄλλως. ἀπὸ Ἠλέκτρας τῆς Ἄτλαντος καὶ Ἡσιόνης. ἱστορεῖται δὲ καὶ ἡ Ἠλέκτρα τρεῖς παῖδας ἔχειν, Δάρδανον, Ἠετί-

5. πόρπαξ δὲ—] Haec in A.T. adjuncta sunt scholio v. 1126. post στρέφεται τὸ ἅρμα.

6. ὑπὸ τὸ τοῦ ὀμφαλοῦ (sic C., non ὀφθαλμοῦ, quod ei tribuit Valck.) κοίλωμα] ὑπὸ τὸν ὀφθαλμὸν κοίλωμα A. et haud dubie T., non ὀφθαμλὸν, ut Matth.

7. καὶ (καὶ om. A.) βαστάζεται] καὶ βασανίζεται C.

8. μαίνεσθαι] μένεσθαι C.

9. τὸ δὲ ἔνδοθεν—εἴπῃ A. ἔνδοθεν: δῆλον ὅτι τῆς ἄντυγος, ἵνα εἴπῃ C.T.

12. ἐντετύπωντο] ἐντετύποτο (sic) C.

13. κατὰ A. καὶ C.T.

16. τοῦ Ἄρεος post τοῦ θεοῦ Bar.

18. ἢ ἀπὸ—] ἄλλως praefixum in A.M. in quibus hoc scholion proximo est postpositum.

ib. Ἠλεκτρυῶνος] ἠλεκτρύωνος B.I.

19. θυγατρὸς om. A.C.I.

ib. τοῦ Ἀ.] τῆς ἀ. A.C.I.

20. τῆς τῆς A. τῆς ceteri.

21. Ὀδυσσέως καὶ Διομήδους] διομήδους καὶ ὀδυσσέως C.

23. δὲ καὶ] καὶ om. M.

ib. Δάρδανον, Ἠετίωνα, ὃν καὶ Ἰασίωνα] Emendavi perverse hunc in modum scripta; Γάργαρον, Ἠετίωνα, ὃν καὶ ἠσιωνὰν [ἠσίωνα A. ἠσιωνὰν C. ἠσίονα T.] ὠνόμασαν· supra sub teste Demagora dicitur (in schol. ad v.

ωνα, ὃν καὶ Ἰασίωνα ὠνόμασαν, καὶ Ἁρμονίαν, ἣν γήμαντα τὸν Κάδμον ἀπὸ τῆς μητρὸς αὐτῆς Ἠλεκτρίδας πύλας ὀνομάσαι τῆς Θήβης. οἱ δὲ ἀπὸ Ἠλέκτρας, μιᾶς τῶν Ἀμφίονος θυγατέρων. ἐνταῦθα ὁ Καπανεὺς λοχαγεῖ, καὶ αὐτὸς δὲ διεσάφησε τὴν οἰκειότητα τοῦ σημείου αὐτοῦ. A.C.M.T. *φασὶν Ἠλέκτραν τὴν Ἄτλαντος καὶ Ἡσιόνης θυγατέρα τρεῖς παῖδας κτήσασθαι, Δάρδανον, Ἠετίονα, Ἁρμονίαν, ἣν ἔγημε Κάδμος, ἥτις ἀπὸ τῆς μητρὸς τὰς πύλας ἐκάλεσεν Ἠλέκτρας.* Bar. Gu.

1130. *σιδηρονώτοις: πῶς οὖν ἀνωτέρω εἶπε "λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν," ἐν δὲ τῇ Ἀντιγόνῃ λέγει "ἐπὶ χρυσεόνωτον ἀσπίδα τὰν Καπανέως;" λεύκασπιν μὲν οὖν ἀπὸ τοῦ πλεονάζοντός φησι, χρυσόνωτον δὲ τὴν πολυτελῆ, σιδηρόνωτον δὲ τὴν ἰσχυρὰν ἀσπίδα.* A.B.C.M.I. *χαλκενδύτοις.* B.M.I.

ἐπῆν: ὑπῆρχεν, ἐπέκειτο, ἐζωγράφητο ἐπὶ τῆς ἀσπίδος γίγας φέρων ἐπὶ τοῖς ὤμοις πᾶσαν τὴν πόλιν. C.M. *ἐπὶ τοῖς τύποις δὲ, ἤγουν ταῖς γραφαῖς, ταῖς σιδηρονώτοις τῆς ἀσπίδος, ἀντὶ*

7.) Electra Iovi peperisse Ἠμιθέαν, Δάρδανον, Ἁρμονίαν· horum primo nomen Ἠετίωνα suspicabar substituendum. Sed Eëtion ille Dardani frater multo frequentius vocatur Iasion; Homero Od. 5, 125. Hellanico (in Atlantide: conf. schol. in Il. 18, 486.) ap. schol., Mnaseae apud Stephanum in Δάρδανος, Straboni 7. p. 511 A. Diodoro Sic. 5. p. 369. 10. ceterisque citatis L. Holstenio ad Steph. Byz. p. 91 B. Eëtiona dictum, quod nostro scholio traditur, luculentus testis est schol. Apollon. Rhod. 1, 916. ubi dicitur Electra, praeter Harmoniam, peperisse Δάρδανον (indigenis etiam adpellatum Πολυάρχην· Diodor. Sic. μεγαλεπίβολον fuisse scribit) καὶ Ἠετίωνα, ὃν Ἰασίωνα ὀνομάζουσι. VALCK. Verba ὃν καὶ Ἰασίωνα ὠνόμασαν om. M. Conf. Mueller. Fragm. Hist. vol. 4. p. 378.

1. τὸν om. A.

2. ἠλεκτρίδας A.M. ἠλεκτριάδας C. ἠλέκτρας T. "Ἠλεκτρίδες ap. schol. Apoll. 1, 916. et Pindari Isthm. 4, 104. ubi portae vocantur Ἠλέκτραι, sicut Aeschylo, Euripidi, Statio." VALCK.

ib. ὀνομάσαι τῆς] ὠνόμασαν τὰς C.

3. τῶν—θυγατέρων] τῆς—θυγατρὸς C. Conf. schol. ad 1119.

ib. ἐνταῦθα ὁ Κ.] ἐνθάδε κ. A.

4. καὶ αὐτὸς δὲ A.M. ὡς αὐτὸς C.T.

9. πῶς οὖν] οὖν om. A.

ib. ἀνωτέρω] 1099. ἀνώτερος C.

ib. λεύκασπιν] δ' addit C.

ib. εἰσορῶμεν—στρατόν om. M.

10. λέγει add. M., qui ἐπὶ om.

ib. χρυσεόνωτον] χρυσέον νῶτον A.C.M.

11. τὰν] τὴν M. τὸν A.

12. χρυσόνωτον] χρυσεόνωτον B.I.

ib. τὴν π.] τὸν B.I.

13. ἀσπίδα om. A.

14. ἐπῆν] γίγας C.

ib. ἐζωγράφητο] ἐζωγράφηται C. ἐζωγραφοῦτο M. Correxi ex schol. v. 1133.

15. ἐπὶ τοῖς ὤμοις om. M. Conf. schol. v. 1133.

τοῦ ἐπὶ τῷ σιδηρῷ νώτῳ τῆς ἀσπίδος, ἣν γίγας γηγενὴς ὁλόκληρον πόλιν φέρων ἐπὶ τοῖς ἑαυτοῦ ὤμοις, ἐκριζώσας αὐτὴν σὺν βίᾳ διὰ μοχλῶν. Cant. Gr.

1132. μοχλοῖσιν: μεγάλοις ξύλοις. B. rec. βάθρων: τῶν θεμελίων καὶ τῶν βάσεων. C. γρ. βάθρων. θεμελίων. M.

1133. ὑπόνοιαν ἡμῖν: μὴ λάβῃς ἔξωθεν τὴν εἰς πρόθεσιν εἰς τὸ ὑπόνοιαν, ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε· ἐπῆν δὲ καὶ ὑπῆρχεν ἐπὶ τῆς ἀσπίδος ἐν σιδηρονώτοις τύποις γίγας γηγενής, καὶ ἐκ τῆς γῆς γεννηθεὶς, φέρων ἐπὶ τοῖς ὤμοις ὅλην τὴν πόλιν, ὑπόνοιαν καὶ ὑποψίαν οἷα πείσεται ἡ πόλις αὕτη· τουτέστι τὸ φέρειν ἐπὶ τοῖς ὤμοις τὴν πόλιν ὑπονοεῖν τοῖς ὁρῶσι παρεῖχε τὴν ἐσομένην τῇ πόλει καταστροφήν. τὸ δὲ ἐξανασπάσας βίᾳ μοχλοῖσι διὰ μέσου, δεικνύον καὶ ἑρμηνεῦον τὸ πῶς αὐτὴν ἐν τοῖς ὤμοις ἔφερε. τὸ δὲ σιδηρονώτοις τύποις ἀντὶ τοῦ ἐν σιδηροῖς τύποις ἐπὶ τῶν νώτων τῆς ἀσπίδος ἐνετετύπωτο. Gu.

ὑπόνοιαν ἡμῖν: διδούς. B. ἀπὸ κοινοῦ τὸ φέρων. B.M. τουτέστιν ὑποψίαν καὶ σημεῖον ὁποῖα ἡ πόλις πείσεται. ἐπέκειτο γὰρ, φησὶ, καὶ ἐζωγράφητο ἐπὶ τῆς ἀσπίδος γίγας, φέρων ἐπὶ τοῖς ὤμοις πᾶσαν τὴν πόλιν, ὑπόνοιαν διδοὺς, καὶ τὰ ἑξῆς. B. Gu. I.

1134. ταῖς δ' ἑβδόμαις: τινές φασι τὰς ἑβδόμας πύλας Βοιωτίας καλεῖσθαι ἀπὸ Βοιωτοῦ τοῦ Ποσειδῶνος καὶ τῆς σοφῆς Μελανίππης, ἀφ' οὗ καὶ ἡ πᾶσα Βοιωτία ἐκλήθη. A.C.M.

4. τῶν θ.—βάσεων] Haec in C. leguntur ad v. 1179. ubi post verba τὰ βάθρα τῆς κλίμακος pergit, βάθρα ἀντὶ τοῦ εἰς ὕψος. ἄλλως. βάθρων—βάσεων. (ad 1134.) τινὲς δέ φασι—Βοιωτία ἐκλήθη. (ad 1158.) γεῖσσα. ὃν εἶπεν—οἰκοδομήματος. (ad 1179.) ἄλλως. τὰ ἄκρα τῶν ἐπάλξεων. ἐπὶ πολλῶν γὰρ καὶ ἐπὶ ποδῶν λαμβάνεται ἡ λέξις τὰς ἀσθενεῖς. (ad 1179.) ὥστε ἐπάλξεων. ἡ σύνταξις—φυγαδας γενομένων. Eodem modo erratum in M. qui post εἰς ὕψος (ad v. 1179.) pergit ἄλλως. βάθρων—Βοιωτία ἐκλήθη. Huc rettulit Porsonus ad Phœn. 1148.

6. εἰς π.] Sic in Fl. 5. 6. 9. 21. 56. 76. adscriptum est εἰς. MATTH.

17. ὑποψίαν, σημεῖον etiam M.

ib. ἐπέκειτο] ὑπέκειτο B.I. Correctum ex Gu. et scholio v. 1130.

18. ἐπὶ] ὑπὸ I.

20. τινές φασι A. (in quo hoc scholion legitur ad v. 1179.) τινὲς δὲ φασὶ C.M.

ib. ἑβδόμας] ἑβδόμους A.M. εὐδόμους C.

ib. Βοιωτίας] τῆς Βοιωτίας A.M.

21. Μελανίππης] μελαν[τρ] C. "Adjecta τῆς σοφῆς monstrabant attendenti genuinum nomen Μελανίππης. Nobile fuit Euripidis drama inscriptum Μελανίππη ἡ σοφή, atque eo titulo frequenter a veteribus citatum; inscriptionis rationem tradit Dionys. Halic. cujus verba pro-

1136. ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ: πληρῶν τὴν ἀσπίδα ἑκατὸν ἐχίδναις· ἐχιδνοκέφαλος γὰρ ἡ ὕδρα. B.I. ἀντὶ τοῦ πλήρη τὴν ἀσπίδα ἔχων λαιοῖς ἐν βραχίοσιν ἑκατὸν ἐχίδναις ὕδρας. A. M. Ἄλλως. τῷ ἑκατὸν ἐχρήσατο ἀορίστως. ἡ δὲ σύνταξις, πολλαῖς ἐχίδναις, τουτέστι κεφαλαῖς ὕδρας, ἐκπληρῶν τὴν ἀσπίδα καὶ ἔχων αὐτὴν ἐπὶ τοῖς λαιοῖς βραχίοσιν. ἐκπληρῶν δὲ ἀντὶ τοῦ ἐκπληρώσας. τὸ δὲ ἑξῆς, ἀσπίδα ἔχων λαιοῖς ἐν βραχίοσιν, ταῖς ἑκατὸν ἐχίδναις ὕδρας ἐκπληρῶν τῇ γραφῇ, ἀντὶ τοῦ ἑκατὸν κεφαλαῖς. λέγει δὲ τὴν ὕδραν· ἐχιδνώδεις γὰρ ἦσαν αἱ ταύτης κεφαλαί. A.B. C.M.I. ἐχίδναις: κεφαλαῖς ὤφειλεν, λέγει δὲ ἐχίδναις, ὅλον ἀντὶ μέρους τιθείς· ἐχιδνώδεις δὲ ἦσαν αἱ κεφαλαὶ τῆς Ὕδρας. Cant.

1136. ὕδρας—Ἀργεῖον αὔχημα: τὴν πολυκέφαλον ὕδραν, ἐκπληρῶν τὴν γραφήν. M. αὐτὴν δηλονότι τὴν ἀσπίδα μετὰ τῆς Ὕδρας, ἥτις ἐν τῇ Λέρνῃ ἦν, τῇ πηγῇ τῇ ἐν τῷ Ἄργει. Gr. Bar. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἐν Λέρνῃ πηγῇ Ἄργους ἡ Ὕδρα ἡ ἐννεακέφαλος ἦν, ἣν ἀπέκτεινεν Ἡρακλῆς. εἶχεν οὖν Ἄδραστος ὡς

tulit Barnes. in fragm. p. 479. Haec Melanippe secundum nonnullos Neptuno Filium Boeotum pepererat; cui plerique tamen matrem dederunt Arnen. Ab isto Boeoto Boeotiam denominatam cecinit Euphorion apud Stephanum Byz. in Βοιωτία, et Nicocrates." VALCK.

p. 302. l. 22. οὗ καὶ ἡ πᾶσα] οὗ πᾶσα ἡ C.

4. Ἄλλως addidi ex A.M.: lemma ἑκατόν est in B.

ib. τῷ] τὸ M.

ib. ἀορίστως] ἀρίστως C. Verba Ἄλλως—ἀορίστως om. B.I.

5. τουτέστι κεφαλαῖς] τὴν κεφαλὴν M.

ib. ὕδρας om. C.

ib. καὶ ἔχων—τοῖς λαιοῖς βραχίοσιν addidi ex B.C.M. καὶ ἔχων—αἱ ταύτης κεφαλαί om. A. sed habet infra, ἐν ζωγραφίαις πολλῶν ἐχιδνωδῶν ὕδρῶν ἐκπληρῶν τὴν ἀσπίδα. ἄλλως. ἀργείων αὔχημα: ἀλλὰ γὰρ etc. (ad v. 1137.)

6. ἐκπληρῶν δὲ addidi ex B.C.

ib. ἐκπληρώσας C. πληρώσας B.I. Verba ἀντὶ τοῦ πληρώσας—βραχίοσιν om. M.

7. τὸ δὲ] δὲ om. B. τὸ—βραχίοσιν om. C.

ib. ταῖς add. C. qui pergit ἑκατὸν κεφαλαῖς τῆς ὕδρας τὴν ἀσπίδα. ἄλλως. τὸ ἑξῆς ἀσπίδ' ἔχων λαιοῖσι ἐν βραχίοσιν ἑκατὸν ἐχίδναις ὕδρας ἐκπληρῶν φησὶ ἀντὶ τοῦ ἑκατὸν κεφαλαῖς. λέγει δὲ—κεφαλαί. "Gr. (supra ἐχίδναις) κεφαλαῖς ὤφειλε, λέγει δέ. tum in marg. ἑκατὸν ἀντὶ τοῦ πλείσταις. (ἀντὶ τοῦ πλείσταις κεφαλαῖς. Fl. 5. 6. 9. 21. 56. 59. 76.) ἐχίδναις, ὅλον ἀντὶ μέρους τιθείς· ἐχιδνώδεις γὰρ ἦσαν. Verbo ὤφειλεν Leid. addit εἰπεῖν." MATTH.

10. ὤφειλεν] Sic et alibi loquitur: addi quoque poterat εἰπεῖν e cod. Leid. VALCK.

15. τῇ πηγῇ—Ἄργει om. Bar.

16. ἐν Λέρνῃ] ἐν τῷ ἄργει ἐν λέρνῃ Bar.

Ἀργεῖος ταύτην ἐπίσημον τῇ ἀσπίδι, οὐκ ἔχουσαν κεφαλὰς ἐννέα, ἀλλ' εἰς ἑκατὸν ταύτας προτείνουσαν· ἦσαν δὲ αὗται αἱ κεφαλαὶ ἐχιδνῶν. ἔφερεν οὖν ἑκάστη τούτων Καδμεῖον ἐκ μέσου τοῦ τείχους ἁρπάζουσα. ἐγέγραπτο δὲ καὶ ἡ πόλις ἐν τῇ ἀσπίδι ἔμπροσθεν τῆς ὕδρας. εἶδεν οὖν ταῦτα ὁ ἄγγελος πεμπόμενος, ὡς αὐτός φησιν, ἐξ Ἐτεοκλέους κατάσκοπος, καὶ φέρων γνωρίσματα τῶν πολεμίων ἑκάστου τῶν στρατηγῶν τοῖς Θηβαίοις. Gu. Bar.

1137. Ἀργεῖον αὔχημ': ἀλλὰ γὰρ βασιλεὺς ὢν τοῦ Ἄργους ἔφερε παράδοξα αὐχήματα μαινόμενα καὶ ἐναρπάζοντα τὰς Θήβας. ἐν Λέρνῃ γὰρ τῇ Ἀργείᾳ κρήνῃ ἀνεφύη ἡ Ὕδρα, ἥτις δρακόντων κεφαλὰς παμπληθεῖς εἶχεν. οὕτω γοῦν ὁρῶν αὐτὰς Ἡρακλῆς τεμνομένας καὶ πάλιν βλαστώσας ἐκέλευσεν Ἰολάῳ τὰς τεμνομένας παρακαίειν. ἔφερεν οὖν τὴν ἀσπίδα τοῖς ἀριστεροῖς βραχίοσι τῇ γραφῇ τῆς Ὕδρας πεπληρωμένην, καὶ διὰ τῆς γραφῆς τῆς Ὕδρας ἐχίδναις αὐτὴν ἐκπληρῶν καταγραφείσαις, αἳ δὴ καὶ ἀνήρπαζον. A.C.M. ἐν γὰρ τῇ ὕδρᾳ Ἀργεῖοι ἐσεμνύνοντο. Gu. ἐκ δὲ τειχέων μέσων: ἐκ μέσου δὲ τῶν τειχῶν εἰς τύπον τῶν Θηβῶν ἐζωγραφημένων οἱ δράκοντες, ἀντὶ τοῦ αἱ κεφαλαὶ τῆς Ὕδρας, ἔφερον ταῖς ἑαυτῶν γνάθοις, ἤγουν σιαγόσι, τὰ τέκνα τῶν Καδμείων. Gr. Cant.

2. προτείνουσαν e Gu. scripsi pro προάγουσαν, ut mox ἔφερεν pro ἔφερον. Post Gu. ἐγέγρ. δὲ καὶ ἡ π. MATTH. In Gu. est utrumque, προτείνουσαν προάγουσαν.

4. δὲ καὶ Gu. γὰρ Bar.

ib. ἔμπροσθεν τῆς ὕδρας om. Bar.

8. ἀλλὰ γὰρ] Ἄδραστος Valck.

9. παράδοξα] π δος (sic) M. Exspectes ἐπ' ἀσπίδος.

ib. αὐχήματα M.T. καὶ αὐχήματα A.C. καὶ Ἀργεῖα αὐχήματα Valck.

ib. μαινόμενα καὶ M. μαινομένῳ C. T. μαινομένῳ καὶ A.

ib. ἐναρπάζοντα M.T. ἐναρπάζον C.

10. γὰρ A.M. δὲ C.T.

ib. δρακόντων M. δρακοντίας C. δρακοντείας Matth. tacite, fortasse ex T.

11. οὕτω] οὕτως M.

ib. Ἡρακλῆς post γοῦν C.T.

12. πάλιν] φυομένας καὶ additum ap. Valck. quod nescio unde sumserit. Neque enim legitur in A. C.M.T.

ib. βλαστώσας A.M.T. βλασταινούσας C. Forma prava βλαστώσας comparanda cum βλαστᾷ ap. schol. Pind. Pyth. 4, 114. θάλλει καὶ βλαστᾷ ὁ Ἀρκεσίλαος. βλαστῶντας est in cod. Laur. Soph. El. 590. ubi recte in apographis βλαστούσας.

ib. παρακαίειν] περικαίειν Valck.

14. ἐχίδναις—αἳ δὴ] ἐκπληρῶν ἐχίδναις, αἳ δὴ M.

15. καταγραφείσαις Matth. καταγραφήσαις (non καταγραφούσαις ut ap. Valck.) C. καταγραφεισῶν A. T.

ib. ἀνήρπαζον M.T. πανήρπαζον C.

17. τῶν τ.] τῶν om. Gr.

18. ἑαυτῶν] αὐτῶν Gr.

1138. δράκοντες: ὕδρα ὄφις ἦν ἔχουσα κεφαλὰς ρ'. Καὶ ἄλλως. ἀπὸ τῆς ὕδρας ἐξήρχοντο κεφαλαὶ πολλαί, αἳ κεφαλαὶ τῆς ὕδρας ἐχιδνώδεις. αἱ ἔχιδναι ἀπὸ τῆς κεφαλῆς τῆς ὕδρας ἐξήρχοντο. δράκοντας δὲ εἶπεν εἶδος ἀντὶ εἴδους παραλαμβάνων. C. ἤγουν αἱ ἔχιδναι καὶ αἱ κεφαλαὶ τῆς ὕδρας. δράκοντας εἶπεν ἀντὶ τοῦ εἴδους εἶδος παραλαμβάνων. Gu.

1139. παρῆν δ': παρῆν δὲ ἐμοὶ ἡ ὄψις ἑκάστου τούτων. Gr. et Gu. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1140. ξύνθημα: ἀντὶ τοῦ σημεῖόν τι ἴδιον εἰ ἐπιγινώσκουσιν, ὑπὲρ τοῦ τοὺς οἰκείους μὴ φονεύειν. λέγει δὲ τὸ κηρύκειον. ταῦτα δέ, φησὶν, εἶδον ἀκριβῶς πρὸς ἕκαστον τῶν ταξιαρχῶν κῆρυξ ἀποστελλόμενος. A.M.T. ἀγγελίαν, μήνυμα. B. rec. I. σημεῖόν τι ἴδιον εἰ ἐπιγινώσκουσιν, ὑπὲρ τοῦ μὴ τοὺς ἰδίους φονεύειν. B.I. ποιμέσιν λόχων: τοῖς στρατηγοῖς τῶν ταγμάτων. B.M.I.

1141. μεσαγκύλοις: τοῖς ἀκοντίοις, διὰ τὸ κατὰ μέσον τοῦ ξύλου τὰ ἀκόντια ἀγκύλον τι καὶ κοῖλον ἔχειν ἐγγλυφὲν, εἰς ὃ ἐμβαλόντες τὸν δάκτυλον τὸν δεύτερον καὶ τοῖν δυοῖν ἑκατέρωθεν κατέχον-

1. ὕδρα] μύδρας (sic) C. Scholion brevius in A.M. δράκοντες ἔφερον: αἱ ἐχιδνώδεις κεφαλαὶ τῆς ὕδρας. δράκοντας εἶδος ἀντὶ εἴδους παραλαβών. In A. αἱ ἔχιδναι τῆς κεφαλῆς τῆς ὕδρας. δράκοντας εἶπεν εἶδος παραλαμβάνων.

9. ἀντὶ τοῦ om. T.

ib. ἐπιγινώσκουσιν] ἐπιγιγνώσκουσιν T. Ante ἐπ. addidi εἰ ex l. 13.

ib. ὑπὲρ τοῦ] ἀπὸ τοῦ M. ἀπὸ τὸ T.

10. κηρύκειον] κηρυκεῖον M.T.

11. ἕκαστον—ἀποστελλόμενος M. et qui τῶν ταξιαρχῶν post ἀποστελλόμενος habet A. ἕκαστον αὐτῶν κῆρυξ ἀποστελλόμενος ταξιαρχῶν T.

12. σημεῖον—φονεύειν] In C. est ἀντὶ τοῦ σημεῖον (sic, non σημεῖόν τι) ἴδιον ἐπιγινώσκουσα (sic, non ἐπιγινώσκουσιν) ὑπὸ μὴ τοῦ ἰδία φονεύειν. In Gu. γνώρισμα τῶν πολεμίων, σημεῖον ἴδιον, ὅπως τοὺς ἰδίους μὴ φονεύωσι.

13. εἰ γινώσκουσιν] An corrigendum εἰς γνώρισιν? [ἐπιγινώσκουσιν est in scholio praecedente.] Suidas in Σύνθημα,—σύσσημον, λόγος ἐν πολέμῳ ἐπὶ γνωρισμῷ τῶν οἰκείων διδόμενος. Thomae M. dicitur γνώρισμα τῶν ὁμοφύλων, *signum, quo internoscebantur, tessera militaris*. Atticis ξύνθημα, vulgo σύσσημον, in Rheso σῆμα quoque dicitur v. 12. et v. 688. καὶ τί δὴ τὸ σῆμα; Ο. Φοῖβος. Η. ἔμαθον, ἴσχε πᾶς δόρυ. v. 521. ξύνθημα δ' ἡμῖν Φοῖβος. ἤν τι καὶ δέῃ. v. 572. οἶσθα σύνθημα στρατοῦ; Δ. Φοῖβον Δόλωνος οἶδα σύμβολον κλύων. De tessera militari, praeter ceteros, Grotius docte notat ad Maccab. 2, 8. 23. ubi Judae σύνθημα memoratur Θεοῦ βοήθεια. VALCK. In Fl. 59. annotatum ὅπερ εἶχεν εἰς γνωριμότητα.

15. τοῖς] δὲ τοῖς I. δὲ B., om. A.M.

16. τὰ ἀκόντια] ἀμόντα (sic) C.

ib. ἀγκύλον] ἄγκυλλον C. τὰ ἀκόντια ἀγκύλον τι om. A.

ib. ἔχειν] Hic scholion finitur in B.C.I.

τες τακτικώτερον ῥίπτουσιν οἱ πολέμιοι. A.B.C.M.T.I. μεσάγκυλον εἶδός ἐστιν ἀκοντίου, ἐν μέσῳ τῷ ξύλῳ κοῖλον ἔχον, ὡς ἂν ἐρείδηται ἡ χεὶρ τοῦ πέμποντος, κατὰ τροπὴν τῆς οι διφθόγγου εἰς ῡ ψιλόν. Gu. Bar. ἐκηβόλοις: μακρὰν βαλλούσαις. Gr. Florr. omnes.

1143. πετρῶν τ' ἀραγμοῖς: τοῖς σχισμοῖς. ἐκ δὲ τούτου θέλει εἰπεῖν τοὺς λίθους τοὺς ἐκ πετρῶν κατερρωγότας. A. σχίσμασι, κλάσμασιν· οὐ γὰρ πέτρας ἔρριπτον μεγάλας οὔσας, ἀλλ' εἰς μικρὰ κλῶντες αὐτὰς ἔρριπτον. C.M. Gu. βολαῖς σφοδραῖς. Gr. Cant.

1144. ἔκλαγξε: ἐφώνησε, ἤχησε. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἤχησε. Gr. μεγάλως ἐβόησε. Gu.

1145. πρὶν κατεξάνθαι βολαῖς: αἱματωθῆναι πληγαῖς. M. πρὶν κατὰ πληγὰς αἱματωθῆναι, διαφθαρῆναι. ἐκ μεταφορᾶς τῶν ἐρίων κατὰ μικρὸν τῇ ἐργασίᾳ ξαινομένων. C.I. κατεξάνθαι: ἀπὸ τοῦ ξαίνω τὸ μαστίζω. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1146. τί μέλλετε: διὰ τί κατ' ὀλίγον ἀναλισκόμεθα, καὶ οὐχὶ πάντες ἐμπίπτομεν ταῖς πύλαις; A.B.M.I. ἀναβάλλεσθε. M. τί βραδύνετε μετεώρῳ κινήματι καὶ διεγηγερμένῳ, ὥστε ἐπιτίθεσθαι ταῖς πύλαις. Gr. Cant. Mosq. ἄρδην: ὁμοῦ. Gu.

1147. γυμνῆτες, ἱππεῖς: φροντισταί. ἐπιστάται. M. ὄνομα στρατιωτῶν οὐ πανοπλίᾳ χρωμένων, ἀλλὰ τῇ σφενδόνῃ, πεζοί, οἱ σφενδονῆται, ἢ οἱ τοξόται. B.C.M.T.I.

1148. ἠχῆς: ἦχος ἤχου. ἠχὴ ποιητικὸν, ἦχος κοινόν. ἠχὼ δὲ τὸ τῆς κραυγῆς ἀντίφθεγμα, καὶ ὄνομα θεᾶς. Gr. Cant. Mosq.

1149. πολλοὶ δ' ἔπιπτον: πολλοὶ δὲ Ἀργείων ἐξ ἡμῶν δηλονότι,

1. μεσάγκυλον] τὸ μεσάγκυλον Bar.
2. ἐστιν om. Gu.
7. σχίσμασι] Glossemata τοῖς σχίσμασι, τοῖς κλάσμασιν in B.
12. πρὶν — ξαινομένων] In editis nihil erat, nisi ἐκ μεταφορᾶς τῶν ἐρίων κατὰ μικρὸν (ξανθέντων addidit Barn.) τῇ ἐργασίᾳ. [Sic etiam B.] Eadem sunt in Flor. 33. qui τῆς ἐργασίας ἐξικνουμένων. C. τῇ ἐργασίᾳ ἐξικνουμένων, e quo Valck. fecit τῇ ἐργ. ξαινομένων. Priora ex C. addidit Valck. Gu. habet tantum αἱματωθῆναι, διαφθαρῆναι, κατὰ μικρὸν ἀφανισθῆναι, ἀπὸ μεταφορᾶς τῶν ἐρίων. Itaque in scholio C. scribendum suspicor, πρὶν κατὰ μικρὸν πληγαῖς αἱμ. MATTH. Gl. αἱματωθῆναι est in B.
13. ἐρίων] ἐριννύων C.
18. μετεώρῳ Gr. μετηόρῳ e Cant. dedit Piersius. Mosq. μετεώρῳ κιν. διεγηγερμένοι ὥστε ἐπιτίθεσθαι.
19. ταῖς πύλαις om. Gr.
20. ὄνομα (ὀνόματα T.)—σφενδόνῃ om. B.I., πεζοὶ om. B.C.I. In B.I. γυμνῆτες δὲ οἱ σφενδονῆται ἢ (καὶ I.) οἱ τοξόται.
21. χρωμένων] χρώμενοι M.T.
ib. οἱ σφ.—τοξόται om. M.

ἄνωθεν λίθοις βεβλημένοι τὰς κεφαλὰς καὶ αἱματούμενοι ἔπιπτον εἰς γῆν· οὐ μόνον δὲ Ἀργεῖοι, ἀλλὰ καὶ ἐξ ἡμῶν πολλοὺς ἂν εἶδες κατὰ γῆς ἐρριμμένους πρὸ τῶν τειχῶν ἡμιθνῆτας, πάλλοντας τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ ὥσπερ κυβιστητῆρσιν ἐοικότας. ἢ καὶ οὕτως, ἵν' ᾖ τοῦτο ὅμοιον τῷ ἄνω, καὶ εἶδες ἂν Ἀργείους ἐξ ἡμῶν ἐκπεπνευκότας, τουτέστιν ἐξ ἡμῶν ἀφῃρημένους τὸ ζῆν. Gu. Bar. καὶ ἀφ' ἡμῶν εἶδες ἂν πολλοὺς κατὰ κεφαλῆς πίπτοντας εἰς τὸ ἔδαφος πρὸ τῶν τειχῶν ἐκπεπνευκότας. Gr.

1151. κυβιστητῆρας ἐκπεπνευκότας: τὴν ψυχὴν παραδιδόντας, καὶ ἐπὶ τῆς κεφαλῆς πίπτοντας. B.I. ἀπὸ τοῦ κύβη ἡ κεφαλή. Fl. 59. δίκην κολυμβητῶν χερσὶ καὶ ποσὶ παλλομένους. Gu.

1152. ἔδευον: κάθυγρον ἐποίουν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἔβρεχον. Gu.

1153. ὁ δ' Ἀρκὰς, οὐκ Ἀργεῖος: Ἀρκὰς γὰρ ὢν ἐν Ἄργει ἐπαιδεύθη, ὡς ἐν ἄλλοις φησὶν "Ἀρκὰς μὲν ἦν, ἐλθὼν δ' ἐπ' Ἰνάχου ῥοαῖς παιδεύεται κατ' Ἄργος." A.B.C.M.I. Ἀταλάντης γόνος: ὁ Παρθενοπαῖος. B. rec. I.

1154. Τυφὼς πύλαισι: τύφεσθαί ἐστι τὸ τοὺς ὀφθαλμοὺς συγκεχύσθαι. Μένανδρος ἐν Φιλαδέλφοις "νὴ τὸν Δία τὸν μέγιστον ἐκτυφήσομαι." καὶ ἐν Ἐπιτρέπουσιν "ἐξετύφην μὲν οὖν κλαίουσα."

4. Ultima ἢ καὶ οὕτως etc. e Gu. accesserunt, qui etiam ab initio πολλοὶ Ἀργεῖοι et κυβιστῆρσιν pro κυβιστητῆρσιν, ut Bar. MATTH.

10. τῆς κ.] τῆς om. B. In Mosq. gl. κατὰ κεφαλῆς πίπτοντας.

15. ἐν ἄλλοις] ἐναλλαχοῦ (sic) C. Idem ἐπεδεύθη.

ib. Ἀρκὰς—] Suppl. 891. Antimachus in Thebaide Parthenopaeum dixerat Argivum, teste schol. Aeschyli Sept. 547. VALCK.

ib. δ' om. C.

18. πύλαισι om. C.

ib. τύφεσθαι] δέ addit C.

ib. συγκεχύσθαι] συνκεχάσθαι (sic) C.

19. νὴ] μὰ C.

ib. τὸν Δία] τὸν om. M.

20. ἐκτυφήσομαι] ἐκτυφώσομαι C. ἐκταφήσομαι T. "Menandreum fuit ἐκτυφήσομαι: alterum, ἐκτυφώσομαι, communis dialecti, interpretamenti loco primitus collocatum. Hesychius: ἐκτυφῆναι, ἐκτυφωθῆναι. alibi: ἐκτεθυμμένα, ἐκτετυφωμένα. ἐκτεθύμμεθα. ἐκτετυφώμεθα. supra scribendum ἀποτεθυμμένοι, pervicit Hemst. et in Platonis Phaedro, θηρίον Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον. vid. Ruhnken. ad Timaei Lex. Platon. p. 179. in Etymologico M. p. 458, 40. corrigendum: τεθυμμένον δηλοῖ τὸ ὑπὸ πυρὸς βεβλαμμένον ἢ κεκακωμένον· qui diversa Lexica conflavit in unum, posuit θύμμενον· ibid. θύσαι v. 43. transmutandum in θύψαι vidit Sylburgius." VALCK.

ib. Ἐπιτρέπουσιν] ἐπιτρέπευον I.

ib. ἐξετύφην] ἐξετυφήθην M. ἐξετύφλων (litera λ obscurius scripta) C. ἐξετύφου T.

Τυφὼς οὖν ἡ ἐκ τῆς ἀναθυμιάσεως, πρὶν ἐκπυρωθῆναι τὸν ἀέρα, συστροφή. βούλεται δὲ ἀπὸ μέρους τὸ πῦρ δηλῶσαι· ἐμπεσὼν, φησὶ, ταῖς πύλαις ὡς πῦρ, ἀνεβόησε μεγάλῃ τῇ φωνῇ, πῦρ καὶ δικέλλας αἰτῶν. τινὲς ἐκ τοῦ τυφῶνος ἐξεδέξαντο ἑνὸς τῶν γιγάντων. A.B. C.M.I. Τυφώς: τεράστιος δαίμων. λέγει δὲ καὶ τὸ σφοδρὸν τοῦ ἀνέμου πνεύσαντος. B.M.I. ἡ κοινῶς λεγομένη ἀνεμοζάλη. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1155. πῦρ καὶ δικέλλας: δότε μοι δηλονότι, ἵνα καταβάλω πόλιν. Bar. δίκελλαν: ἐργαλεῖον μοχλευτικόν. Gu. M. Fl. 33. κατασκάψω: καταβάλω, καταστρέψω. Gr.

1156.—1163. ἀλλ' ἔσχε: ἀλλ' ἐπέσχε μαινόμενον αὐτὸν ὁ τοῦ Ποσειδῶνος παῖς Περικλύμενος, λίθον ἐπιρρίψας κατὰ τὸ κάρα μέγαν καὶ ἅμαξαν ἱκανὸν πληροῦν, λέγω ἐξέχουσαν πέτραν ἀπὸ τῶν προμαχεώνων. τὴν ξανθότριχα δὲ κεφαλὴν εἰς λεπτὰ κατέθραυσεν, καὶ συνδέσεις ὀστέων ἔσχισεν, τὴν ἄρτι δὲ ξανθότριχα σιαγόνα, ἤγουν τὴν οὐ πρὸ μακροῦ τὰς ξανθὰς τρίχας φύσασαν, ᾑμαγμένην ἐποίησεν, οὐδὲ διασώσει τὴν ἑαυτοῦ ζωὴν, ἤγουν οὐδὲ ἀπάξει ἑαυτὸν ζῶντα, τῇ ἑαυτοῦ μητρὶ τῇ Ἀταλάντῃ, τῇ τοξικῇ, τῇ κόρῃ τοῦ Μαινάλου, ἤγουν τῇ περὶ τὸ Μαίναλον διατριβούσῃ. ἐπεὶ δὲ τάσδε τὰς πύλας εἶδεν εὐτυχεῖς ὁ σὸς παῖς, ἐπ' ἄλλας ᾔει, ἤγουν ἐπορεύετο, ἠκολούθουν δὲ ἐγώ. ὁρῶ δὲ Τυδέα καὶ πολλοὺς ὑπασπιστάς. Gr. Cant.

1156. ἀλλ' ἔσχε: πρὸς ταῖς Κρηναίαις πύλαις φησὶ τὸν Παρθενοπαῖον ὑπὸ τοῦ Περικλυμένου λιθοβοληθῆναι Ἀριστόδημος. A.B. C.M.I.

p. 207. l. 20. κλαίουσα] κλέουσα M. Menander κλάουσα scripserat.

1. Τυφὼς] ὅλως τυφὼς C.

ib. οὖν A.C.M. μὲν οὖν B.I.

ib. πρὶν ἐκπυρωθῆναι (ἀναπυρωθῆναι M.) τὸν ἀέρα om. A.C.

2. συστροφή post ἀναθυμιάσεως collocat C.M.

3. ὡς πῦρ] πῦρ om. A.

ib. ἀνεβόησε] ἀναβοῆσαι A.

ib. μεγάλῃ (τῇ addit A.C.) φωνῇ A.C.M. φωνῇ μεγάλῃ B.I.

ib. δικέλλας] δίκελλαν C.

4. ἐξεδέξαντο C.M. ἐδέξαντο B.I., om. A.

5. λέγει δὲ et πνεύσαντος om. B.I.

16. οὐ πρὸ μακροῦ —] Sic Gr. King. dedit οὐ πρὸ μικροῦ τὰς μακρὰς τρίχας. sed ad v. 1176. ubi idem scholion e Bar. dedit, sic ut nos edidimus. MATTH.

23. Κρηναίαις] κρηνέαις C.

24. λιθοβοληθῆναι] λιθωβληθῆναι A.

ib. Ἀριστόδημος] ἀριστόβουλος C. de quo Valck. "Recte Aristodemi nomen vulgari docebit adnotatio ad schol. in v. 1113. In no-

μαργῶντ᾽: μεμηνότα. M.I.

ἐναλίου θεοῦ: τοῦ Ποσειδῶνος. M.I.

1157. Περικλύμενος: ὄνομα κύριον. B.M.

1158. ἁμαξοπληθῆ: δυνάμενον πληρῶσαι ἅμαξαν. ἀπὸ κοινοῦ δὲ τὸ ἐμβαλών. B.I. γεῖσσ᾽ ἐπάλξεων: τὰ ἄκρα τῶν ἐπάλξεων. B.I. προμαχώνων. B. rec. ὃν εἶπε λίθον, τοῦτο λέγει γεῖσσα, ὄντα τῶν τειχέων. Ἄλλως. τὰς ποικίλας ἐξοχὰς τοῦ οἰκοδομήματος, ἢ τὰ ἄκρα τῶν ἐπάλξεων. A.C.

1159. ξανθὸν δὲ κρᾶτα: ἀμφίβολον πότερον τὰς κρᾶτας εἶπεν, ἢ

minibus propriis e scribendi compendiis nata latent ubique peccata. In Etym. M. p. 715, 46. legitur Ἀρίσταρχος in edd. sed in Ms. Leid. ἀρχλ literis sibi invicem impositis: hoc genuinum est Archilochi nomen, quo lacuna suppleri poterit in v. Ἀλφὸς p. 72, 39. παρὰ τῷ ... Ms. Dorvill. παρὰ τῷ ἀρχ ἀλφαίνειν ἔγινε. id est Ἀρχιλόχῳ. p. 98, 28. Ms. Leid. Ζηνόβιος pro Ζηνόδοτος, perperam tamen, sed p. 755, 41. pro Ἡρωδιανὸς δὲ λέγει καταμ. legendum e Leid. cod. Ἡρακλέων δὲ καταμεμψάμενος. — P. 736, 9. ut alibi, nomen Hyperidae latet in praepositione ὑπὲρ, sic Ms. Leid. καὶ Ὑπερίδου σύνταξιν ἐν τῷ παρόντι οὐδενὶ διδόντες. Hujus generis multa possent etiam e codd. Mss. congeri." VALCK. Ἀριστόδημος in scholia om. M., sed ἀριστόδημός φησι addit post κύριον in gl. interl. p. 309, 3.

2. τοῦ Ποσειδῶνος] King. e Bar. τοῦ Ἄρεος, ἢ τοῦ Ποσ. In Gr. τοῦ Ποσειδῶνος est supra quod scriptum est ab Gu. Ἄρεος, ἐνάλιος et ἐνυάλιος inter se confusis. MATTH.

4. ἁμαξοπληθῆ] ἁμαξοπλήθει δὲ B.

ib. δυνάμενον Barnes. δυναμένῳ B.I.

ib. δὲ om. I.

5. ἐμβαλών Barnes. ἐμβαίνων B.I.

6. ὃν εἶπε λίθον—] Valck. corr. ὃν εἶπε λᾶαν, τοῦτο γ. λ. λίθον ὄντα τ. τ. T. post τὰ ἄκρα τῶν ἐπάλξεων, quae et in illo codice et in C. post οἰκοδομήματος sequuntur, addit: λαμβάνεται δὲ καὶ ἐπὶ χειρῶν ἡ λέξις. ἁμαξοπλήθη γεῖσα δυναμένην πληρῶσαι ἅμαξαν. In hac adnotatione desinit T. nam quae ad v. 1159. notata sunt, in illo codice [ut in A.] ad v. 1149. sunt adscripta. Aliud scholion est in Gr. et Mosq. ἐξέχουσαν πέτραν ἀπὸ τῶν προμαχεόνων, ut Gr. προμαχέων, ut Mosq. Lege προμαχεώνων, quod jam supra legitur in paraphr. ad v. 1156—1163. MATTH. In C. hoc scholion legitur ad v. 1179.

ib. λέγει γεῖσα (sic) A. γεῖσσα λέγει C.

7. ἢ τὰ ἄκρα τῶν ἐπάλξεων om. C.

9. πότερον τοὺς κρᾶτας εἶπεν ἢ τὰς κρᾶτας] πότερον τὰς κρᾶτας εἶπεν ἢ τὰ κράτα T. [Voluit πότερον τὰς κρᾶτας εἶπεν ἢ τοὺς κρᾶτας, quod ego ex A. B.C. restitui, etsi non intelligitur quomodo de feminino cogitari potuerit, quum ξανθόν adjectum sit, quod generis est aut masculini aut neutrius.] Valck. conjicit: τὸν κρᾶτα εἶπεν, ἢ τὸ κρᾶτα. Vulgatam veram puto: κρᾶτα enim pro feminino habitum esse, monstrat scholion Gu. ad ξανθὸν adscriptum, τὴν ξανθὴν Ἀττικῶς, ὥσπερ θεὸς ἀντὶ τοῦ θεά. In seqq. [B.] I. ἀναστρέψαι, quod correxit Barn. ad Eurip. fr. Archel. p. 519. In T. τὸ σὸν κρᾶτα ἀναστρέψαι θέλω (C. θέλων.)—κρατὸς τυπτομένων—τύπτου τὰ αὐτοῦ κάρα. C. ἀμφίβολον—καὶ οἷον τύπτει τὸν αὐτοῦ κρᾶτα. MATTH. Tametsi vulga-

τοὺς κρᾶτας· ἐπεὶ καὶ ἐν Ἀρχελάῳ "ἐγὼ δὲ τὸν σὸν κρᾶτ' ἀναστέψαι θέλω." καὶ Ὅμηρος ἀμφιβόλως εἴρηκεν εἰπὼν "κράτων τυπτομένων." καὶ Ἴων "τύπτων τὸν αὑτοῦ κρᾶτα." B.C.I. διεπάλυνε: ἐμόλυνε, ἔκοψε. C. διέσχισε. M. εἰς λεπτὰ διέχεε. παιπάλη γὰρ λέγεται τὸ λεπτὸν τοῦ ἀλεύρου. Ὅμηρος "ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας," ἀντὶ τοῦ ἐπέπασσεν. ἢ ἀντὶ τοῦ ἐμόλυνεν. "παλάσσετο δ' αἵματι θώρηξ." A.B.M.I. διελέπτυνε. I. τὸ δὲ ῥαφάς ἀντὶ τοῦ ἁρμογὰς καὶ συνδέσεις. πέντε δὲ ῥαφὰς εἶναί φασιν οἱ ἰατροὶ τῆς κεφαλῆς. A.M. ῥαφάς: συνδέσεις. B.I. ἁρμογάς, ἁρμονίας. Gr.

1160. ἄρτι δ' οἰνωπὸν γένυν: τὴν πυρρὰν ἢ τὴν ἀνθηρὰν γένυν εὐθέως καὶ παραχρῆμα ᾑμάτωσεν. A.B.C.M.I. πυρρὰν, ἀνθηρὰν, τὴν πυρώδη καὶ ἐρυθρὰν, οἷος ὁ οἶνος. Gu.

1161. οὐδ' ἀποίσεται: οὐδὲ ἀπέρχεται ζῶν πρὸς τὴν μητέρα. B. M. οὐδὲ κομίσει ἑαυτὸν ζῶντα πρὸς τὴν μητέρα. I. οὐδὲ διασώσει τὴν ἑαυτοῦ ζωὴν, ἤγουν οὐδὲ ἐπάξει ἑαυτὸν ζῶντα τῇ ἑαυτοῦ μητρὶ τῇ Ἀταλάντῃ, τῇ τοξικῇ, τῇ κόρῃ τοῦ Μαινάλου, ἤγουν τῇ περὶ τὸ Μαίναλον διατριβούσῃ. ὄρος Ἀρκαδίας τὸ Μαίναλον. Gr. Cant.

1162. Μαινάλου κόρῃ: τῇ Ἀρκαδικῇ. M. γράφεται χθόνα,

tis concinat Aug. cod. hic tamen illud in dubitationem cadere non poterat, sed utrum τὸν κρᾶτα εἶπεν, ἢ τὸ κρᾶτα· sic itaque legendum suspicor: τὸν κρᾶτα dixisse subjecta monstrant Euripidis et Ionis verba: τὸ κρᾶτα frequentatum Sophocli, Oed. Tyr. 271. νῦν δ' ἐς τὸ κείνου κρᾶτ' ἐνήλαθ' ἡ τύχη· Philoct. 998. κρᾶτ' ἐμὸν τόδ' αὐτίκ'—αἱμάξω. v. 1453. οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθη κρᾶτ' ἐνδόμυχον. Verum tamen novator fuit in talibus Sophocles, atque illud ipsum notavit Eustathius in Il. Θ. p. 582, 42. παρὰ Σοφοκλεῖ καὶ τὸ κρᾶτα εἴρηται καινότερον. VALCK.

2. Ὅμηρος] Od. 22, 309

ib. ἀμφιβόλως] ἀμφίβολον C.

ib. εἰπὼν om. C.

3. Ἴων] οἷον C.

ib. τύπτων] τύπτου B. τύπτει C.

ib. αὑτοῦ] Aut αὐτοῦ.

4. παιπάλη γὰρ M. καὶ γὰρ παιπάλη (πεπάλη A.) A.B.I.

5. Ὅμηρος] Il. 10, 7.

ib. ὅτε] ὡς δέ τε I.

6. ἀρούρας] ἄρουρας M. quasi ἄρουραν voluerit.

ib. ἐπέπασσεν] ἐπέπασεν A.I.

ib. ἢ ἀντὶ τοῦ ἐμόλυνεν M. ἢ ἐμόλυνεν A. παρὰ τὸ B.I.

ib. παλάσσετο (πάσσετο M.)] Il. 5, 100. θώραξ pro θώρηξ I.

7. τὸ δὲ—ἁρμογὰς] καὶ ῥαφάς: ἁρμογὰς A.

8. τῆς κεφαλῆς om. A.

10. ἄρτι—ᾑμάτωσεν M. et, omisso καὶ παραχρῆμα, A. οἰνωπὸν δὲ γένυν τὴν ἀνθηρὰν, ἣν εὐθέως καὶ παραχρῆμα ᾑμάτωσεν B. τὴν πυρὰν γενειάδα τὴν ἀνθηρὰν γένυν εὐθέως ᾑμάτωσεν C. πυρὰν, ξανθίζουσαν γένυν, ἣν παραχρῆμα ᾑμάτωσεν I. Glossema τὴν πυρὰν γενειάδα est etiam in M.

15. ἤγουν οὐδὲ ἐπάξει] ἤγουν ἀπάξει Gr.

18. γράφεται (γρ. B.)—Μαινάλου

τουτέστιν εἰς τὴν Μαιναλίαν χθόνα. Μαινάλου δὲ κόρη τῇ ἀπὸ Μαινάλου ὄρους Ἀρκαδίας. ὡς φιλοκύνηγος δὲ ἐν ὄρει διέτριβε. τὸ δὲ κόρη διαφόρως τάττουσιν ἐπὶ τοῦ γυνή. A.B.C.M.I. Fl. 33. *κόρῃ: τῇ θυγατρί.* B. rec. Gu.

1164. *ἐπῄει: ἐπήρχετο.* I.

1165. *παρασπιστάς: ἀσπιδηφόρους.* B. Gu. I. *ἀσπιδοφόρους.* M. *παρασπιστὰς πυκνούς: ἀκολούθους, ὑπασπιστὰς συνεχεῖς, πολλούς.* Gr. Cant.

1166. *Αἰτωλίσιν: Αἰτωλὶς λόγχη, ᾗ οἱ Αἰτωλοὶ χρῶνται.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *εἰς ἄκρον στόμα πύργων: εἰς τὰς ἐπάλξεις.* Gr. Florr. iidem. *εἰς τοὺς τῶν τειχέων ὀδόντας, ἔνθα ἵστανται οἱ ἄνδρες.* Gu.

1167. *ἀκοντίζοντας: ἀκοντίζειν ἐστὶ τὸ ἀκοντίῳ καὶ λόγχῃ βάλλειν. εἰ οὖν καὶ μόνον τὸ ἀκοντίζειν τὸ λόγχῃ βάλλειν δηλοῖ, περισσόν ἐστι καὶ ἀδολεσχίαν ἔχει, εἴ τις εἴποι λόγχῃ ἀκοντίζειν· λόγχῃ δὲ τοιᾷδε ἀκοντίζειν εἴ τις λέγοι σὺν ἐπιθέτῳ, ἀκολούθως λέγει καὶ οὐδεμίαν ἀδολεσχίαν ποιεῖ. τῆς μὲν γὰρ οὖν λόγχης ἐν τῷ ἀκοντίζειν παρούσης, οὐκέτι καὶ τὸ εἶδος αὐτῆς συμπαρῆν. εἴ τις οὖν ἐπάγειν αὐτὸ θέλοι, ἀνάγκην ἔχει ἐπαναλαμβάνειν τὴν λόγχην· καὶ ἐπὶ πάντων δὲ τῶν ὁμοίων τὸ τοιοῦτον ἐξ ἀνάγκης συμβαίνει.* Gr. Cant.

1167. *ἐπάλξεων λιπεῖν ἐρίπνας: τῶν ἐπάλξεων τὰ ἄκρα. Ἄλλως.*

δὲ κόρη om. C.I. Fl. *γράφεται χθόνα* om. M. In A. est *μαινάλου κόρη: γράψον χθόνα, τὴν εἰς τὴν μαιναλίαν χθόνα. μαινάλου δὲ κόρη τῇ ἀπὸ—ἐπὶ τοῦ γυνή.*

1. *τῇ*] *πῇ* C.

2. *ὄρους*] *ὄρη* C.

ib. *φιλοκύνηγος*] *φιλοκάρηνος* C.I.

3. *διαφόρως τάττουσιν*] *ἀδιαφόρως τάττουσι καὶ* Valck. collato Menagio ad Diog. L. 8, 11.

ib. *γυνή*] *γράφεται δὲ μαινάλου χθόνα, τουτέστι μαιναλίαν χθόνα* addunt C.I. Fl.

4. *τῇ* om. Gu.

7. *ἀκολούθους* etiam in B.M. Gu.

13. *τὸ ἀκ.* e Gr. et Mosq. recepi pro *τῷ ἀκ.* Mosq. etiam mox *μόνον τὸ ἀκ.* quod recepi. MATTH.

18. *οὖν* etiam e Gr. et Mosq. addidi; Gr. praeterea habet *θέλει* et *ἀνάγκη ἔχει.* Mosq. *ἐπάγει αὐτό.* Idem paulo ante *τῆς μὲν οὖν λόγχ.* om. *γάρ.* Mihi eo loco *οὖν* delendum videtur, et leg. *τῆς μὲν γὰρ λόγχης.* MATTH.

22. *ἐπάλξεων—ἐριπνάς*] *πύργων μὲν γῆς ἔσχομεν κατασκαφάς* C.

ib. *Ἄλλως—ἐριπνὰς* om. B.

ib. *Ἄλλως—γενομένους*] In I. *ὥστε καταλεῖψαι τὰς ἐπάλξεις φυγάδας γενομένους ἡμᾶς.* Gr. et Fl. 5. 6. 9. 21. 56. 59. 76. haec habent: *ὥστε λιπεῖν τοὺς ἐν τοῖς τείχεσι τὰς ἐρίπνας τῶν*

ἐπάλξεων ἐρίπνας, περιφραστικῶς τὰς ἐπάλξεις, καταλιπεῖν φυγάδας γενομένους. A.B.C.M.I. ἐρίπναι δὲ αἱ ἄκραι, παρὰ τὸ μεγάλως, καταπνέεσθαι. A.B.C.M. Ἄλλως. ἐρίπνας, τὰς ἀκρωρείας. A.C. M. τὰς ἐξοχὰς τῶν ἐπάλξεων. M. ἡ σύνταξις οὕτως, ὥστε λιπεῖν ἡμᾶς τὰς ἐξοχὰς τῶν ἐπάλξεων, φυγάδας γενομένους. C.

1168. ἀλλά νιν πάλιν: τοὺς φυγόντας ὁ σὸς παῖς ὡς κυνηγὸς ἐξαθροίζει καὶ ὁρμᾷ. C.M. ἀλλά νιν: τὸν λαόν. I. ἤγουν αὐτούς. Gr. Fl. 33. 59.

1169. ἐξαθροίζεται: συνάγει πάλιν, καὶ ἐν τοῖς πύργοις ἔστησεν. I. τοὺς φυγάδας συναθροίζει καὶ συνάγει, ὡς ἐπὶ κυνῶν θῆρας φευγόντων. B.C.M.

1170. πύργοις δ' ἐπέστησ': κατέστησεν αὐτοὺς πάλιν ἐπὶ τοῖς πύργοις. M.

1171. ἠπειγόμεσθα: ἐπείγω ἕτερον ἀντὶ τοῦ παρακινῶ καὶ ἐπισπεύδω, ἐπείγομαι δὲ ἀμεταβάτως, ἀντὶ τοῦ σπεύδω. καὶ ἥδω ἕτερον ποιητικῶς, ἥδομαι δὲ ἐγὼ ἀμεταβάτως. Gr. Bar. νοσοῦν: τοῦτο τὸ μέρος καταπαύσαντες ἤλθομεν δυστυχοῦν καὶ κακῶς ἔχον εἰς ἄλλας πύλας. B.M.I. τὸ μέρος τοῦ κινδυνεύειν παύσαντες. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ποιήσαντες ἄφοβον. Fl. 59.

1172. Καπανεὺς δέ: ὁ Καπανεὺς θέλων μιμήσασθαι τὸν Δία ἀνῆλθεν εἰς κλίμακα, ἔχων δύο λαμπάδας, τὴν μὲν μίαν κεραυνὸν ἔλεγεν εἶναι, τὴν δὲ ἑτέραν ἀστραπήν· ἐπὶ τούτοις ὀργισθεὶς ὁ Ζεὺς

ἐπάλξεων, ἤγουν τὰ μετέωρα τῶν τειχῶν, φυγάδας, γενομένους δηλονότι, ἤγουν φυγόντας. MATTH.

2. γενομένους] γινομένους M. φυγάδας γενομένους om. A.

3. ἀκρωρείας] Pergit A. φυγάδας δὲ ὥστε πόλιν φυγόντας ὡς κυνηγὸς ὡσεί: παῖς σὸς ὡς κυνηγὸς ἐξαθροίζεται καὶ συνάγει ὡς ὑπὸ θηρῶν κύνας φεύγοντας. Conf. schol. ad v. 1169.

10. ἐξαθροίζεται] συναθροίζεται I.

11. καὶ συνάγει om. B.

ib. συνάγει—φευγόντων] συνάγει ὡς ὑπὸ θηρῶν κύνας φεύγοντας. ἐξαθροίζειν οὖν φησὶ τούτους φεύγοντας ὑπὸ τῶν πολεμίων A.

ib. ὡς om. C.

ib. ἐπὶ] ἀπὸ Valck.

ib. κυνῶν θῆρας] κυνῶν θήραν θῆρας κυνῶν B.

17. καταπαύσαντες M. παύσαντες I., om. B.

ib. ἤλθομεν om. B.I.

ib. καὶ om. M.

ib. ἔχον B.M. ἔχον ἐσπεύδομεν I.

ib. εἰς ἄλλας πύλας om. B.

21. τὴν μὲν C. τὴν solum A.M. Fort. καὶ τὴν μὲν—.

ib. κεραυνὸν] κεραυνοῦ M.

22. ἔλεγεν] ἔλεγον C.

ib. τὴν δὲ ἑτέραν C. In A.M. est καὶ τὴν μίαν.

ib. τούτοις] τούτῳ A.

ἐκεραύνωσεν αὐτόν. A.C.M. ὡς: πῶς. I. ὡς ἐμαίνετο: ὅτι μανικῶς ὥρμα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1173. μακραύχενος γὰρ κλίμακος: ὑψηλῆς κλίμακος ἐπαναβάσεις, περιφραστικῶς, ἀντὶ τοῦ κλίμακα ὑψηλήν. Gr. Bar. προσαμβάσεις: τὰς ἀναβάσεις τῆς ὑψηλῆς κλίμακος βαστάζων ἐπορεύετο. I.

1174. καὶ τοσόνδ' ἐκόμπασεν: καὶ τοιοῦτον ἐκαυχήσατο. B.M. καὶ τοσοῦτον ἐκαυχήσατο, μηδὲ τὸ τίμιον πῦρ, ὅ ἐστιν ὁ κεραυνὸς, κωλύειν αὐτὸν τοῦ μὴ πορθεῖν τὴν πόλιν ἀπ' ἄκρων τειχέων. I. μετ' ἐπάρσεως εἶπεν, ἐκαυχήσατο. Gr. Cant.

1175. τὸ σεμνὸν πῦρ: τὸ τίμιον πῦρ, ὅ ἐστιν ὁ κεραυνός. B. οἷον, μὴ ἀποκωλύειν αὐτὸν τὸ φοβερὸν πῦρ τοῦ Διὸς τοῦ μὴ πορθεῖν τὴν πόλιν ἀπὸ ἄκρων τειχέων. C.M. εἰργάθειν: εἴργω κοινὸν, εἰργάθω 'Αττικόν. Gr. Cant. Bar.

1176. τὸ μὴ οὐ: τὸ μὴ καὶ τὸ οὐ ἐκ παραλλήλου. Gr. Bar. κατ' ἄκρων: ἡ κατὰ πρὸς τὸ ἑλεῖν, εἰς τὸ μὴ καθελεῖν τὴν πόλιν. τὸ γὰρ οὐ πλεονάζει. περγάμων δὲ τῶν τειχέων. A.B.M.I. ἤγουν τῆς ἀκροπόλεως, τὸ παρὰ τῷ πεζῷ λόγῳ κατάκρας. Gr. Leid.

1177. πετρούμενος: λίθοις βαλλόμενος. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1178. ἀνεῖρφ': ἀνέβαινε, ἀνήρχετο. Florr. iidem. εἱλίξας δέμας: συστρέψας. M. συστείλας τὸ σῶμα. Gr. Florr. iidem.

3. In M. gl. τῆς ὑψηλῆς κλίμακος πρὸς τὸ ἐπαναβάσεις.

4. προσαμβάσεις: τὰς Barnes. ἀμβάσεις: πρὸς τὰς I. In B. ad πρὸς ἀμβάσεις adscriptum πρὸς τὰς ἀναβάσεις τῆς ὑψηλῆς κλίμακος ἀνήρχετο.

9. τοῦ μὴ — τειχέων (τειχῶν I.)] Haec etiam in B.

12. οἷον] ἄλλως C. in quo hoc scholion sequitur post φευγόντων, quo finitur scholion v. 1169.

ib. αὐτὸν] τίμιος τουτέστι ὁ κεραυνὸς addit M.

ib. πορθεῖν] Sic non solum M., sed etiam C. (in quo inferior vocabuli pars tineae morsu absumta est) cui ἐπελθεῖν tribuit Valck.

13. τειχέων] τὸ δὲ (excidit οὐ) πλεονάζει addit C. ex schol. v. 1176.

14. 'Αττικόν] ποιητικόν Bar. Vulgari accentus vitio εἰργάθειν pro εἰργαθεῖν deceptus grammaticus praesens finxit εἰργάθω pro aoristo εἴργαθον.

16. ἡ κατὰ—τειχέων] ἡ κατὰ εἰς τὸ ἑλεῖν, εἰς τὸ μὴ καθελεῖν τὴν πόλιν. τὸ οὐ πλεονάζει.—τειχέων A.

17. γὰρ om. M.

ib. περγάμων δὲ τῶν τειχέων (τειχῶν I.) supra post τὸ ἑλεῖν B.I.

21. ἀνήρχετο etiam Gr.

ὑπ' αὐτὴν ἀσπίδα: ἐναργῶς ἔδειξε τοῦτον ὑπὸ τῇ ἀσπίδι κεκρυμμένον καὶ βαλλόμενον ἄνωθεν, ὁμοίως τῷ "ἀσπίδι ταυρείῃ κεκαλυμμένος." A.B.C.M.I.

1179. ἀμείβων: διερχόμενος τὰ ξεστὰ βάθρα, ἤγουν τὰς ξεστὰς βαθμίδας τῶν ἐνηλάτων τῆς κλίμακος, τουτέστι τῶν ὀρθῶν ξύλων, ἐφ' οἷς πεπήγασιν αἱ βαθμίδες. Gr. Cant. Florr. omnes.

ἐνηλάτων βάθρα: ἐν οἷς τὰ ὑπόβαθρα πήγνυται, δι' ὧν ἀναβαίνουσιν ἐπὶ τὰ τείχη. M. τῶν ὀρθίων ξύλων τῆς βαθμίδος. B. περιφραστικῶς τὰ ἐνήλατα, ὅπου ἐπιβαίνομεν, ἢ τὰς βάσεις τῶν ἐνηλάτων τῆς κλίμακος. Ἄλλως. ἐνήλατά ἐστι τὰ ὀρθὰ ξύλα, ἔνθα πήγνυνται καὶ ἐλαύνονται τὰ βάθρα τῆς κλίμακος. B.C.M.I. τὸ δὲ βάθρα ἀντὶ τοῦ εἰς ὕψος. A.C.M. Ἄλλως. βάθρων τῶν θεμελίων καὶ τῶν βάσεων. A.C. βαθμούς. M.

1180. ὑπερβαίνοντα: ἀπὸ τοῦ νῦν μέλλοντα ἐπιβῆναι τῶν τειχῶν. Gu. γεῖσα: τὰ λεγόμενα στηθαῖα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1181. ἐκτύπησε: ἦχον ἐποίησεν. Gr Florr. iidem.. πεσόντος τοῦ κεραυνοῦ. Gu.

1183. ἐσφενδονᾶτο: ὡς ἀπὸ σφενδόνης ἐχωρίσθησαν τὰ μέλη αὐτοῦ ἀπ' ἀλλήλων. B.M.I.

1184. κόμαι μέν: ὡς κοῦφαι. Gu. εἰς Ὄλυμπον: εἰς οὐρανὸν ἀνεπέμποντο. Gr. Florr. iidem. εἰς ὕψος. Gu. αἷμα δέ: ὡς γεῶδες. Gu.

1185. κῶλα: τὰ ἄκρα τῶν ποδῶν. B. Gu. I. οἱ πόδες. Gr. Florr. omnes. καὶ τἄλλα μέρη. Gu. χεῖρες καὶ κῶλα εἰπὼν

1. ἐναργῶς om. M.
ib. τοῦτον] τὸν C.
ib. τῇ ἀσπίδι] τῆς ἀσπίδος M.
ib. κεκρυμμένον A.B.C.M. κεκαλυμμένον I.
2. ὁμοίως τῷ (τὸ M.) A.B.M. ὅμοιον τῆς C. ὡς τὸ I.
ib. ἀσπίδι] Il. 15, 360.
9. τὰ ἐνήλατα C.M. ἐνήλατα B. δὲ ἐνήλατα I., omisso lemmate.
10. ἐστι] εἰσὶ B.I. In Gu. ἐνήλατα τὰ σκέλη τῆς κλίμακος ἔνθα αἱ βαθμίδες πήγνυνται προσηλούμεναι.
11. πήγνυνται καὶ ἐλαύνονται M. πήγνυται καὶ ἐλαύνεται (ἀνάλλεται C.) B.C.I. πήγνυται, omisso ἐλαύνεται, A.
12. τὸ δὲ om. C. De scholiis in C.M. huic versui per errorem adscriptis diximus ad v. 1132.
19. ἐχωρίσθησαν B.M. ἐχωρίζετο καὶ ἐρίπτετο I.
20. αὐτοῦ] αὐτῶν M.
22. ἀνεπέμποντο] ἀπεπέμποντο Gr.
24. ποδῶν] Pergunt B.I. ὡς κύκλωμα δὲ ὡς etc. (p. 315, 3.)

ἐπάγει ἑλίσσετο, πρὸς τὸ προσεχῶς οὐδέτερον ἀποδιδοὺς, ἢ πραγματικὴν ποιούμενος τὴν σύνταξιν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

ὡς κύκλωμ᾽: ὡς ὁ τροχὸς τοῦ Ἰξίονος, περὶ ὃν ἀεὶ στρέφεται. οὗτος γὰρ ὁ Ἰξίων διὰ τὸ τῆς Ἥρας ἐρασθῆναι ταύτην κατεδικάσθη τὴν τιμωρίαν. A.B.C.M.I.

Ἰξίονος: ὁ Ἰξίων φόνον δράσας ὑπὸ τοῦ Διὸς ἀνηνέχθη ὑπ᾽ οὐρανὸν, καὶ μετὰ τὸ καθαρθῆναι ὕβρισε τὴν τοῦ Διὸς φιλίαν. ἐπεθύμησε γὰρ τῆς Ἥρας, καὶ λόγους προσήγαγεν αὐτῇ· ἡ δὲ θεὰ νεφέλην αὐτῷ παρεκοίμισεν εἰς ἑαυτὴν σχηματίζουσα, ᾗ δὴ συγκαθευδήσας ὁ Ἰξίων ἐπεκαυχήσατο τῇ συνουσίᾳ. καὶ Ζεὺς ἀγανακτήσας ἐταρτάρωσεν αὐτὸν καὶ τροχῷ προσέστησεν. C.

Ὁ Ἰξίων τροχῷ κατακριθεὶς τὴν τιμωρίαν ἔχει· ἀναβιβάζει γὰρ τὸν τροχὸν ἐν τόπῳ ὑψηλῷ. οὗτος δὲ πάλιν κατέρχεται. C. Ὁ Ἰξίων Λαπίθης ἦν τὸ γένος, ἠγάγετο δὲ Δίαν τὴν Ἠϊονέως θυγατέρα, τὸν δὲ πενθερὸν αὐτοῦ ἐλθόντα ἐπὶ τὰ ἕδνα συνεσκευάσατο. ὄρυγμα

3. ὡς ὁ τροχὸς —] τροχὸς Ἰξ. περὶ ὃν ἀναστρέφεται καθ᾽ ᾅδην ταρταρωθεὶς ὑπὸ Διός Gu. nihil amplius.

ib. τοῦ om. A.C.M.

4. ὁ Ἰξίων om. A.

ib. διὰ τὸ τῆς (τῆς om. B.) ἥρας ἐ. A.B.C. διὰ τὸ ἐ. ἥρας I. Verba γὰρ ὁ—ταύτην obliterata in M.

5. τιμωρίαν] ἐν ᾅδου addunt B.I. "De Ixionis supplicio agentium testimonia congesta prostant in Miscell. Observ. vol. 3. p. 312—320." VALCK.

6. ὑπ᾽] εἰς Valck.

7. τὴν τοῦ Valck. τὴν om. C.

8. προσήγαγεν C., non ἐπήγαγεν ut Valck.

9. παρεκοίμισεν a me positum pro παρεκοίμησεν. Schol. Apollon. Rhod. in hac historia: Ζεὺς νεφέλην ὁμοιώσας Ἥρᾳ παρακοιμίζει αὐτῷ. Schol. Hom. Il. 1, 268. παρέκλινεν αὐτῷ. VALCK.

11. προσέστησεν] Non προσέστησεν, sed προσέδησεν vel προσέπηξεν· alterutrum hic restituendum; hoc praetulerim; τῷ τροχῷ προσηλῶσαι et προσπῆξαι non differunt. Quae proxima sequuntur magistelli sunt Sisyphi saxum et Ixionis rotam confundentis. VALCK.

13. Post κατέρχεται sequitur in C.I. ἐναργῶς—κεκαλυμμένος, quod est scholion v. 1178.

ib. ὁ (ὁ om. A.) Ἰξίων Λαπίθης—] Quae sequuntur, ad Diodor. Sic. 4, 69. comparanda, praecedentibus multo meliora, de Pherecydeis excerpta sunt; Pherecydae veterem tradentis historiam verba partim saltem dederunt schol. in Apollon. Rhod. 3, 62. et in Pindari Pyth. 2, 40. Ex his, nunc demum vulgatis, transcripta sunt, quae leguntur in schol. ad Lucian. vol. 1. p. 216. VALCK. Hujus scholii pars magna obliterata in M.

14. ἦν et δὲ om. A.

15. ὄρυγμα ποιήσας] Scribendum, ὄρυγμα γὰρ [γὰρ ego addidi ex A.] ποιήσας· e schol. in Lucian. Schol. Pind. βόθρον διώρυξε, καὶ πληρώσας αὐτὸν πυρὸς, ὡς ἐπὶ εὐωχίαν ἐκάλεσεν. Quae schol. habet Apollon. βέρεθρον ποιήσας καὶ πυρακτώσας, ipsa sunt

γὰρ ποιήσας ἐν τῇ οἰκίᾳ καὶ γεμίσας πυρὸς ἐκεῖ τὸν Ἠϊονέα ἐνέβαλεν· ἐφ' ᾧ ὁ θεὸς ἠγανάκτησεν. ὁ δὲ Ζεὺς ἐλεήσας τὸν Ἰξίονα, καὶ λαβὼν αὐτὸν ἐν τῷ ἰδίῳ ἱερῷ ἀφῆκε, μεταδιδοὺς αὐτῷ καὶ τῆς ἀθανασίας. ὃς ἀκολασταίνων ἰδὼν τὴν Ἥραν ἠράσθη αὐτῆς· μὴ φέρουσα δὲ ἡ Ἥρα τὴν μανίαν αὐτοῦ φησι τῷ Διΐ· ἐφ' ᾧ ἀγανακτήσας ὁ Ζεὺς, βουλόμενός τε γνῶναι εἴ γε ἀληθές ἐστιν, ἀπείκασε τῇ Ἥρᾳ νεφέλην, ἣν ἰδὼν ὁ Ἰξίων, νομίσας τὴν Ἥραν εἶναι, μίγνυται αὐτῇ καὶ ποιεῖ παῖδα διφυῆ, τὰ μὲν ἀνθρώπου ἔχοντα, τὰ δὲ ἵππου, ἀφ' οὗ καὶ οἱ λοιποὶ Κένταυροι γεγόνασιν. ὀργισθεὶς δὲ ὁ Ζεὺς ὑποπτέρῳ τροχῷ τὸν Ἰξίονα δήσας ἀφῆκε τῷ ἀέρι φέρεσθαι μαστιζόμενον καὶ λέγοντα, χρὴ τιμᾶν τοὺς εὐεργέτας. Οἱ μὲν ὅτι ἐταρτάρωσεν αὐτὸν, οἱ δὲ ὅτι καὶ πύρινος ἦν ὁ τροχός φασιν. A.C.M.

Pherecydae verba, Ionica certe vocis forma βέρεθρον.— Huic similem fraudem commemorat Polyaenus 6, 18, 2. ubi Phocences dicuntur τάφρον ὀρύξαντες κατὰ τὴν πόλιν. sed pro πόλιν corrigendum est Ὑάμπολιν ex Herod. 8, 28. VALCK.

2. ἐφ' ᾧ ὁ θεὸς] Exciderunt nonnulla, quae facile poterunt restitui e schol in Lucian. ἐφ' ᾧ οἱ θεοὶ ἀγανακτήσαντες ἔμελλον αὐτὸν τιμωρεῖν. VALCK.

ib. ὁ θεὸς] οἱ θεοὶ A.

ib. τὸν Ἰξίονα A. et ut videtur M. αὐτὸν (αὖ τὸν Valck.) ἠξίωνα (sic) C.

ib. καὶ * βῶν] Restituendum putabam, καὶ καθαίρων αὐτὸν, schol. Pindari: ἀποστραφέντων δὲ αὐτῶν (αὐτὸν scribendum, vel ἀνθρώπων·) καὶ τῶν ἄλλων θεῶν, μόνος ὁ Ζεὺς οἰκτείρας αὐτὸν ἐκάθηρε τοῦ φόνου· schol. Apollon. οὐδεὶς αὐτὸν ἤθελεν ἁγνίσαι οὔτε θεῶν οὔτε ἀνθρώπων· —ἐλεήσας δὲ αὐτὸν ὁ Ζεὺς ἁγνίζει. vid. Diodor. Sic. 4. p. 314, 63. et Wesselingius. In schol. ad Lucian. legitur καὶ λαβών. VALCK. Hoc ipsum καὶ λαβὼν est etiam in C., literis λα obscurius scriptis, unde factum ut βὼν (non βῶν) esse videretur. Idem haud dubie in M. fuit, in quo haec nunc legi nequeunt. Clare scriptum est in A.

5. ἐφ' ᾧ] ἐφ' οὗ A.

6. γνῶναι M. δοκιμάσαι A.C.

ib. τῇ Ἥρᾳ Valck. τὴν ἥραν C.

9. λοιποὶ Κένταυροι] Ἱπποκένταυροι rectius legitur in schol. ad Lucian. VALCK.

10. δήσας ἀ. τ. ἀ. φ.] Schol. Luc. ὑποπτέρῳ τροχῷ δήσας τὸν Ἰξίονα ἀφῆκε φέρεσθαι διὰ ἀέρος μ. κ. λέγοντα, Χρὴ τιμᾶν τοὺς εὐεργέτας· hic quoque scribendum ἐν τῷ ἀέρι. vel δι' ἀέρος. In schol. ultimo ad Od. Φ. quod pertinet ad v. 303. in eadem fabula: εἴασε κατὰ τοῦ σφαιροειδοῦς φέρεσθαι βοῶντα, ὡς τοὺς εὐεργέτας ἀμείβεσθαι προσῆκεν. (Miscell. Obs. 3. p. 319.)—ἡ ἱστορία παρὰ Πινδάρῳ. Nota sunt Pindarica (Pyth. 2, 40, conf. 4, 163.) Ἰξίονα φαντὶ ταῦτα βροτοῖς λέγειν· —τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι. quae Virgilianis admovit, inde derivatis, F. Ursin. Aen. 6, 618. "*magna testatur voce per umbras: discite justitiam moniti.*" VALCK.

ib. μαστιζόμενον—εὐεργέτας] Hacc post ἐταρτάρωσεν αὐτὸν collocat A.

11. εὐεργέτας] αὐτοῦ addit M.

ib. Οἱ μὲν M. οἱ δὲ C. Recte M. Nam est haec alius grammatici annotatio.

12. ὁ τροχός A. ὁ om. C.M.

Οὗτος ὁ Ἰξίων, ὁμοδίαιτος ὢν τῷ Διὶ, ἐφωράθη τῆς Ἥρας ἐρῶν. θέλων οὖν ὁ Ζεὺς γνῶναι τὸν ἔρωτα νεφέλην παρεικάζει τῇ Ἥρᾳ, εἰς ἣν ὁρμήσας ὁ Ἰξίων δῆλον ἐποίησε τῷ Διὶ τὸν ἔρωτα· ὃς ὀργισθεὶς, δήσας αὐτὸν ἐν ταχυτάτῳ τροχῷ ἀφῆκεν ἐν ἀέρι περιελίσσεσθαι, καὶ δίκην οὕτω τίνειν τῆς ἀκολάστου γνώμης, βοῶντα ὡς χρὴ τοὺς εὐεργέτας τιμᾶν. ἐκ δὲ τῆς πρὸς τὴν νεφέλην τοῦ Ἰξίονος μίξεως γέγονεν ὁ Ἱπποκένταυρος, κεφαλὴν μὲν καὶ στῆθος καὶ χεῖρας ἀνθρώπου ἔχων, τὸ δὲ λοιπὸν σῶμα ἵππου, ὅν τις ἰδὼν τὴν ἀρχὴν οὕτως ἀτοπώτατον θέαμα εἶπεν "ἀνὴρ ἀποπέρδεται ἵππον, ἵππος δ' ἀπερεύγεται ἄνδρα." Gu. Bar.

1186. ἔμπυρος: κεκαυμένος. M.I. ὑπόπυρος ἐκαλύπτετο, ἐστρέφετο. M. πεπυρακτωμένος. Gr. Florr. ἡμίεφθος, κεκαυμένος, κεκεραυνωμένος. Gu.

1188. ἔξω τάφρου: καὶ τῆς σούδας. τὸ λεγόμενον χαντάκιον. C. καθεῖσεν: καθεσθῆναι ἐποίησεν ἔξω τῆς σούδας. I. καθιέω, καθιῶ, ὁ μέλλων καθιέσω, ὁ ἀόριστος καθίεσα, καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν καθεῖσα καθεῖσας καθεῖσεν. ὅτι δὲ οὕτως ἔχει μαρτυρεῖ καὶ τὸ καθεῖσαν καὶ ἀφεῖσαν καὶ παρεῖσαν, τρίτα τῶν πληθυντικῶν ὄντα. ἃ πειρώμενοί τινες ἐκ τοῦ παρατατικοῦ κανονίζειν, λέγοντες ἵημι, καὶ ὁ παρατατικὸς ἵην, τὸ τρίτον τῶν πληθυντικῶν ἵεσαν, καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν εἶσαν, δοκοῦσι μὲν ἀληθές τι λέγειν, ἐξελέγχονται δὲ τῇ σημασίᾳ. παρεῖσαν γὰρ ἀντὶ τοῦ κατέλειψαν, οὐ κατελίμπανον, τὸ μὲν παρατατικὸν, τὸ δὲ κατέλειψαν ἀόριστον ὄν. πρὸς δὲ καὶ ὃ νῦν Εὐριπίδης φησὶ μέγα τεκμήριον τοῦ ὅτι εἰς ἀόριστον δεῖ κανονίζεσθαι. Gu. ἕω τὸ κάθημαι, ἤγουν τὸ καθῆσθαι ποιῶ, ὁ μέλλων ἕσω, ὁ ἀόριστος εἶσα. ἔστι δὲ ἓν τῶν τὸ ι προσλαμβανομένων ἐπὶ τῶν παρῳχημένων, καὶ μετὰ τῆς κατά καθεῖσεν. Fl. 21. ἀναπαύσασθαι ἐποίησεν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

3. ὁ et τῷ om. Gu.

9. ἀνὴρ—ἄνδρα] ἄνθρωπος ἀποπέρδεται ἵππον, καὶ ἵππος ἀπερεύγεται ἄνθρωπον Gu. "Facetum hoc dictum alibi scriptum legitur: ἵππος ἐρεύγεται ἄνδρα, βροτὸς δ' ἀποπέρδεται ἵππον. sic illud exhibet Jac. Duportus Praelect. in Theoph. p. 377. et Salvinius ad Eustath. in Il. Λ. p. 76, 42. memorantem, τὸ ἀστεῖον ἐκεῖνο, ὅτι δηλαδὴ ἐν τῇ τῶν Ἱπποκενταύρων φύσει ἵππος μὲν ἀπερεύγεται ἄνδρα, βροτὸς δ' ἀποπέρδεται ἵππον." VALCK.

15. τῆς σούδας] Vid. annot. ad schol. v. 1100.

1189. οἱ δ' αὖ παρ' ἡμῶν: οἱ δὲ ἀπὸ τοῦ ἡμετέρου μέρους, ἤγουν οἱ ἡμέτεροι. Gu. Fl. 5. 6. 9. 21. 56. 59. 76. δεξιόν: ἀγαθόν. Gr. Florr. iidem. ἐπιτήδειον, κάλλιστον. Gu. τέρας: ἀντὶ τοῦ σημεῖον. Gr. Florr. iidem.

1190. ἰδόντες: γνωρίσαντες. M. Gu. ἐξήλαυνον: ἐκ τῆς πόλεως ἢ ἐκ τῆς τάφρου. Gu. ἁρμάτων ὄχους: τὰ ἅρματα, περιφραστικῶς. B.M.I.

1191. κεὶς μέσ' Ἀργείων ὅπλα: εἰς μέσους τοὺς Ἀργείους, ἤγουν εἰς τὸ μέσον τῶν Ἀργείων. Gr. Florr. iidem. ἐν μέσῃ τῇ παρατάξει. B.M.I. εἰς μέσας παρατάξεις. Gu.

1192. ξυνῆψαν ἔγχη: συνεκρότησαν τὴν μάχην. Gr. Cant.

1193. ἀντύγων ἄπο: ἄντυξ ἡ περιφέρεια τοῦ ἅρματος. ἐνταῦθα ἀντύγων ἄπο ἀντὶ τοῦ ἀπὸ ἁρμάτων. Gr. Cant. Mosq.

1194. ἄξονές τ' ἐπ' ἄξοσι: παρὰ τῷ Αἰσχύλῳ ἐν Γλαύκῳ Ποτνιεῖ

ἐφ' ἅρματος γὰρ ἅρμα, καὶ νεκρῷ νεκρὸς,
ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι.

A.B.C.M.I.

1195.—1198. νεκροὶ δὲ νεκροῖς: ἐσωρεύοντο, ἤγουν σωρηδὸν ἐπέπιπτον. τὰς μὲν οὖν κατασκαφὰς τῶν πύργων τῆς γῆς, ἀντὶ τοῦ τὴν καταστροφὴν, ἐπέσχομεν μέχρι τῆς παρούσης ἡμέρας. εἰ δὲ εὐτυχὴς ἔσται κατὰ τὸ ἐπίλοιπον, ἤγουν τὸ ἔμπροσθεν, ἥδε γῆ, τοῖς θεοῖς διὰ φροντίδος ἐστίν. Cant.

1195. ἐξεσωρεύονθ' ὁμοῦ: νεκροὶ ἐπὶ νεκροῖς ἐσωρεύοντο, (περισσὴ

12. ἐνταῦθα ἀντύγων ἄπο] ἐνταῦθα δὲ ἀντύγων ἁπλῶς Mosq., omisso etiam ἀπὸ ante ἁρμάτων.

14. παρὰ τῷ Αἰσχύλῳ (αἰσχύλου C.)] καὶ παρ' αἰσχύλῳ I. Utrique praestat παρὰ τὸ Αἰσχύλου.

15. Ποτνιεῖ] πῖτνεῖ C., om. I. Aeschyli verbis usus est Aristophanes Ran. 1403. ubi v. scholiastae annotatio (1450.).

16. ἅρματος] ἅρματι C.

ib. ἅρμα] ἅρματα M.

ib. νεκρῷ νεκρὸς] νεκρῶν νεκροί A.C. M.

17. ἐμπεφυρμένοι Valck. ἐμπεφυγμένοι C. ἐκπεφυγμένοι A.B.I. et obliterato γ M.

20. τὰς μὲν οὖν—] In Gr. et Florr. 59. 76. sunt tantum haec: τὰς μὲν οὖν κατ.—ἡμέρας. reliqua in Gr. pro glossis supra versum scripta: κατὰ τὸ ἐπίλ. ἤγ. τὸ ἔμπρ. tum διὰ φροντίδος ἔστιν. MATTH.

24. In editis tantum erat: σωρηδὸν ἀλλήλοις ἐπέκειντο [sic etiam B.]. Gu. σωρηδὸν ἔπιπτον, ἤγουν ἐκ τούτου εἰς ἕνα σωρὸν συνήγοντο, σωρηδὸν ἀλλήλοις ἐπέκειντο, ἀνεμ. ἀλλεπ. ἔπ. MATTH.

ib. νεκροὶ om. A.

δὲ ἡ ἐξ,) σωρηδὸν ἐπ' ἀλλήλων ἔκειντο, ἀνεμίγνυντο, ἀλλεπάλληλοι ἔπιπτον. A.C.M. σωρηδὸν ἀλλήλοις ἐπέκειντο. B.I.

1196. ἔσχομεν κατασκαφάς: ἐπέσχομεν τῆς πόλεως τὴν κατασκαφὴν καὶ τὴν πόρθησιν. A. τοὺς θεμελίους τῶν πύργων κατασκαφῆναι διεκωλύσαμεν. B.I. τὰς πορθήσεις. M.

1198. θεοῖς μέλει: τοῖς θεοῖς φροντίς ἐστι. I. περὶ ἡμᾶς δηλονότι. M.

1200. καλὸν τὸ νικᾶν: καλὸν τὸ νικᾶν ἐστίν· εἰ δὲ καὶ βέλτιον τοῦ νικᾶν ἡμᾶς βουλεύονται οἱ θεοὶ, εὐτυχοίην ἄν. λέγει δὲ τὸ φιλίαν ἐμβαλεῖν τοῖς ἀδελφοῖς. A.B.C.M.I.

καλὸν τὸ νικᾶν: καλόν ἐστι νικῆσαι ἡμᾶς τοὺς πολεμίους· ἐὰν δὲ ἔχωσιν οἱ θεοὶ κρείττονα γνώμην, διαλλάξαι λέγω πρὸς ἀλλήλους τοὺς ἀδελφοὺς, εἴην ἂν εὐτυχὴς ἐγὼ, ἤγουν, τοῦτο κάλλιστον καὶ εὐτυχία τῆς πόλεώς ἐστι καὶ ἄμεινον τοῦ νικᾶν. Gu.

εἰ δ' ἀμείνονα: τινὲς ἀντὶ τοῦ δικαίαν. ὁ δὲ νοῦς, γένοιτο μὲν νικᾶν τοὺς Θηβαίους· εἰ δὲ οἱ θεοὶ τὰ δίκαια κρίνωσι, καὶ συμβῇ ἀπολέσθαι τοὺς Θηβαίους, ἀλλ' οὖν ἐγὼ διαφύγοιμι. A.B.C.M.I.

εἰ οἱ θεοὶ τὰ δίκαια κρίνουσι, πάντως ἡττηθήσονται οἱ Θηβαῖοι. ἐγὼ οὖν ὁ χορὸς σωθείην, διαφύγοιμι. B.C.M.

1201. ἔχουσιν: γρ. ἔχοιεν. M.

1202.—1208. καλῶς τὰ τῶν θεῶν: καλῶς ἡμῖν ἔχει ἡ τῶν θεῶν γνώμη καὶ ἡ τῆς τύχης· παῖδές τε γάρ μοι ζῶσι καὶ πέφευγε τὸν κίνδυνον ἡ γῆ. Κρέων δὲ φαίνεται τῶν ἐπομένων κακῶν τοῖς

1. ἐπ' ἀλλήλων ἔκειντο] ἀλλήλοις ἐπέκειντο A.M.

ib. ἀλλεπάλληλοι (ἀλλ' ἐπαλληλοι sine accentu C.) ἔπιπτον] ἐπ' ἀλλήλοις ἔπιπτον M. ἀλλήλοις ἐπέπιπτον A.

8. καλὸν τὸ νικᾶν ἐστιν (ἐστιν om. A.)] ἄλλως praefixum in A.C.M. Praecedit enim scholion inferius εἰ οἱ θεοὶ—διαφύγοιμι.

9. βουλεύονται] βούλονται A.C.

ib. τὸ φιλίαν ἐμβαλεῖν] τὸν ἐμφιλίαν (sic) ἐμβαλεῖν C.

15. τινὲς] τις C.

ib. δικαίαν] δίκαιον M. sed idem in marg. τὸ ἄμεινον ἀντὶ τοῦ δικαίαν. In A. est εἰ δ' ἀμείνον': τινὲς ἀντὶ τοῦ δικαίως. ὁ δὲ νοῦς etc.

ib. γένοιτο A.B.C.M. ἐγένετο I.

16. νικᾶν] τιμᾶν A.

ib. εἰ δὲ οἱ θεοὶ] εἰ δὲ θεοὶ A.C.

ib. κρίνωσι M. κρίνουσι A.B.I. κρίνουσιν C.

17. Θηβαίους] δικαίους C.

21. καλῶς—] Paraphrasis e glossis singulis conflata videtur, quae eaedem sunt in Gr. καλῶς—τῆς τύχης. τὸν κίνδυνον (supra πέφευγε adscriptum). φαίνεται. παρανομιῶν. τοῦ οἰκείου. ὅσον μὲν πρὸς τὴν πόλιν. τὸ εἰς ἑαυτόν. λυπηρῶς, ἀλγεινῶς. ὡς—διήγησαι. τί τὰ μετὰ—δράσειν. MATTH.

ἐμοῖς νυμφεύμασι τῶν τε Οἰδίπου δύστηνος ἀπολαῦσαι παρανομιῶν, παιδὸς τοῦ οἰκείου στερηθεὶς, ὅσον μὲν τὸ πρὸς τὴν πόλιν εὐτυχῶς, τὸ εἰς ἑαυτὸν δὲ ἀλγεινῶς. ὡς ἐξ ἄλλης ἀρχῆς διήγησαί μοι, τί κατὰ τὸ μετὰ ταῦτα οἱ παῖδες οἱ ἐμοὶ μέλλουσι δράσειν; I.

1202. ἔχει: διάκειται. Gr. Cant. ἀπολαύειν, μετέχειν. M.

1204. τῶν δ' ἐμῶν νυμφευμάτων: τῶν ἐμῶν νυμφευμάτων καὶ τῶν Οἰδίπου κακῶν ὁ Κρέων ἀπήλαυσεν. A.

1207. λυπρῶς: λυπηρῶς. M. ἀλλ' ἄνελθέ μοι: ἀνάδραμε καὶ διήγησαι. B.I.

1208. δρασείετον: ἐπιθυμοῦσι δρᾶσαι, παρασκευάζονται. Gu. Bar.

1209. ἔα τὰ λοιπά: μὴ περαιτέρω πύθῃ. A.B.C.M.I. μὴ ζήτει τὰ μετὰ ταῦτα, ἀλλ' ἐνταῦθα στῆθι. Gu. τὰ λοιπά: τὰ ἐπίλοιπα, τὰ ἔμπροσθεν. Gu. Fl. 5. 6. 9. 21. 56. 59. 76.

δεῦρ' ἀεί: ἀντὶ τοῦ μέχρι τοῦ νῦν, ἕως τούτου. A.B.M.I. ἐπειδὴ εἶπεν ἔα τὰ λοιπὰ, εἰ καλῶς πράσσεις, εἶπεν ὅτι εἰς ὑποψίαν εἶπας. A.B.C.M.I.

1210. εἰς ὕποπτον: εἰς ὑπόνοιαν κακοῦ. Gr. Cant. ὑποψίαν τινὸς κακοῦ. Gu. ἔμφοβον. Fl. 33. ἐατέον: ἄξιόν ἐστιν ἐᾶσαι. Gu. καταλειπτέον. Fl. 59.

1211. μεῖζον ἄλλο τι θέλεις μαθεῖν, ἢ μαθεῖν τοὺς σοὺς παῖδας πεφυλαγμένους. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1212. καὶ τἀπίλοιπα: χρῄζω ἀκούειν εἰ καλῶς πράσσω, ἤγουν εὐτυχῶ, καὶ κατὰ τὰ ἐπίλοιπα, ἤγουν τὰ ἔμπροσθεν. Gr. Cant.

8. καὶ om. I.

15. δεῦρ' ἀεί] Mire γρ. (γράφεται plene B.) δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς B. M.: nam hoc ipsum in B.M. ceterisque codicibus omnibus legitur.

ib. ἀντὶ] δεῦρο ἀεὶ ἀντὶ B.

ib. ἀντὶ τοῦ om. A.

ib. τοῦ νῦν, ἕως τούτου] τοῦ δεῦρο καὶ ἕως τούτου B. τούτου καὶ ἕως τούτου (εὐτυχεῖς add. A.) A.M. "τὸ ἀεὶ ἀντὶ τοῦ ἕως, ἤγουν ἕως γὰρ τοῦ δεῦρο εὐτυχεῖς Gr. quorum ultima ἕως γάρ etc. e Cant. petita, et cum verbis μὴ περ. π. quae in Gu. sunt in paraphrasin contulit King. Priora τὸ ἀεὶ ἀ. τοῦ ἕως sunt etiam in Mosq." MATTH.

ib. ἐπειδὴ A.B.C.M. ἐπειδὴ δὲ I.

16. εἰ] ἐπεὶ Matth. εἰ om. A.

ib. πράσσεις] πράσσω C.

ib. εἶπεν—εἶπας om. C.M.

ib. εἶπεν ὅτι—εἶπας] εἶπερ δ'—εἶπες A.

ib. εἰς ὑποψίαν gl. etiam in M.

21. μαθεῖν (ante τοὺς σοὺς) om. Cant.

ἤγουν εἰ εὐτυχῶ εἰς τὸ μετὰ ταῦτα, ὅσον τὸ κατ' ἐκείνους. λέγει δὲ τοῦτο ὑπόνοιαν ἔχουσα μὴ δέδοκταί σφισι πολεμεῖν πρὸς ἀλλήλους. ἀξιοῖ οὖν μαθεῖν ὄντινα σκοπὸν ἔχουσιν. Gu. πράσσω: ἀντὶ τοῦ πράξω. M.

1213. μέθες μ'· ἔρημος παῖς: ἀντὶ τοῦ ἐμοῦ ἔρημος καὶ χωρίς ἐστιν ὁ σὸς παῖς. A.B.M. ἔασόν με ἀπελθεῖν· ἐρημός ἐστιν ὁ παῖς σου ὑπασπιστοῦ, ἤγουν μεμονωμένος. Gr. Cant. ὑπασπιστοῦ: ἀντὶ τοῦ ἀσπιδηφόρου. B.M.I.

1214. κεύθεις: κρύπτεις. M. Gr. Cant. στέγεις: φέρεις. Gr. Cant. φυλάττεις, ἐκ μεταφορᾶς τῆς στέγης. Gu. στέγω οὐ μόνον τὸ ὑπομένω, ἀλλὰ καὶ τὸ φέρω, ὡς ἐνταῦθα. Fl. 21. ὑπὸ σκότῳ: ὑπὸ ἀφανείᾳ. Gr. Cant. κρυφίως. Gu. τῇ κρυφιότητι. Fl. 59. καλύπτεις ἐν ἀφανείᾳ. A.B.M.I.

1215. οὐκ ἄν γε λέξαιμ': πρὸς οἷς ἔλεξα ἀγαθοῖς οὐκ ἂν ἀγγείλαιμι τὰ κακά. A.B.M.I. ἤγουν ἀγαθὰ εἰπὼν οὐκ ἔχω προσθεῖναι κακά. Gu. Bar. οὐκ ἔστι δυνατὸν ἵνα εἴπω ἐφ' οἷς ἤκουσας ἀγαθοῖς κακά. Gr. Bar.

1216. εἰ μή με φεύγων: λέξεις δηλονότι. I. εἰ μὴ ἄρα φεύγων με ἐκφύγῃς εἰς τὸν αἰθέρα. M. λέξεις, ἐάν γε μὴ φεύγων ἐκφύγῃς, ἤγουν τὴν φυγὴν ἀνύσῃς πρὸς αἰθέρα. Gr. Cant.

1217.—1224. τί μ' οὐκ εἴασας: διὰ τί μετὰ τὴν εὐάγγελον ἀγγελίαν οὐκ ἀφῆκας ἐμὲ ἀπελθεῖν, ἀλλ' ἀναγκάζεις μηνῦσαι τὰ κακά; τὼ παῖδε τὼ σὼ φροντίζουσι τολμᾶν, λέγω, ἀπρεπέστατα τολμήματα, μονομαχεῖν ἰδίᾳ παντὸς τοῦ στρατοῦ, λέξαντες εἰς μέσον τῶν Ἀργείων καὶ Καδμείων λόγον τοιοῦτον, ὁποῖον μὴ ὤφελον εἰπεῖν. ὁ Ἐτεοκλῆς δὲ ἤρξατο τοῦ λόγου ἀφ' ὑψηλοῦ πύργου στὰς, κελεύσας τοῖς κήρυξι σιγὴν κηρῦξαι τῷ λαῷ. I.

1223. ὑπῆρξ' ἀπ' ὀρθίου: ὑψηλοῦ τείχους. M. προήρξατο,

5. ἀντὶ τοῦ—σὸς παῖς A.M. ἔρημος καὶ χωρίς ἐστιν (μεμονωμένος ἐστὶ I.) ἐμοῦ τοῦ ὑπασπιστοῦ ὁ σὸς παῖς B.I.

6. ἐστιν ὁ σὸς A. ἔστι σὸς παῖς B. M.

7. ἀντὶ τοῦ om. M.

13. καλύπτεις] καὶ καλύπτεις B.I. In M. κρύπτεισε ἡ ἀφανία.

14. ἀγγείλαιμι] παραγγείλαιμι I.

17. κακά om. Gr.

25. εἰπεῖν] Omisi, quod King. praeterea dedit ex Bar. habet etiam Gr. λόγον τοιοῦτον οἷον μήποτε ὤφελον ἐκεῖνοι δηλονότιε ἰπεῖν. MATTH.

κατήρξατο· ἀπὸ ὀρθίου δὲ ἀφ' ὑψηλοῦ· ἀρχηγὸς ἐγένετο κελεύσας κηρῦξαι στρατηλάταις. A.B.C.M.

1224. σῖγα: ἔχειν, ἤγουν σιγᾶν. Gr. ἐπίρρημα. B.M.

1225. ὦ γῆς Ἑλλάδος: Ὁμηρικῶς ἤρξατο· "κέκλυτέ μευ Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί." οὗτος δὲ ὁ στίχος ἐν πολλοῖς ἀντιγράφοις οὐ φέρεται. A.B.C.M.I. ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετέβη. λείπει οὖν τῷ λόγῳ τὸ ταῦτα λέγων. A.B.C.M. τῶν ἀπὸ τῆς γῆς τῆς Ἑλλάδος στρατηγοί. Gr. Cant.

1226. Δαναῶν τ' ἀριστεῖς: ἐπ' ἀνδραγαθίαις λάμψαντες. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἐνθάδε: δεῦρο. Gr. Cant.

1227. Κάδμου τε λαός: καὶ ὦ Καδμεῖοι. Gr. Cant.

1228. ψυχὰς ἀπεμπολᾶτε: τὴν ζωὴν ὑμῶν προδίδοτε. I. ἐκποιεῖτε. ἀπεμπολᾶν δὲ κυρίως ἐστὶ τὸ πιπράσκειν. Ἄλλως. εἰς κίνδυνον ἐκδίδοτε· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν τῇ θαλάσσῃ κινδυνευόντων διὰ τὸ κέρδος. A.B.C.M.I.

ψυχὰς ἀπεμπολᾶτε: ἐπειδὴ μισθοῦ χάριν οἱ στρατιῶται στρατεύονται καὶ τὰς ψυχὰς προΐασι, διὰ τοῦτο τὰς ψυχὰς ἀπεμπολᾶτε

1. κατήρξατο om. M.

ib. ἀπὸ et ἀφ' om. A.C.M.

2. στρατηλάταις om. A. (in lacuna) B.M. στρατηλᾶ C.

4. ὦ γῆς Ἑλλάδος] δαναῶν lemma in A.C.

ib. Ὁμηρικῶς] δὲ addit B. qui lemma om. et scholion hoc infra post ταῦτα λέγων ponit. ὅμηρος C. qui ipse quoque haec post λέγων habet.

ib. κέκλυτέ μευ (κέκλητέ με C.)—] Il. 3, 86.

5. Τρῶες] καὶ δάρδανοι addit C.

7. τῷ λόγῳ τὸ A.B.M. τῷ λαῷ ταῦτα C. Haec qui scripsit non legit versum 1225. ἔλεξε δ', ὦ γῆς Ἑλλάδος στρατηλάται. Ex yuo colligi potest verba οὗτος δὲ—οὐ φέρεται ante λείπει οὖν collocanda esse. Quam collocationem etiam οὖν particula commendat.

ib. λέγων] Pergit M. οὕτως δὲ οὐ φαίνεται τοῖς πολλοῖς ἀντιγράφοις. (Sequentia ex scholio v. 1207.) ἀλλ' εἰς τὴν ἀρχὴν τοῦ λόγου ἀνάδραμε καὶ διήγησαι τί μέλλουσι δρᾶσαι. ἡ γοῦν ἐπι...αις ... .. δαναῶν ἀριστεῖς. ὅμηρος ἤρξατο κέκλυτέ μευ τρῶες καὶ εὐκνήμιδες ἀχαιοί. Verba οὕτως — ἀντιγράφοις cum iisdem scripturae vitiis in A. C.

ib. τῶν ἀπὸ—] Quae dehinc tanquam e Cant. petita adscripsi, King. cum iis quae editiones scholiorum praebebant, in unam paraphrasin conjunxit. MATTH.

12. ἐκποιεῖτε om. I.

13. δὲ et ἐστὶ om. I., ἐστὶ ante κυρίως ponunt B.C.

14. ἐκδίδοτε] ἐνδίδοτε I.

ib. δὲ om. B.C.I. In A. est ἐκ μεταφορᾶς.

ib. ἀπὸ τῶν—κέρδος] ἀπὸ τῶν κινδυνευόντων ἐν θαλάσσῃ κέρδους χάριν B.I. κινδυνευόντων ante ἐν τῇ (τῇ om. A.) θαλάσσῃ etiam A.C.

εἶπεν. Gu. Bar. *μήθ' ἡμῶν ὕπερ*: *μήτε ὑπὲρ ἐμοῦ, ἤγουν ἕνεκα ἐμοῦ*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1229. *μεθείς*: *ἐκβαλὼν τὸν θάνατον μόνος συγκροτήσω τῷ ἀδελφῷ μου μάχην*. I. *μεθείς*: *παύσας, ἐκβαλὼν τὸν κοινὸν κίνδυνον ὑμῶν καὶ τὸν πόλεμον*. A.B.C.M.I. *πάντας ἐκβαλὼν τοῦ κοινοῦ κινδύνου καὶ πολέμου*. Gu. *τὸ μάχεσθαι ἀμφότερα τὰ στρατεύματα*. Gu. *τὸ φονεύεσθαι ἡμᾶς*. Fl. 59.

1232. *ἡσσώμενος*: *ἀντὶ τοῦ ἡττηθείς*. Gr. Cant. *τῷδε παραδώσω πόλιν*: *παραδοῦναι παρασκευάσω πόλιν*. B.M. *ἄδειαν δώσω τῷδε κατέχειν τὴν πόλιν*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1233. *ἀγῶνα*: *τὸν τοῦ πολέμου*. Gr. Cant.

1234. *νείσεσθε*: *ἐπανέρχεσθε*. M. *πορεύεσθε, ἀπελεύσεσθε*. Gr.

1235. *σπαρτῶν τε*: *καὶ ὁ τῶν Θηβαίων ὄχλος ἀποθανὼν αὐτάρκης*. A.B.M.I. *ὁ γὰρ τῶν Θηβαίων ὄχλος ἀπέθανεν αὐτάρκως*. C. *ἅλις*: *ἀρκούντως ἔχει*. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1237. *ἐκ τάξεων*: *ἐκ τῶν ταγμάτων ὥρμησε καὶ συνῄνεσε τοὺς λόγους. καὶ οἱ Ἀργεῖοι πάντες ἐπευφήμησαν ἃ ὁ Ἐτεοκλῆς εἶπε, καὶ οἱ Καδμεῖοι, ὡς δίκαιον τόδε νομίζοντες. ἐπὶ τούτοις ἐφιλιώθησαν, καὶ ἀπὸ τῶν δύο μερῶν ὅρκους ὤμοσαν ἐμμένειν τοῖς ὅρκοις τοὺς στρατηγούς*. I.

1238. *ἐπερρόθησαν*: *ἐπεβόησαν*. B. *ἀντὶ τοῦ ἐπὶ τούτοις ἤχησαν, (ἀπὸ μεταφορᾶς τοῦ ἤχου τῶν κυμάτων) ὡς δίκαια τάδε ἡγούμενοι, ἤγουν νομίζοντες*. Gr. Cant. Florr.

1240. *ἐπὶ τοῖσδε*: *τοῖς λόγοις*. Gu. *τοῖς ὁμολογουμένοις*. Fl. 33. *ἐπὶ τοῖσδε δ' ἐσπείσαντο*: *ἐπὶ τοῖς ὡμολογημένοις συνθήκας*

3. *μεθείς*] *μεθεὶς δὲ* B. In M. est *ἄλλως. ἐκβαλὼν τὸν κοινὸν πόλεμον ὑμῶν καὶ τὸν κίνδυνον*. In A. *ἐκβαλὼν τὸν κοινὸν κίνδυνον ἡμῶν καὶ τὸν πόλεμον*:— "King. in paraphr. dedit: *ἐγὼ γὰρ αὐτὸς ἐκβαλὼν κίνδυνον ὑμῶν, μόνος συγκρ.* alterum omisit. In Gr. *ἐκβαλών* suprascriptum v. *μεθείς*, et in Gu. *ἀφείς*." MATTH.

4. *κοινόν*] *δεινὸν* C., om. B.I.

5. *ὑμῶν*] *ἡμῶν* C.

9. *παραδοῦναι*] *δοῦναι* B.

ib. *πόλιν* om. M.

12. In editis erat tantum *πορεύεσθε*. Utrumque inter scholia dedit King. sed rectius *πορεύσεσθε*. In Gu. syllabae *ε* suprascriptum est *σε* i. e. *πορεύσεσθε*. MATTH.

14. *Θηβαίων*] *ἀθηναίων* A.

23. *ἀπὸ — κυμάτων* addita ex Mosq.

ib. *ἡγούμενοι, ἤγουν* om. Cant. et Florr.

26. *τοῖς ὡμολογημένοις συνθήκας* B.

ἐποιήσαντο, εἰς φιλίαν συνῆλθον, σπονδὰς ἐποίησαν ἀμφότερα τὰ στρατεύματα. B.M.

κὰν μεταιχμίοις: ἐν τῷ μέσῳ μέρει τῶν στρατευμάτων. μεταίχμιον γὰρ λέγεται ὁ τόπος ὁ μεταξὺ τῶν δύο στρατευμάτων. ἐπὶ τούτοις τοῖς ὁμιλήμασιν ἐν τοῖς μεταιχμίοις συναχθέντες ἐπεσπείσαντο ἐμμένειν αὐτοῖς οἱ στρατηγοί. ἔνιοι δὲ γράφουσι στρατηλάταις μετὰ τοῦ ι, ἵνα τοὺς ἄλλους βασιλεῖς καὶ τὰ στρατεύματα ἀκούσωσιν ἐμμένειν τοῖς ῥηθεῖσιν ὑπ' ἀμφοτέρων A.B.C.M.I. ἤγουν ἐν τῷ μεταξὺ τόπῳ τῶν παρατάξεων. Gr. Cant. Fl. 3. 6. 9. 21. 56. 59. 76.

1241. ὅρκους συνῆψαν: τὰ πρὸς τοὺς ὅρκους ἐπιτήδεια συνέμιξαν Θηβαῖοι καὶ Ἀργεῖοι. τουτέστι τὸν οἶνον καὶ τὸ αἷμα τῶν ἱερείων. B.C.M.I.

1242. ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις: ὡπλίζοντο. M. ἀντὶ τοῦ καθώπλιζον B. ἐξ ἐκείνου τὸ σῶμα καθώπλιζον. I. ἐξ ἐκείνου δὲ ἔκρυπτον τὸ σῶμα, ἀντὶ τοῦ τὰ σώματα, ὅπλοις χαλκοῖς. Gr. Florr. περιφραστικῶς, ἀντὶ τοῦ ὡπλίζοντο. Gr. Cant. Florr.

1243. νεανίαι: ἀντὶ τοῦ οἱ δύο παῖδες. καθὸ λέγεται ἡ κόρη τοῦ δεῖνος, ἀντὶ τοῦ ἡ θυγάτηρ, οὕτω καὶ οἱ νεανίαι. Gr. Cant.

1244. ἐκόσμουν: ὥπλιζον αὐτούς. Gr. πρόμον: πρόμαχον. C. ἤγουν τὸν Ἐτεοκλῆν. B.C.

1245. ἄκροι: προὔχοντες, ἔνδοξοι. Gr. οἱ ἔκκριτοι, ἔξοχοι. Gu. ἔξοχοι. B.

τοῖς ὁμολογουμένοις συνθήκην M. Verba συνθήκας—στρατεύματα sunt etiam in Gu.

1. ἐποιήσαντο] ἐποίησαν B. reliquis omissis.

ib. συνῆλθον] ἦλθον Gu.

3. ἐν τῷ—στρατευμάτων et proximum γὰρ om. A.B.C.I.

4. ὁ τόπος ὁ] τὸ περιὸν A.

ib. μεταξὺ] μετὰ M.

5. τούτοις τοῖς ὁμιλήμασιν] τούτοις ὁμιλήσασιν (sic) C.

ib. συναχθέντες] συνελθόντες A.B.I.

ib. ἐπεσπείσαντο om. A. in lacuna.

6. ἐμμένειν] Immo ἐμμενεῖν hic et l. 8.

ib. ἔνιοι—μετὰ τοῦ ι om. I.

ib. δὲ addidi ex A.

7. ἵνα τοὺς] ἢ τοὺς I.

ib. τὰ om. B.C.

8. ἀκούσωσιν] νοοῦσιν I.

11. τὰ] οἷον τὰ C.I. "Gr. et Fl. 5. 6. 9. 21. 56. 59. 76. τὰ πρὸς τοὺς ὅ. ἐπιτ. συνάψαντες ὅρκους ἐποίησαν, ὥστε ἐμμένειν αὐτοῖς τοὺς στρατηλάτας." MATTH.

ib. τοὺς om. C.

12. Θηβαῖοι καὶ Ἀργεῖοι] θηβαίων καὶ ἀργείων A.C.M.

ib. τὸν οἶνον καὶ τὸ αἷμα] τὸ αἷμα καὶ τὸν οἶνον M.

19. οὕτω καὶ οἱ νεανίαι om. Cant.

1246. ἔσταν δὲ λαμπρώ: ἔστησαν δὲ φαιδροὶ καὶ οὐκ ἠλλοίωσαν τὴν ὄψιν. I. ἔστησιν. Gr. ἐστάθησαν. Gu. λαμπρώ: χαροποί. Florr. φαιδροί. Gu. χρῶμά τ' οὐκ ἠλλαξάτην: οὐκ ἠλλοίωσαν. Gr. ἐδειλίασαν. Gu.

1247. μαργῶντε: μανικῶς ὁρμῶντες πέμψειν κατ' ἀλλήλων τὸ δόρυ. I. ἐπιθυμοῦντες, μαινόμενοι. B.M. Gu.

1248. παρεξιόντες: παρεκβαίνοντες. B.M. Gr. Cant. χωριζόμενοι ἀπὸ τοῦ πλήθους. Gr. Cant. ἄλλος τῶν φίλων, ἤγουν ἀπὸ τῶν φίλων, ἀπ' ἄλλου μέρους, διὰ λόγων εἰς θάρρος, ἤγουν εἰς ἀνδρείαν, ἐμβάλλοντες πρὸς αὐτοὺς ἔλεγον. Gr. I.

1250. ἐν σοὶ Ζηνός: ἐν σοὶ τρόπαιον στῆσαί ἐστιν ἡμῖν ἐλπὶς, τῷ τε Ἄργει εὐκλεῆ ἀπαγγελίαν δοῦναι. ἢ ἀντὶ τοῦ εὐκλείας λόγον καὶ φήμην καταλεῖψαι τῇ πατρίδι. A.B.C.M.I. Ἄλλως. ἐν σοὶ κεῖται ἀνορθῶσαι τὸ εἴδωλον τὸ νικητήριον· οἱ γὰρ νικῶντες εἴδωλον ἵστασαν τοῦ Διός. B.I. στῆσαι τὸ ἄγαλμα. M. Ζηνὸς βρέτας: τὸ εἴδωλον τοῦ Διὸς, ἢ αὐτὸς ὁ Ζεύς. C.

1251. τρόπαιον: εἰώθασιν οἱ παλαιοὶ, ὅτε ἐνίκων, τρόπαιον ἀνιστᾶν θεοῦ τινὸς εἴδωλον, καλοῦντες τοῦτον σωτήριον. Gu. Bar.

1252. Ἐτεοκλέα: παρεθάρσυνον πάλιν οἱ φίλοι. M. ἀπὸ κοινοῦ τὸ ἐθάρσυνόν τε καὶ ἔλεγον. B.M.I. Ἐτεοκλέα δ' αὖ: πρὸς Ἐτεοκλέα ἔλεγον. Gr. Cant.

1253. κρατεῖς: κρατήσεις ἔδει εἰπεῖν· νῦν δὲ κρατεῖς εἶπε, τὴν μέλλουσαν νίκην ὡς ἐνεστῶσαν θείς· ἔθος γὰρ τοῖς ἐπιθυμοῦσιν ἰδεῖν τι, εἰ καὶ μήπω ἐκεῖνο συνέβη, ὡς παρὸν λέγειν. Gu. Bar.

1255. ἐμπύρους τ' ἀκμάς: τὴν βολὴν τοῦ πυρός. B.M. τὰς

4. ὁρμῶντες—δόρυ] ὁρμῶντες κατ' ἀλλήλων ἀφιέναι:— Gr.

7. ἄλλος Gr. ἄλλος δὲ I.

ib. ἤγουν ἀπὸ τῶν φ. et ἤγουν εἰς ἀνδρείαν e Gr. et Florr. 5. 6 9. 21. 56. 59. 76. interjeci; ex iisdem dedi ἐμβάλλ. πρὸς αὐτ. ἔλ. pro προβάλλοντες προσηνιδων ταῦτα. Iidem etiam θάρσος. MATTH. θάρρος Gr. qui εἰς θάρρος ἐμβάλλοντες εἰς ἀνδρείαν.

11. ἢ ἀντὶ τοῦ (τῆς C.) εὐκλείας λόγον C.M. ἢ εὔκλειαν λόγον A.B.I. In Gr. καὶ δοῦναι τῷ Ἄργει εὐκλεᾶ λόγον, ἀντὶ τοῦ φήμην, ἣν ἄλλοι δηλονότι φημίσουσιν ἐπὶ τῷ Ἄργει.

12. καὶ φήμην] καὶ om. A.

ib. τῇ πατρίδι] τῆς πατρίδος B.I.

ib. Ἄλλως—νικητήριον] στῆσαι τὸ ἄγαλμα νικητήριον B. νικητήριον gl. in M.

16. In Gu. σημεῖον, εἴδωλον. εἰώθασι γὰρ ὅτε ἐνίκων—τοῦτο σωτήριον:—

17. τοῦτον] τοῦτο Gu.

18. ἀπὸ κοινοῦ] Ex v. 1249. ubi in B. γρ. λόγοισι θαρσύνοντ' κἄλεγ', i. e. λόγοις ἐθάρσυνόν τε κἄλεγον.

22. κρατεῖς et θείς om. Bar.

τῆς φλογὸς ἀναδόσεις, καὶ τὰ φῶτα τὰ ἐκ τῶν ἐμπύρων ἀναφερόμενα, ἀφ' ὧν σημειοῦνται οἱ μάντεις. ἀκμὰς δὲ τὰς ἀναδόσεις, ἐπεὶ βιαιότατόν ἐστι τὸ πῦρ. A.B.C.I. ἢ τὰς ὀξύτητας τὰς ἐμπύρους, ἤτοι τοὺς ὀβελίσκους τοὺς πεπυρακτωμένους· καὶ γὰρ τῷ πυρὶ ἔθος ἐστὶν ἄνωθεν ἐπιφέρεσθαι, τῷ δὲ ὕδατι κάτω ἐπιφέρεσθαι. C. καὶ τὰς ὀξύτητας τοῦ πυρὸς, τὰς ἐκ τῶν ὁλοκαυτωμάτων ἀναφερομένας, ἀφ' ὧν ἐσημειοῦντο οἱ μάντεις, ἐσκόπουν. Gr. Bar. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1256. ῥήξεις τ' ἐνώμων: τὰς τῆς χολῆς ῥήξεις ἐπεσκόπουν τὴν ὄψιν μεταφέροντες. τηροῦσι γὰρ οἱ μάντεις τὰς χολὰς πῶς τὴν ὑγρότητα ἀκοντίζουσι. Ἄλλως. ῥήξεις τ' ἐνώμων: τῆς κύστεως τὸ στόμα ἐρίῳ δεσμοῦντες ἐπετίθεσαν τῷ πυρὶ, καὶ παρετήρουν πῶς ῥαγήσεται καὶ ποῦ τὸ οὖρον ἀκοντίσει. Σοφοκλῆς ἐν Μάντεσι "τὰς μαλλοδέτους κύστεις." A.B.C.M.I.

ὑγρότητ' ἐναντίαν: τὴν περὶ τῶν ἐναντίων δηλοῦσαν, τὴν ἐπὶ τῶν ἐναντίων καὶ ἐχθρῶν ἀεὶ ταρασσομένην. οἱ γὰρ θύται εἰ περὶ τῶν ἐχθρῶν βουληθεῖεν μαντεύεσθαι, εἰς τὴν χολὴν ἀφορῶσι· πικροὶ γὰρ οἱ ἐχθροί. ὑγρότητα δὲ λέγει αὐτὴν τὴν χολήν. A.B.C.M.I.

1. τῆς φλογὸς B. τοῦ πυρὸς I. In C. τὰς ἀναδόσεις τῆς φλογὸς τὰ ἄκρα. Ἄλλως. τὰς τῆς φλογὸς ἀναδόσεις, καὶ τὰ φῶτα ἐκ τῶν ἐμπύρων ἀναδιδόμενα, ἀφ' ὧν σημειοῦνται οἱ μάντεις etc. Sic etiam A. nisi quod τὰ φῶτα τὰ ἐκ et ἀναφερόμενα.

4. ὀβελίσκους Valck. pro βελίσκους.

6. ὁλοκαυτωμάτων Gr. et Florr., et post ἀναφερομένας subjiciunt: ἀφ' ὧν ἐσημειοῦντο οἱ μάντεις, ἐσκόπουν. MATTH. ὁλοκαυμάτων libri ceteri forma inaudita.

7. ἀφ' ὧν—ἐσκόπουν om. Bar.

10. πῶς—ἀκοντίζουσι om. I.

13. ἀκοντίσει] ἀκοντίζει I.

ib. Σοφοκλῆς] Fragm. 462 c.

14. μαλλοδέτους Valck. μαλλοδετεῖς B.I. μαλλοδέτας A.M. μελοδέτας C. "Nec μαλλοδετεῖς, neque μελοδέτας, Sophocles, sed dixisse videtur τὰς μαλλοδέτους κύστεις, *vesicas lana revinctas*: in talibus a communi norma non discedit: Sophoclea sunt χρυσόδετος et αἰχμόδετος· ad his diversum, ἱπποδέτην ῥυτῆρα *lorum* vocat *equis vinciendis* destinatum Aj. v. 241." VALCK.

15. ὑγρότητ'] τοῦ ὑγρο cum compendio C.

ib. τὴν A.B.C.M. τὰ I.

ib. περὶ τῶν ἐναντίων] παρὰ τὴν ἐναντίαν C.

16. καὶ ἐχθρῶν] καὶ om. M.I.

ib. ταρασσομένην] παραταττομένην C.

ib. θύται] θῦται A.M.

ib. εἰ περὶ B.M. εἴ που C. περὶ I., εἰ post τῶν ἐχθρῶν posito.

17. εἰς τὴν A.C.M. ἔχοντες B.I.

18. λέγει] λέγουσιν B.M. λεγ C. in fine lineae.

ib. χολήν] ἢ ἐναντίαν (ἐναντίως C.) ὡς (ὡς om. C.) πρὸς τὸ πῦρ· ξηρὸν γὰρ τοῦτο addunt C.M. ἢ ἐναντίον ὡς πρὸς τὸ πῦρ. ξηρὸν γὰρ τοῦτο A.

Ἄλλως. τὴν τὰ περὶ τῶν ἐναντίων δηλοῦσαν, ἢ διὰ τὸ πικρὰν οὖσαν καλεῖσθαι γλυκεῖαν, ἢ ἐναντίαν, ὡς πρὸς τὸ πῦρ· ξηρὸν γὰρ τὸ πῦρ. τὸ δὲ ἑξῆς, μάντεις τὰ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς ἐνώμων, (κατὰ κοινοῦ γὰρ τὸ ἐνώμων) ἄκραν τε λαμπάδα ἐνώμων. A.B.C.M.I.

ὑγρότητ' ἐναντίαν: σφάζοντες οἱ μάντεις πρόβατον, ὁπότε τινὰ ὄλεθρον ἢ νίκην τῶν αὐτῶν στρατευμάτων ἐβούλοντο σημειώσασθαι, τέμνοντες τοῦτο, τὸν μὲν μηρὸν περιειλοῦντες πιμελῇ ἐπὶ πῦρ ἐπετίθουν. καὶ εἰ μὲν ἐξήφθη τὸ πῦρ, νικᾶν ἔλεγον, μὴ τούτου δὲ γενομένου, νικᾶσθαι. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὴν κύστιν μεστὴν οὔρου ἐν τῷ στόματι ἐρίῳ δεσμοῦντες ἐπετίθουν τῷ πυρὶ, καὶ ἐπετήρουν πῶς ῥαγήσεται, καὶ ποῦ ἀκοντίσει τὸ οὖρον. καὶ εἰ μὲν εἰς αὐτοὺς, νικητὰς ἑαυτοὺς ἐκάλουν, εἰ δὲ εἰς τοὺς ἐναντίους, καταβολὴν ἑαυτῶν ἐμαντεύοντο. τὴν οὖν ἀκόντισιν τοῦ οὔρου ἐναντίαν ὑγρότητα λέγει. ἐπετήρουν δὲ ἁπλῶς καὶ τὸ ἄκρον τοῦ πυρὸς, τὴν μὲν ἔξαψιν τούτου νίκην, τὴν δὲ εἰς τοὐναντίον ὁρμὴν ἀπώλειαν καὶ φθορὰν σφῶν αὐτῶν λογιζόμενοι. τὸ δὲ ἐνώμων κατὰ συνεκδοχὴν εἰς τὰ τρία λάμβανε, εἴς τε τὸ ἀκμὰς, καὶ εἰς τὰς ῥήξεις, καὶ εἰς τὸ ἄκραν. Gu. Bar.

1257. ἄκραν τε λαμπάδα: τουτέστι τὸ ἄκρον τοῦ πυρὸς ἐσκόπουν, ὃ καλεῖται κέρκος. οἱ δὲ τὴν καρδίαν, διὰ τὸ εἶναι πυρώδη καὶ θερμήν. Ἄλλως. τὴν οὐρὰν τοῦ ἱερείου· ἣν γὰρ καὶ δι' αὐτῆς μαν-

1. Ἄλλως addidi ex A.M.
ib. τὰ περὶ] τὰ om. A.B.C.
ib. περὶ] παρὰ C.
ib. ἢ διὰ τὸ—ξηρὸν γὰρ τὸ πῦρ om. A.C.M.
3. τὸ δὲ] δὲ om. A.
ib. τὰ] τὲ B.C.
4. κατὰ] ὑγρότητ' ἐναντίαν ἐνώμων praefixum in A.
ib. κατὰ κοινοῦ] γίνεται M.
ib. κοινοῦ om. C.
6. οἱ μάντεις om. Gu. tum habet εἰλοῦντες πιμελῇ εἰς πῦρ ἀνετίθουν. Bar. περιειλ. πιμελῆς ἐπεὶ πῦρ ἐπετ. ἐπὶ corr. King. MATTH.
8. πιμελῇ ἐπὶ] πιμελῆς ἐπεὶ Bar.
20. τουτέστι om. I.
ib. ἐσκόπευν post τοῦ πυρός A.C.M., post κέρκος B.I.
22. τὴν οὐρὰν—] Hoc scholion habent etiam Leid. Gr. Florr. 5. 6. 9. 21. 56. 59. 76. Gr. et Florr. τὴν οὐ. τ. ἱ. ἥν, φασὶν, ἐπὶ τοῦ πυρὸς ἐτίθουν· κἂν μὲν ἐκάμπτετο, δυσχ. αὐτοῖς ἐδήλου τοῦ πολ. hoc recepi pro σημαίνει δυσχ. πολ. melius Valck. etiam visum. Mox κάτω νεύουσα Leid. Florr. κ. νεύουσαν C. Gr. κατανεύουσα I. Verba οἱ δὲ ἄκρ. λαμπ. seqq. desunt in Gr. et Florr. In iis μαντικόν ex C. interjecit Valck. In fine C. haec addit: Ἄλλως. τὴν παρὰ τῶν ἐναντίων δηλοῦσαν. τὸ δὲ ἑξῆς· μάντεις et quae sequuntur supra usque ad ἐνώμων, tum post ἐνώμων, τὸ ἄκρον τῆς λαμπάδος, ἢ δύο πραγμάτων ὅρους—ἧτταν. MATTH.

τεία· καμπτομένη γὰρ ὑπὸ τοῦ πυρὸς δυσχέρειαν ἐδήλου τοῦ πολέμου, ἁπλουμένη δὲ καὶ κάτω νεύουσα ἧτταν, ἀνατεινομένη δὲ εἰς ὕψος νίκην. οἱ δὲ ἄκραν λαμπάδα τὴν χολὴν λέγουσι τὴν ἐν τῷ ἥπατι. σημεῖον γάρ ἐστι μαντικὸν καὶ ἥττης καὶ νίκης. A.B.C.M.I. ἢ δυοῖν: ἢ δύο πραγμάτων ὅρους ἔχει· εἰ μὲν ὀξὺ τὸ πῦρ ἔρχεται, νίκην δηλοῖ, εἰ δ' εἰς πλατὺ, ἧτταν. C. δυοῖν ὅρους: πραγμάτων ὁρισμοὺς, δηλώσεις. Gr. Fl. 5. 6.9. 21. 56. 59. 76. δύο πραγμάτων γνωρίσματα. Gu.

1258. καὶ τὰ τῶν ἡσσωμένων: ἐνήλλαξε τὸ σχῆμα· εἰ γὰρ πρὸς τὸ σημεῖον ἀπεδίδου, κατὰ γενικὴν ἂν καὶ τοῦτο προὔφερεν. ὁ δὲ, ἀφεὶς τὴν ἀπόδοσιν ταύτην, καὶ τὰ τῶν ἡττωμένων, φησὶν, ἔχει, ὃ ταυτὸ δύναται τῷ καὶ τῶν ἡττωμένων ἔχει σημεῖον. Gr. Florr.

1259. σοφούς: μαγικούς. B.C.M.I. ἐπιτηδείους, ἐπαγωγούς. Gr. πιθανούς. Gu.

1260. ἢ φίλτρ' ἐπῳδῶν: τὰς ἐπικλήσεις κώλυσον. M. ἐπικλήσεις. B. τῶν ἐπᾳδόντων ἀνδρῶν ἢ ἐπᾳδουσῶν, εἰ δύνασαι εἰς φιλίαν αὐτοὺς ἀγαγεῖν, σπεῦσον· κυρίως γὰρ ἐπῳδαὶ λέγονται αἱ διὰ τῶν ἐπικλήσεων γινόμεναι. B.C.M.I.

φίλτρ' ἐπῳδῶν: ἀντὶ τοῦ ἐπῳδὰς φίλτρων. φίλτρον τὸ φιλίαν ἐμποιοῦν, ὥσπερ μίσητρον τὸ ἐμποιοῦν μῖσος, καὶ φόβητρον τὸ φόβου ποιητικὸν, καὶ θέλγητρον τὸ παρακινοῦν εἰς τέρψιν. ἐνταῦθα δὲ φίλτρων ἀντὶ τοῦ φιλίας, ἵν' ᾖ, ἐπῳδὰς φιλίας, τουτέστιν εἰς φιλίαν συνάγειν δυναμένας. Gr. Cant. ἃ οἱ ἐπῳδοὶ ποιοῦσιν, ὁπόταν τινὰς εἰς φιλίαν ἀγαγεῖν θέλωσι, ταῦτα φίλτρα καλοῦσιν, οἱονεὶ θελκτήρια καὶ πρὸς φιλίαν ἐπαγωγάς. Gu.

p. 327. l. 22. ἦν γὰρ καὶ B. ἦν γὰρ καὶ ἡ A.C. ἦν γὰρ I. καὶ γὰρ ἦν M.

ib. δι' αὐτῆς] διατῆς M.

1. δυσχέρειαν ἐδήλου] δυσχέρειαν δηλοῖ A.B. σημαίνει δυσχέρειαν I.

2. ἁπλουμένη] ἁπλωμένη C.M. quasi ἡπλωμένη voluerint.

ib. νεύουσα] νεύουσαν C.

3. νίκην] εἰσφέρει νείκην (sic) C.

ib. λαμπάδα] λαμπάδες C.

4. μαντικὸν om. B.I. μαντικὸν τῆς et τε om. A.

ib. καὶ ἥττης καὶ νίκης (νείκης C.) C.M. νίκης καὶ ἥττης B. τῆς νίκης τε καὶ ἥττης I.

5. ἔχει· εἰ μὲν C., non ἔχει μὲν ut Valck.

6. πλατὺ Valck. pro πλατύν.

16. ἐπᾳδόντων B.C.I. ἐπῳδῶν M.

ib. ἀνδρῶν] ἀνθρώπων B.I.

ib. ἢ ἐπᾳδουσῶν M. ἡ ἐπάδουσα B. C. ἡ ἐπάγουσα I.

ib. εἰ addidi ex M.

ib. δύνασαι M. δύναται B.I. δύνεται C.

17. σπεῦσον—γινόμεναι addidi ex M.

στεῖχ', ἐρήτυσον: ἀπέρχου, κώλυσον ἀπὸ τῆς χαλεπῆς ἔριδος τὰ τέκνα, ἐπεὶ ὁ πόλεμος μέγας ἐστί. I.

1261. ἁμίλλης: φιλονεικίας. B.M.I.

1262. καὶ τἆθλα δεινά: ἆθλα τὰ ἀγωνίσματα. B.M. τὰ δεινὰ ἀγωνίσματα. I. καὶ τὰ ἆθλα ἀμφοτέρων, ἤγουν τὰ ἔπαθλα, τὰ ἐπὶ τῇ νίκῃ γέρα. Gr. Cant. ἔπαθλον γὰρ ἑτέρῳ ἔσται ἡ τοῦ ἑτέρου ἀπώλεια. ὥστε ἔξελθε, μὴ καὶ ἀμφοτέρων στερηθῇς. A.C.M. Cant. Gu. ἆθλα τὰ ἐπὶ τῇ νίκῃ διδόμενα γέρα. λέγει οὖν ὁ ἄγγελος ἐνταῦθα τῇ Ἰοκάστῃ ὅτι, ἐὰν νικήσῃ ἅτερος ἀδελφὸς τὸν ἕτερον καὶ ἀποκτάνῃ, σὺ, ἅτε μήτηρ, ἐπὶ τῇ τοιαύτῃ νίκῃ καὶ τῷ θανάτῳ τοῦ υἱοῦ κλαύσεις πικρῶς. ἢ ἆθλα νοητέον τοὺς ἀγῶνας. εὕρηται γὰρ οὐδετέρως τὸ ἆθλον, ὡς ἔχει καὶ τὸ τοῦ Πινδάρου "εἰ δ' ἄεθλα γαρύεν" καὶ τὰ ἑξῆς. Gu. Bar.

1263. στερείσῃ: ἀντὶ τοῦ εἰ στερηθήσῃ. τὸ γὰρ στερήσῃ ἀντὶ τοῦ στερηθήσῃ. M. ἀντὶ τοῦ στερηθήσῃ σύ. B.

1264. δόμων πάρος: τὸ πάρος ἐπίρρημα παρὰ ποιηταῖς ἐν χρήσει, ἐνίοτε μὲν τοπικὸν, ὡς ἐνταῦθα, ἐνίοτε δὲ χρονικόν. ἀπὸ τούτου τὸ παροίτερον καὶ τὸ παροίτατον. Gr. Cant.

1265. οὐκ ἐν χορείαις: οὐ προχωρεῖ καὶ ἔρχεταί σοι κατάστασις ἐν χορείαις καὶ πανηγύρεσι δαιμόνων, οὐδὲ ἐν παρθενεύμασι καὶ παρθενικαῖς τέρψεσιν, ἤγουν οὐκ εἰς τοῦτό σοι τὰ παρόντα καθέστηκεν, ὡς παρθενεύειν τε καὶ πανηγυρίζειν· τοὺς γὰρ ἀδελφοὺς μέλλοντας μονομαχεῖν κωλῦσαί σε δεῖ μετ' ἐμοῦ ἰοῦσαν. ἢ τὸ κατάστασις ἀντὶ τοῦ οἰκονομία, ἵν' ᾖ οὕτως· ἡ οἰκονομία τῶν θεῶν οὐκ ἐν πανηγύρεσι καὶ τέρψεσιν ἐστί σοι νῦν. Gu. Bar. παρθενεύμασιν: ὥσπερ θαλαττεύειν τὸ ἐν θαλάττῃ διάγειν, οὕτω καὶ παρθενεύειν τὸ ἐν παρθενίᾳ διάγειν. ἐνταῦθα δὲ τὰ παρθενεύματα οὐ τὴν ἐν παρθενίᾳ διαγωγὴν δηλοῖ· εἰ γὰρ τοῦτο ἐδήλου, προετρέπετο ἂν ὁ λόγος ἀφίστα-

6. ἑτέρῳ ἔσται] ἔσται τῷ ἑτέρῳ Gu.
7. ὥστε—στερηθῇς om. Cant. Gu. In A. est ὥστε ἐξελθεῖν δεῖ σε καὶ μὴ ἀμφοτέρων στερηθῆναι.
ib. μὴ καὶ—στερηθῇς] καὶ μὴ—στερηθείς C.
8. ὁ ἄγγελος post ἐνταῦθα Bar.
9. ἀποκτάνῃ—κλαύσεις] ἀποκτενεῖ—κλαήσῃ Gu.
11. εὕρηται—ἑξῆς om. Bar.
12. Πινδάρου] Ol. 1, 5.
14. εἰ addidi.
16. τὸ πάρος post ἐπίρρημα Gu.
19. οὐ προχωρεῖ—ἤγουν om. Bar.
26. παρθενεύειν] τὸ παρθενεύειν Cant.
27. τὰ om. Leid.

σθαι αὐτὴν τῶν ἐν παρθενίᾳ διαγωγῶν, ὅπερ ἔξω τοῦ νῦν λόγου καὶ τῆς ὑποθέσεως, ἀλλὰ λαμβάνεται νῦν ταῦτα ἀντὶ τῆς ἁρμοζούσης καταστάσεως, ἐν παρθενίᾳ, ἵν' ᾖ ὁ λόγος οὕτως, ἡ κατάστασις τῆς τύχης οὐ προχωρεῖ σοι νῦν ἐν χορείαις, οὐδὲ ἐν τῇ ἁρμοζούσῃ καταστάσει τῆς παρθενίας. Gr. Cant. Leid.

1266. *νῦν σοι προχωρεῖ δαιμόνων κατάστασις: προβαίνει ἡ τῆς εἱμαρμένης παρουσία.* B.C.M. *κατάστασις ἡ τύχη. ὁ δὲ νοῦς, ἔξελθε τῶν οἴκων. οὐ γὰρ ἐν χορείαις καὶ παρθενῶσιν ἡ παροῦσα τύχη προβαίνει σοι, ὥστε καὶ ὄχλον διελθεῖν αἰδεσθῆναι.* A.B.C.M.I. *Ἄλλως. ἔξελθε ἐκ τῶν οἴκων. οὐ γὰρ ἐν χορείαις καὶ παρθενώνων ἀναστροφαῖς ἡ παροῦσα τύχη συγχωρεῖ μένειν, ὥστε καὶ ὄχλον διελθεῖν αἰδεσθῆναι.* A.C. *δαιμόνων: τῆς τύχης.* Gr. Florr. *τῆς εἱμαρμένης.* Gu. Fl. 33. *κατάστασις: παρρησία, οἰκονομία.* Gu. *παρουσία.* Fl. 33.

1268. *ἐκνεύοντε: ἀντὶ τοῦ ἐκνεύοντας.* M. *ἐκκλίνοντας.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *ὁρμῶντας, ἐκφερομένους.* Gu. *ὁρμήσαντας, ἐκπίπτοντας, ἐκ μεταφορᾶς τῶν κολυμβούντων.* Fl. 33.

1270. *τίν', ὦ τεκοῦσα: ἔκπληξιν τοῖς φίλοις ἀϋτεῖς. ὁ δὲ νοῦς, τίνα, ὦ μῆτερ, καινὴν ἑτέραν συμφορὰν ἐμοὶ τῇ φίλῃ ἀπαγγέλλεις; τὸ γὰρ φίλοις ἀντὶ τοῦ φίλῃ. ἢ φίλοις ἀντὶ τοῦ περὶ φίλων ἡμῖν, Ἐτεοκλέους καὶ Πολυνείκους.* A.B.M.I. *τὸ φίλοις διπλῶς νοητέον· ἢ τοῖς φίλοις, ἤγουν ἐμοὶ τῇ φίλῃ σοι θυγατρί, ἢ τοῖς φίλοις, ἤτοι Ἐτεοκλεῖ καὶ Πολυνείκει, τοῖς ἐμοὶ καὶ σοὶ προσφιλέσιν, ἵν' ᾖ οὕτως, τίνα, ὦ μῆτερ, ἔκπληξιν τοῖς φίλοις, τῷ Ἐτεοκλεῖ λέγω καὶ Πολυνείκει, νέαν καὶ νεωστὶ φανεῖσαν ἀϋτεῖς καὶ βοᾷς, τουτέστι τί νέον λέγεις περὶ τῶν φίλων, ὃ πᾶς τις ἀκούσας*

1. *τῶν—διαγωγῶν*] *τῆς—διαγωγῆς* Cant. Leid.
6. *προβαίνει*] *προφαίνει* C. *ἀντὶ τοῦ προβαίνει* B.
ib. *ἡ τῆς εἱμαρμένης*] *τῆς εἱμαρμένης ἡ* B. *τις ἥτις εἱμαρμένης* C.
7. *κατάστασις ἡ τύχη* B.I. *κατάστασις* om. A.C. *ἡ τύχη λέγεται δαιμόνων κατάστασις* M.
8. *ἔξελθε*] *ἔξιθι* I.
ib. *τῶν* A.C. *ἀπὸ τῶν* B.M.I.
ib. *οἴκων*] *οἰκείων* C.
ib. *οἴκων*] *ὦ τέκνον* add. I.
ib. *χορείαις*] *χοροῖς* I.
9. *προβαίνει σοι* om. A.C.
11. *συγχωρεῖ μένειν* om. A.
17. *κολυμβούντων*] Forma vitiosa pro *κολυμβώντων*.
18. *ἔκπληξιν—ὁ δὲ νοῦς* addidi ex A.M. *ὁ νοῦς* est etiam in. B.
19. *καινὴν* A. *καὶ νῦν* ceteri, excepto fortasse M. in quo verba *τίνα—συμφοράν* nunc legi nequeunt.
21. *ἡμῖν* om. A.

ἐκπλαγήσεται. Gu. *ὦ μῆτερ, ἡ τεκοῦσά με, τίς ἐστιν ἡ καινὴ βοὴ, ἡ ἐκπληκτικὴ, ἣν βοᾷς ἡμῖν τοῖς φίλοις ἱσταμένη ἔμπροσθεν τῶν δωμάτων.* Gr. Cant. *ἔκπληξιν: συμφοράν.* M.

1272. *ἔρρει: φθείρεται.* Gr. Florr. *ἐφθάρη.* M. Gu.

1273. *αἰχμὴν εἰς μίαν: ἀντὶ τοῦ εἰς μονομαχίαν καθεστήκασιν.* B.M.I.

1274. *οἲ 'γώ: ἐπίρρημα στεναγμοῦ.* B.M.I. *τί λέξεις, μῆτερ: δέον εἰπεῖν, τί λέγεις,—εἶπε γὰρ, ὡς πρὸς ἀλλήλους μονομαχήσουσι, καὶ ἡ Ἀντιγόνη οὐκ ἐδεῖτο αὖθις ἀκούειν ἀκούσασα,—ὁ δὲ τί λέξεις εἶπεν, εἰκότως· δείκνυσι γὰρ ἐντεῦθεν τὴν Ἀντιγόνην τῇ τοῦ ἀκούσματος ὑπερβολῇ ἐκπλαγεῖσαν καὶ οὐ παραδεχομένην τοῦτο, ἀλλ' ὥσπερ κωφεύουσαν καὶ οὐ βουλομένην τοιαῦτα περὶ τῶν ἀδελφῶν ἀκούειν. συμβαίνει δὲ καὶ ἡμῖν τὸ τοιοῦτον ὁπόταν τι παρὰ δόξαν ἐξαίφνης ἀκούωμεν.* Gu. Bar. *οὐ φίλ', ἀλλ' ἕπου: οὐ προσφιλῆ, ἀλλ' ἀκολούθει.* I.

1276. *οὐκ ἐν αἰσχύνῃ τὰ σά: νῦν οὐχ ἁρμόζει σοι αἰδεῖσθαι. οὐκ ἔστι καιρὸς αἰσχύνεσθαί σε νῦν.* A.B.C.M. *γράφεται* "*οὐκ ἐν αἰσχύνῃ τάδε.*" *ἤγουν τὰ παρόντα· τουτέστιν αἰσχύνην οὐκ ἔχουσι τὰ παρόντα, ἐκκρούουσι τὴν αἰσχύνην.* Gr. Bar.

1278. *προσπιτνοῦσα: παρακαλοῦσα.* I. *προσπίπτουσα καὶ δεομένη ἐκείνων.* Gu. Florr.

1279. *ἡγοῦ σὺ πρὸς μεταίχμι': ἡγεμόνευε, προηγοῦ, πρὸς τὸν μεταξὺ τῶν παρατάξεων τόπον, ἔνθα δηλονότι ἐγίνετο ἡ μονομαχία.* Gr. Leid. Florr. *πρὸς τὸν τόπον τὸν μεταξὺ τοῦ πολέμου, ἔνθα ἦν τὸ μονομάχιον.* A.B.C.M.I. *οὐ μελλητέον: οὐ κατασχετέον.* B.M. *οὐκ ἄξιον βραδύνειν.* Gr. *χρονιστέον, βραδυτέον.* Gu.

1280. *ἔπειγε: σαυτὴν, ἤγουν ἐπείγου.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *φθάσω: καταλάβω.* Gr. Florr. iidem. *πρὸς τὸν τόπον.* M.

1281. *πρὸ λόγχης: πρὸ τῆς μάχης.* Gr. Florr. iidem. *οὔμὸς*

5. *ἀντὶ τοῦ* om. B.I.
12. *περὶ*] *παρὰ* Gu.
13. *παρὰ δόξαν* Gu. *παράδοξον* Bar.
21. *ἐκείνων* om. Florr. In Gr. *τί δὲ δράσω ἐλθοῦσα, προσπίπτουσα καὶ δεομένη:—*
23. *δηλονότι*] *δὴ* Leid.
25. *μονομάχιον* scripsi pro *μονομάχειον* I. *μονομαχεῖον* A.B.C. *μονομαχεῖν* M. Conf. ad v. 1304.

ἐν φάει βίος: ἤγουν ἡ ἐμὴ ζωὴ ἐν τῷ φωτὶ ἔσται, ἀντὶ τοῦ ζῶσα ἐγὼ ἔσομαι, βλεπομένη. Gr. Bar.

ὁ χορὸς διὰ τεσσάρων· διὰ τὸ καταλλάσσειν τοὺς πάσχοντας, διὰ τὸ παραμυθεῖσθαι τοὺς πάσχοντας, διὰ τὸ ἀναγγέλλειν τοὺς ἐπερχομένους ἐκεῖσε, καὶ διὰ τὸ μὴ καταλείπεσθαι διάκενον τὸ ἀκροατήριον. C.

1284.—1287. αἶ αἶ: φεῦ, φεῦ, ἔντρομον ὀρθίασιν τριχῶν ἔχω, τρομερὰν φρένα, ἤτοι ἔντρομον λογισμὸν, ἔχω, τουτέστιν ἐν φόβῳ εἰμί· διὰ δὲ τῆς ἐμῆς σαρκὸς οἶκτος διὰ τοὺς δύο παῖδας τῆς ἀθλίας μητρός. I.

1285. τρομερὰν φρίκαν: ἀντὶ τοῦ φρίκην τρόμου παραιτίαν. καὶ Πίνδαρος "φρίσσοντας ὄμβρους" τοὺς φρίσσειν ποιοῦντας. Ἄλλως. ἀντὶ τοῦ τρομερὰν φρένα ἔχω τῇ φρίκῃ. τρόμου γεννητικὸν, τρομοποιὸν φόβον. A.B.C.M.I. τρομεράν: ἐπίφοβον. Gu.

φρίκᾳ: φόβῳ. ἔχω: κέκτημαι. Gu.

1286. διὰ σάρκα: ἀντὶ τοῦ διὰ σαρκὸς, ὡς τὸ "διά τ' ἔντεα καὶ μέλαν αἷμα." A.B.M.I.

1287. ἔλεος: ἔλεός με εἰσῆλθε καὶ οἶκτος ὁ περὶ τῆς Ἰοκάστης διὰ τὰ δίδυμα τέκνα, ποῖος ποῖον ἄρα αἱμάξει. A.B.C.I.

ἔλεος ἔμολε: τουτέστιν ἐλεῶ τὴν δειλαίαν μητέρα. Gu. Bar.

1288. δίδυμα τέκεα: διπλᾶ. τοῦτο τινὲς σολοικισμὸν ἡγήσαντο· ἔδει γὰρ εἰπεῖν, διδύμων τεκέων πότερος ἄρα πότερον αἱμά-

1. ἤγουν om. Gr. τῷ om. B.

3. ὁ χορὸς—] Haec annotatio ad finem chori legebatur in C. [folio 93[a]. extremo] ex quo in nota ad v. 1314. (1304. nostr. ed.) emendatam dedit Valck. legebatur enim ἀναγγέλειν et διὰ μὴ καταλιπεσθαι [sic, sine accentu] διάκενον τὸ ἀκρωατήριον. Idem post διὰ τὸ κατ. τοὺς πάσχοντας legendum conjicit, διὰ τὸ κατ. τοὺς διαφερομένους vel simile quid, *dissidentes discordantesque reconciliandi gratia.* MATTH.

11. ἀντὶ τοῦ om. I.

ib. παραιτίαν] παραιτίας C.

12. Πίνδαρος] Pyth. 4, 144. πινδάρου C.

ib. φρίσσοντας] φρίσσον τοὺς C.

ib. φρίσσειν ποιοῦντας] φρίσσοντας M.

ib. Ἄλλως. ἀντὶ—τρομοποιὸν φόβον C.M. τρομεράν (hoc om. B.): τρόμου γεννητικὴν καὶ τρομοποιὸν φόβον. ἄλλως. τῇ φρικὶ (φρίκῃ B.) τρομερὰν ἔχω τὴν φρένα B.I. In A. est ἄλλως. τρομερὰν φρένα ἔχω τῇ φρίκῃ τρομερὰν ἔχω τὴν φρένα A.

16. ἀντὶ τοῦ om. A.

ib. ὡς τὸ] Il. 10, 298.

19. ποῖος—αἱμάξει om. B.I.

21. διπλᾶ om. B.I.

ib. τινὲς] ἔνιοι A.C.

22. τεκέων] τέκνων C.

ib. πότερος ἄρα πότερον M. πότερον

ξει; νῦν δὲ οὐ πρὸς τὸ ῥητὸν ἀπήντησεν, ἀλλὰ πρὸς τὸ νοητὸν, τὸν οἶκτον. A.B.C.M.I.

δίδυμα τέκεα: δέον δὲ εἰπεῖν, ποῖον τῶν διδύμων τεκέων, δίδυμα τέκεα εἶπεν ὀρθόπτωτον. λάβε οὖν τὸ διὰ σάρκα ἐμὴν ἔλεος ἔρχεται τῆς δειλαίας μητρὸς διὰ μέσου, καὶ σύνταξον πρὸς τὸ ἄνω οὕτως, ἐπίφοβον φρένα ἔχω, ποῖος τῶν ἀδελφῶν θανατώσει τὸν ἕτερον. Gu.

πότερος ἄρα: ὁποῖος ἀπὸ τῶν δύο ποίου αἱμάξει τὴν ὁμογενῆ δέρην. I. πότερον αἱμάξει: φονεύσει. M. ποῖος ποῖον ἄρα αἱμάξει; B. τὸ ἑξῆς, πότερος ἄρα πότερον αἱμάξει ὁμογενῆ δέραν ὁμογενῆ ψυχὰν δι' ἀσπίδων, δι' αἱμάτων. B.M.I.

πότερος ἄρα πότερον αἱμάξει: πότερος ἄρα πότερον αἱμάξει διὰ πολέμου, διὰ φόνου, τὸ συγγενὲς λέγω σῶμα, τὴν συγγενῆ ψυχήν· ὁμογενῆ γὰρ τοῖς ἀδελφοῖς τὰ σώματα καὶ αἱ ψυχαὶ τῶν ἀδελφῶν. θέλουσαι οὖν αἱ τοῦ χοροῦ αὐξῆσαι τὸ πάθος ταῦτα ἐπάγουσιν, ὡς εἰ ἔλεγον, ὁπότερος ἂν αὐτῶν τὸν ἕτερον αἱμάξῃ, οὐ τὸν τυχόντα ἄνθρωπον αἱμάξει, ἀλλ' ἀδελφὸν, οὗ τὸ σῶμα καὶ ἡ ψυχὴ ὁμογενῆ εἰσὶν αὐτῷ. Gr. Bar. I. τὸ δὲ ἰώ μοι πόνων, καὶ ἰὼ Ζεῦ, καὶ ἰὼ γᾶ, διὰ μέσου. Gr. Bar.

1289.—1295. ἰώ μοι πόνων: φεῦ μοι τῶν παρόντων πόνων. ὦ Ζεῦ, ὦ γῆ, ποῖον τῶν ἀδελφῶν ἰαχήσω καὶ θρηνήσω ἐγὼ ἡ τάλαινα νέκυν διὰ φόνων καὶ πολέμου, συγγενικὴν δέρην καὶ κεφαλὴν, συγγενικὴν ψυχήν; συγγενεῖς δὲ ὁ Ἐτεοκλῆς καὶ Πολυνείκης τῷ χορῷ, ὡς Φοίνικες τὸ ἀνέκαθεν. ἢ τὸ ὁμογενῆ δέρην καὶ ὁμογενῆ ψυχὴν, ἤτοι ἀδελφικὴν, ἵνα συντάξῃς πρὸς τὸ πότερος ἄρα πότερον αἱμάξει; Gu. Bar.

1289. πότερον ἄρα: ποῖον ἄρα τῶν νεκρῶν ἀπολλύμενον θρηνήσω; B.M.I.

ἄρα ποῖον B.C. πότερος—τὸν οἶκτον om. I.

p. 332. l, 22. αἱμάξει] τὴν ὁμογενῆ δέρην addunt A.B.C.

1. νῦν δὲ οὐ A.B.M. νῦν οὐδὲ C.I.

ib. τὸ νοητὸν τὸν οἶκτον A.B.M. τὸν νοητὸν οἶκτον C.

9. πότερος] πότερον I.

ib. ὁμογενῆ] τὴν ὁμογενῆ I.

13. τοῖς ἀ. τὰ σ.] τὰ σ. τοῖς ἀ. I.

ib. τῶν] διὰ τῶν I.

14. οὖν om. I.

15. ἔλεγον—ὁπότερος] ἔλεγεν—πότερος I.

19. φεῦ μοι—] Hujus scholii priorem partem, φεῦ μοι τῶν π. π.—συγγενικὴν ψ. in paraphrasi, reliqua inter scholia posuit King. In Gu. omnia cohaerent. MATTH.

24. συντάξῃς Gu. σύνταξις Bar. quasi voluerit ἵνα ἡ σύνταξις ᾖ.

1296. φεῦ δᾶ: ἀντὶ τοῦ φεῦ φεῦ. ἡ δὲ δᾶ συλλαβὴ Ἀττικῶς πλεονάζει ὡς ἐπὶ τοῦ ἦσθα καὶ φῆσθα. Ἄλλως. οἱ μὲν ὡς ἓν μέρος λόγου ἀνέγνωσαν τὸ φευδᾶ ὡς ἐν παρολκῇ τοῦ δᾶ, ἔνιοι δὲ ἀντὶ τοῦ φεῦ δὴ, τινὲς δὲ ἀντὶ τοῦ φεῦ γῆ, κατὰ πάθος μεταβληθέντος τοῦ γάμμα εἰς τὸ δέλτα, ὡς ἐν τῷ Δημήτηρ, πηγὴ, πηδὴ, παρὰ τὸ τὸ ὕδωρ πηδᾶν ἄνω. A.B.C.M.I.

1297.—1299. δίδυμοι θῆρες: διπλοῖ θῆρες, ψυχαὶ φονικαὶ, ὁ Ἐτεοκλῆς λέγω καὶ Πολυνείκης, κινούμενοι ἐπ' ἀλλήλους ἐν πολέμῳ ὅσον οὔπω αἱμάξουσι πτώματα πολεμικὰ, ἤγουν αὐτίκα πεσοῦνται ὑπ' ἀλλήλων σφαγέντες. Gu. Bar.

1298. δορὶ παλλόμεναι: δόρυ κατ' ἀλλήλων πάλλουσαι, ἢ ἐπὶ πόλεμον κινηθεῖσαι. A.B.C.M.I. πολέμῳ ἐνθουσιῶσαι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1299. πέσεα: τὰ πτώματα. C.I. θέλει εἰπεῖν ὅτι πεσόντες αἱμάξουσι τὰ σώματα. πέσεα οὖν ἀντὶ τοῦ πεσήματα, πτώματα. B.C.M. πέσεα: πτώματα διὰ τῆς μάχης ὅσον οὔπω ἡμαγμένα ποιήσουσιν. Gr. Florr. iidem. δάϊ': πολέμια. M. αἱμάξετον: φονεύσουσιν ἑαυτούς. M.

1300. τάλανες ὅτι ποτέ: ἀντὶ τοῦ δυστυχεῖς εἰσι διότι εἰς

1. ἀντὶ —] ἄλλως praefixum in A.C.M., quia hoc scholion proximo est postpositum.
ib. ἀντὶ τοῦ om. M., ἀντὶ τοῦ φεῦ φεῦ om. B.
ib. φεῦ φεῦ A.C.M. φεῦ γῆ I.
ib. ἡ δὲ C.M. δὲ om. B.I.
ib. δᾶ I. δᾶ A.B.C.M.
ib. Ἀττικῶς πλεονάζει] ἀττικὴ πλέον (sic) C.
2. φῆσθα] τοῦ φῆσθα B.
ib. Ἄλλως om. B.C.M.
ib. ὡς om. I.
3. φευδᾶ B. φεῦ δᾶ M.I. φεῦδα C.
ib. ὡς ἐν] οἱ δὲ ὡς ἐν A.B.I.
ib. τοῦ δᾶ] τὸ δᾶ A.
ib. οἱ δὲ] δὲ om. A.
5. γάμμα—δέλτα M. γ—δ B.I. τοῦ γ εἰς δ A.C.
ib. ἐν om. C.
ib. τὸ τὸ] Alterum τὸ om. M.
6. ἄνω A.C.M. ἅμα B.I. "In Fl. 33. πηδή. γίνεται δὲ πη$^{\gamma}$δὴ παρὰ τὸ πηδῶ, καὶ $^{\gamma}$δημήτηρ παρὰ τὸ γῆ. Verba τινὲς δὲ—πηγή leguntur etiam in Gu. qui καὶ πηγή. Verissimum fortasse quod Flor. 33. habet: ἐπίρρημα βαρβάρων θρήνων." MATTH.
11. δορὶ] δορὶ δὲ B.
ib. δόρυ] ἀντὶ τοῦ τὸ δόρυ B.I.
14. τὰ om. C.
15. αἱμάξουσι] αἱμάσουσι (sic) M.
ib. πεσήματα om. A.
ib. πτώματα] σώματα ἤγουν πτώματα C. et fortasse M. in quo haec pars scholii nunc obliterata.
19. ἀντὶ τοῦ C. ἀντὶ τοῦ ὅτι B., om. M.I. In A. τάλανες ὅτι δυστυχεῖς εἰσὶν ἢ ὅτι δὴ ἐπὶ τὸ κατ' ἀλλήλων μονομαχεῖν ἤλθετε. In M. τάλανες

ἐνθύμησιν μονομαχίου ἦλθον. A.B.C.M.I. διὰ τί ἄρα ἐπῆλθον οἱ τάλανες ἐπὶ φρένα μονόμαχον, ἤγουν διὰ τί μονομαχεῖν ἠβουλήθησαν; Gu. Bar.

1301.—1303. βοᾷ βαρβάρῳ: θρηνήσω τοῖς νεκροῖς ἐν δάκρυσιν ἐν βοῇ βαρβαρικῇ θρῆνον ἐκ στεναγμοῦ γινόμενον, διὰ φροντίδος ὄντα τοῖς ζῶσιν. Gu. Bar.

1301. βοᾷ βαρβάρῳ: τῇ ἐμαυτῆς φωνῇ τῇ βαρβάρῳ τὴν ἐπιστένακτον βοὴν τῶν νεκρῶν, οἷον τὴν ἐπὶ τοῖς νεκροῖς σὺν στεναγμῷ προσφερομένην βοὴν μέλουσα τοῖς δάκρυσι θρηνήσω, τουτέστιν ἐπιμελῶς δακρύσασα θρηνήσω. A.B.C.M.I.

1303. μελομέναν: ἀντὶ τοῦ μέλουσαν. ἢ ἐπιμελουμένην τῶν νεκρῶν καὶ θεραπεύουσαν τὰς τούτων ψυχάς. A.B.C.M.I. νεκρῶν ἐπιμελουμένην, ἤγουν νεκροῖς ἁρμοδίαν. Gr. Florr.

1304. σχεδὸν τύχα: τὸ σχεδὸν καὶ τὸ πέλας ἐκ παραλλήλου τὸ αὐτό. ἡ κατ' αὐτοὺς τύχη τοῦ φόνου πλησίον ἐστὶ, τουτέστιν ὅσον οὐδέπω γνωσόμεθα πῶς ἐκβήσεται αὐτοῖς τὸ μονομάχιον. A.B. C.M.I.

σχεδὸν τύχα πέλας φόνου: ἡ τύχη καὶ ἡ εἱμαρμένη τοῦ φόνου τῶν ἀδελφῶν ἐγγύς ἐστι. τὸ σχεδὸν γὰρ καὶ τὸ πέλας ἐκ παραλλήλου. ἢ τὸ σχεδὸν ἀντὶ τοῦ ἄντικρυς, ἵν' ᾖ οὕτως· ὁ εἱμαρμένος τοῖς ἀδελφοῖς φόνος ἄντικρυς πλησίον ἐστίν. Gu. Bar.

1305. κρίνει φάος τὸ μέλλον: τὸ σήμερον δηλονότι. B.M.I. ἡ παρεστῶσα ἡμέρα διδάξει τὸ πέρας καὶ τὸ μέλλον. B.M.I.

ὅτι ποτέ: διότι δυστυχεῖς εἰσὶν ὅτι ποτε ...... ἐπὶ τὸ ... ταλλήλων μονομαχεῖον ἤλθετε:— et duo glossemata, ἄθλιοι (ad τάλανες) et διότι (ad ὅτι), et (ad ἐπὶ φρέν' ἤλθέτην) διότι εἰς ἐνθύμησιν μονομαχίας ἤλθετε.

p. 354. l. 19. διότι B.M. ὅτι I. ὅτι ποτὲ διότι δὴ C. qui pergit ἐπὶ τὸ κατ' ἀλλήλων μονομαχοῦ (sic) ἤλθετε, ut M.

1. μονομαχίου B. μονομαχίας I.

5. γινόμενον] γενόμενον Gu.

7. ἐμαυτῆς] ἐμαυτοῦ A.

ib. φωνῇ] φησὶ I.

8. τὴν ἐπὶ—βοὴν] Haec etiam in Gu.

9. μέλουσα M. μέλλουσαν B.C.I.

ib. τοῖς] ἐπὶ τοῖς A. ὅτι τοῖς A.C.

10. δακρύσασα] δακρύουσα C.

11. μελομέναν] μελλομέναν C.I.

ib. ἀντὶ τοῦ om. A.

ib. μέλουσαν] μέλλουσαν A.B.C. M.I.

15. τὸ αὐτὸ om. B.I.

16. οὐδέπω B.C. οὔπω M.I.

ib. μονομάχιον] μοναχεῖον C. μονομαχεῖν M. Uterque voluit μονομαχεῖον, quod est in A. Conf. ad v. 1279.

23. καὶ τὸ μέλλον] ἤγουν τὸ ἀποβησόμενον addit I.

Ἄλλως. ἡ παροῦσα ἡμέρα διακρινεῖ τὸ πέρας καὶ τὸ μέλλον. A.C.M. φάος: ἡ ἡμέρα ἡ παροῦσα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. τὸ μέλλον: τὸ ἀποβησόμενον. Gr. Florr. iidem. συμβήσεσθαι, ἤγουν ὅσον οὔπω γνωσόμεθα πῶς ἐκβήσεται αὐτοῖς τὸ μονομαχεῖον. Gu.

1306. ἄποτμος: δυστυχὴς, κακόποτμος ὁ φόνος αὐτοῖς ἔσεται. M. κακόποτμος, δυστυχὴς ὁ θάνατος αὐτοῦ γενήσεται. B. ὁ φόνος τῶν ἀδελφῶν οὐκ ἐν εἰωθότι πολέμῳ γινόμενος οὐκ ἔστιν εὐτυχὴς, ἀλλὰ δυστυχὴς ὡς ἐξ Ἐριννύων συμβεβηκὼς, ἃς ἐπήγαγεν Οἰδίπους διὰ τὰς ἀράς. Gu. ἄποτμος: διὰ τὸ ἀσυνήθως γεγονέναι. Gu.

1307. ἕνεκ' Ἐρινύων: ὡς τῶν Ἐρινύων ἐπιμεμπουσῶν τὰ φαῦλα τοῖς ἀνθρώποις, ἢ διὰ τὰς ἀρὰς τὰς τοῦ Οἰδίποδος, καὶ τὰς τούτων ἐπηκόους Ἐρινύας. B.C.M.I.

1308. ἀλλὰ γὰρ Κρέοντα: τὸ ἑξῆς, ἀλλὰ παύσω τοὺς παρεστῶτας θρήνους· ὁρῶ γὰρ Κρέοντα τόνδε ἐρχόμενον δεῦρο πρὸς τοὺς δόμους κατηφῆ. Gr. Bar. συννεφῆ: στυγνόν. B.M.I. περίλυπον, στυγνόν. C. κατηφῆ. Gr. I. σκυθρωπόν. Gu. Fl. 33.

1310. οἴμοι, τί δράσω: ἵνα δόξῃ φιλόπολις ὁ Κρέων, καὶ μὴ μόνον τοῦ παιδὸς λόγον ποιεῖσθαι, φησὶ, τίνος ἄρξομαι θρῆνον ποιούμενος, τοῦ παιδὸς ἢ τῆς πόλεως; καίτοι εἰδὼς ὅτι διὰ τὸν θάνατον τοῦ παιδὸς εὐτυχεῖ τὰ τῆς πόλεως· μικρὸν γὰρ ὕστερον εἰπὼν "ἐμός τε γὰρ παῖς ὄλωλεν" ἐπελάθετο εἰπεῖν "πόλις τε," εἰς τὸ λυπεῖν

1. παροῦσα A.M. παρεστῶσα C.

ib. τὸ πέρας hic om. A.C. in quibus duo sunt scholia, κρίνει φάος: ἡ παρεστῶσα ἡμέρα διδάξει (διακρίνει C.) τὸ πέρας καὶ τὸ μέλλον. ἄλλως. ἡ παροῦσα ἡμέρα διακρίνει τὸ μέλλον. (διακρίνει etiam M.)

3. συμβήσεσθαι—] King. in paraphr. e Bar. ἡ παροῦσα ἡμέρα δηλώσει τὸ μέλλον συμβήσεσθαι τούτοις. quod idem est in margine interiore Gu. quum reliqua sint inter versus adscripta. MATTH.

12. Ἐρινύων nomen hic et alibi simplici ν scriptum in B.M., duplici in C.I. In M. est etiam scholion interl. χάριν τῶν ἐρινύων ὡς τῶν ἐρινύων ἐπιπεμπουσῶν τὰ φαῦλα.

13. τὰς τοῦ] τὰς om. B.I., τοῦ om. M.

ib. τούτων om. B.I.

14. ἐρινύας C.M. ἐρινῦς B. ἐριννῦς I.

19. φιλόπολις] φιλόπατρις I.

20. τοῦ παιδὸς λόγον] τὸν λόγον τοῦ παιδὸς M. τοὺς παῖδας λόγου A.

ib. θρῆνον π.] π. θρῆνον C. λόγον π. A.

21. ἢ τῆς] καὶ τῆς B.I.

ib. θάνατον post παιδὸς C.

23. ὄλωλεν ἐπελάθετο] ὄλωλεν:—ἐπελάθετο γὰρ C.

ib. εἰς τὸ—μνήμην om. I.

ib. λυπεῖν] λυποῦν A.B.M.

μὲν διὰ πένθος ἐμμείνας, τῆς δὲ κολακείας ἀτέλεστον ἐάσας τὴν μνήμην. A.B.C.M.I.

1311. *στένω δακρύσας: στενάζω, θρηνήσω μετὰ δακρύων.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *πέριξ ἔχει νέφος: ἐν κύκλῳ ἔχει δυστυχήματα.* M. *ἀντὶ τοῦ περιέχει τὸ πλῆθος τῶν πολεμίων.* Gr. *νέφος: πλῆθος τῶν πολεμίων.* B. rec. I. *πλῆθος.* M.

1312. *δι' Ἀχέροντος ἱέναι: ἀντὶ τοῦ διὰ θανάτου ἔρχεσθαι.* Gr. *διὰ μέσου τοῦ θανάτου, δι' ἀπωλείας. Ἀχέρων γὰρ ποταμὸς ἐν Ἅιδου.* Gu. *ὥστε ἐν μέσῳ τοῦ θανάτου εἶναι αὐτήν.* B.M. Fl. 33. *ὥστε διαπέμπεσθαι διὰ τοῦ Ἀχέροντος τὴν πόλιν.* M. Fl. 33. *Ἀχέρων ποταμὸς ἐν τῷ Ἅιδῃ ἀπὸ τοῦ ἄχη ῥέειν.* Fl. 59. *Ἀχέρων ποταμὸς ἐν Ἅιδῃ ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ χαίρω.* Fl. 21.

1313. *ἐμός τε γὰρ παῖς: εἰπὼν, πότερον ἐμαυτὸν ἢ τὴν πόλιν θρηνήσω; καὶ τὴν αἰτίαν εὐθὺς ἀποδεδωκὼς, δι' ἣν ζητεῖ τὴν πόλιν θρηνεῖν, ὅτι περιέχει αὐτὴν πλῆθος πολεμίων, περὶ ἑαυτοῦ δὲ οὐδὲν αὐτίκα εἰπὼν, ἐπαναλαμβάνει ὕστερον καὶ ἀποδίδωσι τὴν αἰτίαν καὶ φησί· καὶ γὰρ ὁ ἐμὸς παῖς ὄλωλεν ὑπὲρ τῆς γῆς ἀποθανών.* Gr. Cant.

1314. *ἀνιαρόν: ἀλγεινόν.* Gr. *ἀνιαρὸν, τὸ λύπην ἔχον, καὶ ἀλγεινὸν ὁμοίως καὶ λυπηρὸν καὶ ἀργαλέον.* Gr. Bar.

1315. *κρημνῶν ἐκ δρακοντείων: ὡς τοῦ* Μενοικέως *παρὰ τὸν τάφον, ἔνθα ἦν ὁ δράκων, κατακρημνίσαντος ἑαυτόν.* Ἄλλως. *δεῖ νοεῖν ἔσω τῶν τειχέων τὸν σηκὸν τοῦ δράκοντος εἶναι. πῶς γὰρ εἶχε τὸ σῶμα ἀναλαβεῖν ὁ* Κρέων *τῶν πολεμίων παρακαθημένων; ἀπὸ δὲ τοῦ τείχους ἔρριψεν ἑαυτὸν ὁ παῖς εἰς ἐπίδειξιν τῆς ὑπὲρ τῆς πατρί-*

1. *μὲν* om. M.
ib. *διὰ* addidit Valck.
ib. *ἀτέλεστον* A.B. *ἀτέλευτον* M. *ἀτελέστερον* C.
9. *ὥστε ἐν*] *τί ἐν* M.
ib. *εἶναι αὐτήν*] *αὐτὸν εἶναι* M.
10. *τὴν πόλιν*] *καὶ ἐν μέσῳ τοῦ θανάτου αὐτὴν εἶναι* addit Fl. 33.
20. *καὶ ἀ.—ἀργαλέον* (*ἀργαλαῖον* Gr.) *καὶ λυπηρὸν ὁμοίως καὶ ἀργαλέον* Bar.
22. *τὸν τάφον*] *τοῦ τάφου* A.C. *παρὰ τὸν τάφον* om. M.
23. *κατακρημνίσαντος*] *κατακρημνίσας* I. In Gu. *ὡς τοῦ μενοικέως περὶ τὸν σηκὸν ἔνθα ἦν ὁ δράκων ἔσω τῶν τειχῶν κατακρημνίσαντος ἑαυτόν.*
ib. *Ἄλλως—τὸ σῶμα* om. M.
24. *τειχέων*] *τειχῶν* B.I. et, omisso *τῶν*, A.
25. *ὁ Κρέων*] *τοῦτον φησὶν ἐπειδὴ* addit M., omittit vero *τῶν π. π.*
ib. *ἀπὸ δὲ*] *δὲ* om. M.

δος προθυμίας. A.B.C.M.I. ἑλών: ἀνελόμενος, βαστάσας. Gr. Fl. 5. 6. 9. 21. 56. 76.

1316. αὐτοσφαγῆ: αὐτόχειρα. B. rec. M. Gu. ταῖς αὐτοῦ χερσὶν ἐσφαγμένον. I. ἐκόμισ': ἀντὶ τοῦ εἰς τὴν οἰκίαν ἐκόμισα. M.

1317.—1321. βοᾷ δὲ δῶμα: ἀντὶ τοῦ θρηνεῖ τὸ ἐμὸν δῶμα. B. M. θρηνεῖ δ' ὁ ἐμὸς οἶκος πᾶς, ἀντὶ τοῦ πάντες οἱ ἐν τῷ ἐμῷ οἴκῳ θρηνοῦσιν· ἐγὼ δὲ ὁ γέρων μεθήκω, ἤγουν μετέρχομαι, ζητῶ, τὴν ἐμὴν ἀδελφὴν τὴν γραῖαν τὴν Ἰοκάστην, ὅπως τὸν ἐμὸν παῖδα οὐδαμῶς ὄντα λούσῃ καὶ πρόθηται, ἤγουν κεκοσμημένον ἐπὶ θρόνῳ προδείξῃ. χρὴ γὰρ τὸν οὐ τεθνηκότα τιμᾶν τὸν ὑποχθόνιον θεὸν, ἤγουν τὸν Ἅιδην, τιμὰς διδόντα τοῖς ἀποθανοῦσιν, ἤγουν διὰ τοῦ διδόναι τιμὰς τοῖς ἀποθανοῦσιν. Gr. Bar. Florr. θρηνεῖ δ' ὁ ἐμὸς πᾶς οἶκος. I.

1317. ἐγὼ δ' ἥκω μέτα γέρων: ἐγὼ δὲ ὁ γέρων ἐπὶ τὴν ἀδελφὴν τὴν γραῖαν ἦλθον. M.

1318. μεταστέλλων: μετακαλέσων. I.

1319. λούσῃ: γρ. κλαύσῃ. M. λούσῃ πρόθηταί τ' οὐκέτ' ὄντα: ἐκκομίσῃ, δημοσίᾳ ἐνταφιάσῃ· ἔθος γὰρ ἦν τοὺς βασιλεῖς οὕτω θάπτεσθαι. A.C.M.

1321. χθόνιον—θεόν: τὸν Ἅιδην περιφραστικῶς. M. τιμᾶν τὸν χθόνιον θεόν. I.

1322. βέβηκεν: ἀπῆλθεν ἡ ἀδελφὴ ἡ σὴ, Κρέον, ἔξω δόμων, καὶ ἡ παρθένος ἡ Ἀντιγόνη κοινῇ ὁδοιπορίᾳ τῆς μητρὸς, ἤγουν ἀπῆλθεν ἅμα τῇ μητρὶ ἀπερχομένη. Gr. Cant.

1323. κόρη τε μητρός: ἅμα τῇ μητρί. τὸ δὲ ἑξῆς, κόρη τε Ἀντιγόνη κοινῇ ἐξόδῳ τῆς μητρός. B.M.I. ἅμα τῇ μητρὶ καὶ ἡ Ἀντιγόνη ἐξῆλθε. A.B.I.

1324. ποῖ: ποῦ βέβηκε. I. ἐπὶ ποῖον τόπον. Gr. Cant.

6. ἀντὶ τοῦ—] Verba ἀντὶ τοῦ—θρηνοῦσιν King. bis dedit, e Bar. in paraphrasi, ubi om. ἐμῷ, et e Cant. in scholiis, ubi om. οἱ ante ἐν τῷ ἐ. Pro ἐπὶ θρόνῳ Gr. et Florr. ἐπὶ θρήνῳ. Ultima ἤγουν διὰ τοῦ δ. e Gr. et Florr. sumta, in quibus διὰ τοῦ e Florr. scribere malui quam διὰ τὸ δ. e Gr. MATTH.

17. ἐκκομίσῃ] ἐκκομίσει A.

ib. δημοσίᾳ A. δὲ μόνα M. δημόνα C. δημοσιεύσῃ Gu. qui post ἐνταφιάσῃ addit δημοσίᾳ θάψῃ, reliquis omissis.

ib. ἐνταφιάσῃ] ἐνταφιάσει A.

21. ἀπῆλθεν] In Gr. priori versui suprascripta sunt tantum ἀπῆλθεν et ἡ supra σή. In altero vs. King. habet ἀπῆλθει post Ἀντιγόνη, et ὁδοιπορείᾳ. MATTH.

24. μητρός—μητρί om. B.I.

ib. τὸ δὲ] δὲ om. B.I.

κἀπὶ ποίαν συμφοράν: συμφορὰν ἐνταῦθα λέγει τὴν συντυχίαν ἁπλῶς, ἤγουν τὸ συμβεβηκός. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. I. καὶ ἐπὶ ποίαν τὴν συντυχίαν; δῆλον μοι. Gr. Cant.

1325. *μονομάχῳ μέλλειν δορί*: τὰ ἑαυτῆς τέκνα δορὶ μονομάχῳ, ἀντὶ τοῦ ἀντιπαρατάξει, ἣν αὐτοὶ ἀντιπαρατάξονται πρὸς ἀλλήλους μονομαχοῦντες. Ἄλλως. μονομαχῶ, ὅταν μόνος μόνῳ μάχομαι, καὶ μονομαχία τὸ πρᾶγμα, καὶ μονομάχος ὁ μόνος μόνῳ μαχόμενος· ἐνταῦθα δὲ τὴν ἀντιπαράταξιν λέγει μονομάχον, οὐχ ὅτι αὐτὴ μονομαχεῖ, ἀλλὰ θέλει δηλοῦν ἀντιπαράταξιν, ἣν ὁ Ἐτεοκλῆς καὶ ὁ Πολυνείκης πρὸς ἀλλήλους μονομαχοῦντες ἀντιπαρατάξονται, ὥσπερ ἐν ἄλλοις λέγει ζωὴν φιλότεκνον, ἣν μετὰ τοῦ φιλεῖν τὰ ἑαυτῶν τέκνα τινὲς ἀνύουσιν. τὸ πᾶν οὕτως· ἤκουσε μέλλειν τὰ ἑαυτῆς τέκνα ὑπὲρ τῶν βασιλικῶν δόμων, ἤγουν ἕνεκα τῆς βασιλείας, εἰς πόλεμον ἥξειν ἀντιπαρατάξει μονομάχῳ. Gr. Cant.

1326. *εἰς ἀσπίδ' ἥξειν*: εἰς μάχην, εἰς συμβολήν. B.M.I.

1327. *νέκυν τοι*: ἀντὶ τοῦ τὸ νεκρὸν σῶμα τοῦ ἐμοῦ παιδὸς ἐπιμελείας ἠξίουν. B.C.M.I. Ἄλλως. τί, φησὶν, ἀπῆλθεν Ἰοκάστη πρὸς τοὺς παῖδας καταλλάξασα τούτους, ἐγὼ δὲ τὸ σῶμα τοῦ παιδὸς Μενοικέως περιστέλλων καὶ κοσμῶν καὶ ἐπιμελείας ἀξιῶν, καὶ δι' ἀγάπην ἐκείνῳ προσκαθήμενος οὐκ ἔφθασα εἰς τὸ καὶ ταῦτα μαθεῖν, ὅ ἐστιν ἀσχολούμενος περὶ τὸν υἱὸν οὐκ ἦλθον εἰς εἴδησιν τούτων. Ἄλλως. ἐγὼ προσκαθήμενος, φησὶ, τῷ νεκρῷ τοῦ παιδός μου σώματι καὶ περὶ ἐκεῖνο ἀσχολούμενος οὐκ ἔφθασα τούτων τι μαθεῖν. A. ἀγαπάζων: περιστέλλων, θρηνῶν. M. ἐπιμελείας ἀξιῶν. B. ἐπιμελούμενος, περιέπων. Cant. Gr. τιμῶν, φιλοφρονούμενος. Gu.

1328. *οὐκ εἰς τόδ' ἦλθον*: οὐκ ἐπὶ τοῦτο παρεγενόμην. B.C.M. εἰς τὸ γνωρίσαι. B. οὐκ εἰς τόδε ἔφθασα, εἰς τὸ γνωρίσαι, οὐκ ἐπὶ τοῦτο παρεγενόμην, ὥστε καὶ τάδ' εἰδέναι. I. ἐν ἑνὶ λόγῳ εἶπεν ἂν, οὐκ ἦλθον εἰς γνῶσιν τούτου, οὗ λέγεις, ἤγουν οὐκ ἔγνων τοῦτο· νῦν

1. ἁπλῶς om. I.

2. ἤγουν Gr. ἢ ceteri.

11. μετὰ τοῦ φιλεῖν] Sic Gr. pro μετὰ φιλεῖν, quod King. dedit e Cant. Valck. conj. ἐν τῷ φιλεῖν. Ceterum hoc scholion μονομαχῶ, ὅταν μ. κ. τ. λ. in Gr. hoc signo ∴ ×, quod ubique ad finem scholii appictum est, i. e asterisco, a superiore separatur. Hinc Ἄλλως addidi. MATTH.

16. τὸ νεκρὸν] νεκρὸν τὸ C.

ib. ἐμοῦ παιδὸς] παιδὸς ἐμοῦ B.I.

28. ἐν ἑνὶ λ. εἶπεν ἂν Gr. εἶπεν ἂν ἑνὶ λ. Bar.

δὲ διαιρεῖ, καὶ φησὶν, οὐκ ἦλθον εἰς τοῦτο, εἶτα ὥσπερ ἑρμηνεύων, ποῖον τοῦτο λέγει, ἐπάγει λέγων, ὥστε καὶ τάδε εἰδέναι. Gr. Bar.

1329. ἀλλ' οἴχεται: ἡ ἕνεκα τῶν δυστυχιῶν ἀπωλέσθη. C. ἀλλὰ γίνωσκε ὅτι ᾤχετο, ἤγουν ἀπῆλθεν. Gr. Gu. Cant. πάλαι, πρὸ ἱκανῆς ὥρας. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1330. δοκῶ: νομίζω. M. Gr. Florr. ἀγῶνα: ἤγουν τὴν μονομαχίαν. Gr. Florr. κίνδυνον. M. B. rec. Gu. ψυχῆς: ζωῆς, αἵματος. Gu.

1331. ἤδη πεπρᾶχθαι: τὸ παρὰ τοῖς κοινοῖς ἕως ἄρτι. τετελειῶσθαι ὑπὸ τῶν παίδων τοῦ Οἰδίποδος. Gr. Florr. ἤδη: ἄρτι. Gu. πεπρᾶχθαι: ἠνύσθαι. B.M. διηνύσθαι. Gu.

1332. οἴμοι, τὸ μὲν σημεῖον: ἐκ τοῦ προσώπου τοῦ ἀγγέλου στοχάζεται τὰ λεχθησόμενα. B.C.M.I. ἰδὼν τὸν ἄγγελον κατηφῆ ἐρχόμενον ἦλθεν εἰς ὑπόνοιαν τοῦ κακοῦ καὶ ἀνῴμωξεν, εἶτα ἐπάγει καὶ τὴν αἰτίαν δι' ἣν ᾤμωξε, καί φησιν· ἰδοὺ, τὸ σημεῖον τόδε ὁρῶ, κατηφὲς ὄμμα καὶ πρόσωπον ἀγγέλου ἐρχομένου, ὃς πᾶν ἀγγελεῖ τὸ πραχθέν. Gr. Fl. 6. 59. 76.

1334. τὸ δρώμενον: τὸ πραχθέν. B. rec. M.I.

1336. οὐκ εὐπροσώποις: εὐειδέσι, καλοῖς, φαιδροῖς. M. προοιμίοις οὐ καλοῖς, οὐκ εὐσχήμοσι. B.I. εὐπρόσωπον μειράκιον, ἤγουν εὐειδὲς, καὶ ἀπὸ τούτου εὐπρόσωπος λόγος ὁ πιθανὸς καὶ ἀρεστὸς φαινόμενος. οὕτω λέγεται καὶ τὸ εὐπρεπὲς, πρότερον μὲν ἐπὶ εἴδους, οἷον εὐπρεπὴς ἄνθρωπος, ὁ εὔστολος καὶ καλὸς καὶ μετὰ τοῦ πρέποντος παραστήματος ἔχων τὴν τῶν μελῶν ἁρμονίαν· εἶτα καὶ εὐπρεπὴς σκῆψις, ἡ ἁρμοδία καὶ εὐπρόσωπος δοκοῦσα, καὶ εὐπρεπὴς λόγος. ἐνταῦθα δὲ οὐκ ἐν εὐπροσώποις φησὶ φροιμίοις, ἀντὶ τοῦ οὐκ ἐν ἀγαθοῖς, μεταφέρων τὴν λέξιν ἐφ' ἕτερον σημαινόμενον παρὰ τὰ προειρημένα· ὅτι μὲν γὰρ τὸ ἐν μειρακίῳ εὐπρόσωπον ἄλλο τι ἐστὶ παντί που δῆλον. δοκεῖ δὲ καὶ τὸ ἐν ἄλλοις λόγοις ἁπλῶς εὐπρόσωπον ἕτερόν τι εἶναι παρὰ τὸ ἐνταῦθα· ἐκεῖ μὲν γὰρ τὸ εὐπρόσωπον τὸ πιθανὸν φαίνεσθαι τὸν λόγον παρίστησι καὶ μηδὲν δοκοῦντα ἔχειν, ὅθεν ἂν αὐτοῦ τις ἐπιλάβοιτο, οὐκέτι δὲ καὶ τοιοῦτον αὐτὸν εἶναι

3. ἀπωλέσθη] ἀπολέσθη C.

9. τετελειῶσθαι Matth. pro τελειῶσθαι.

12. ἐκ τοῦ προσώπου—στοχάζεται] εἰς τὸ πρόσωπον—στοχάζομαι C.

16. ἐρχομένου] ἐρχόμενον Gr.

19. In C. gl. εὐσχήμου χαρᾶς αἰτίοις.

31. τὸν λόγον] τοῦ λόγου Gr.

32. αὐτοῦ τις] Sic perspicue Gr.

ἀσφαλίζεται, ἤγουν ἀνεπίληπτον· ἐνταῦθα δὲ τὸ μὴ ἀγαθὰ εἶναι τὰ προοίμια ἀκριβῶς παριστᾷ. Gr. Cant. ἀρχὴ λόγου: γρ. ἄρχει. C.

1337. ὦ τάλας, δισσῶς: τὸ ὦ τάλας δεύτερον βοᾷ διὰ τὸ μεγάλα φέρειν κακά. θρηνητικὸν δὲ τὸ ἦθος. A.B.C.M.I.

1338. πρὸς πεπραγμένοισιν: πρὸς τοῖς πεπραγμένοις τοῦ Μενοικέως λέγει. ἀποφαντικῶς δὲ ἢ ἐρωτηματικῶς. B.M. πρὸς τοῖς εἰρημένοις πήμασι λέγεις φέρειν ἕτερα. I. ἐπὶ ταῖς ἄλλαις βλάβαις ταῖς γενομέναις λέγεις φέρειν ἕτερα κακὰ μεγάλα. τί δέ ἐστιν ὃ λέγεις; Gr. Florr.

1339. ἐν φάει: ἐν τῷ φωτὶ, τουτέστιν ἐν σωτηρίᾳ. B.I. συνήθως πάλιν ὁ Εὐριπίδης προειπὼν ἐν ἑνὶ στίχῳ τῆς συμφορᾶς τὸ κεφάλαιον, καταστατικώτερον ὕστερον διηγεῖται τὸ πᾶν. B.C.M.I. οὐκέτ' εἰσί: οὐδαμῶς εἰσιν ἐν φωτὶ, ἤγουν ἠφανίσθησαν. Gr. Florr.

1341. μεγάλα μοι θροεῖς: συμφορὰς λέγεις μεγάλας ἐπ' ἐμοὶ καὶ τῇ πόλει. Gr. Florr. λέγεις. M.

1342. τάδε: οὐ μάτην ἄρα, φησὶν ὁ Οἰδίπους, κατηράσατο. εἰς ἔργον γὰρ ἐχώρησαν αἱ ἀραί. A.C.M. τὸ τάδε ἢ πρὸς τὸ εἰσηκούσατε, ἢ πρὸς τὸ δώματα, τὸ δὲ παίδων πρὸς τὸ Οἰδίπου. Gu. Bar.

ut conjecit Valck. pro αὐτόν τις. Sic supra cod. ἀρεστὸς φαιν. pro ἀρετὸς et paulo post ἐντ. δὲ οὐκ ἐν εὐπροσώποις, ubi δὲ et ἐν om. Cant. MATTH.

3. διὰ—κακά om. B.I.

ib. μεγάλα—κακά] μέγα—κακόν I. In C. est τὸ ὦ τάλας δεύτερον βοᾷ θρηνητικόν. καὶ τὸ ἦθος διὰ τὸ μέγα φέρειν κακόν. "In Fl. 33. τὸ τάλας φησὶν, ἐπεὶ καὶ πρότερον εἶπεν ὦ τάλας, τουτέστι καὶ δὶς τὸ αὐτὸ βοᾷ διὰ τὸ μεγάλα φέρειν κακά. In Gu. supra vv. μεγ. γὰρ φ. κ. ista scripta sunt: διὰ τὸ μεγ. φ. κακά." MATTH.

5. πρὸς τοῖς π. om. A. et τοῖς habet pro τοῦ. In M. προστεταμένοισιν (sic): τοῖς τοῦ μ. etc.

6. λέγει om. A.B.

ib. ἀποφατικῶς (recte M. ἀποφαντικῶς) δὲ ἢ A.M. ἀποφατικῶς ἢ B. quae verba et ἐρωτηματικῶς etiam I. habet.

10. ἐμφάει: ἐν φωτί. λέγει τὴν σωτηρίαν M.

ib. συνήθως ὁ Εὐριπίδης] Tragicos dum dicit, prae ceteris Euripidem intelligit grammaticus. In scholio nondum edito ad Hom. Il. 18, 20. Ἱκανῶς ἐτάχυνε τὸν κακάγγελον ἐν ὀλίγοις τέσσαρσι στίχοις, καὶ ἐν βραχεῖ πάντα ἐδήλωσε, τὸν ἀποθανόντα, τοὺς ὑπερμαχομένους, τὸν ἀποκτείναντα, οὐκ ἐζήλωσαν δὲ τοῦτον οἱ τραγικοὶ, ἀλλὰ τοῖς λυπουμένοις μακρὰς ἐπάγουσι τὰς διηγήσεις τῶν συμφορῶν· suo tamen, quem hic noster commemorat, more Homericum exprimere conatur Euripides VALCK.

11. πάλιν (αὐτῶν add. A.) A.C.M. δὲ B.I.

ib. ὁ om. A.

ib. προειπὼν post στίχῳ B.I.

12. ὕστερον om. M.

17. τάδε ἢ] ἢ om. Bar.

18. τὸ δὲ παίδων] ἢ Bar.

1343. παίδων: λείπει ἡ περί· τὰ περὶ τῶν παίδων κατὰ τὴν αὐτὴν συμφορὰν ὀλωλότων; B.M.I.

1344. ὥστ᾽ ἐκδακρῦσαι: ναὶ ἤκουσαν, ὥστε δακρῦσαι, εἰ αἴσθησιν εἶχον τὰ οἰκήματα. I. οἷον εἰ ἐφρόνει τὰ οἰκήματα, ἐδάκρυσεν ἂν τὰς συμφοράς. A.C.M.I. φρονοῦντ᾽: αἰσθανόμενα. B.

1345. βαρυποτμωτάτας: δυστυχεστάτης. M. τῆς βαρυποτμωτάτης ἤγουν δυστυχεστάτης. πότμος καὶ δαίμων τὸ αὐτό. καὶ δυσδαίμων καὶ δύσποτμος δηλοῖ τὸ αὐτὸ καὶ βαρυδαίμων καὶ βαρύποτμος πάλιν τὸ αὐτό. ἔστι δὲ βαρυδαίμων ὁ βαρεῖαν ἔχων τύχην, δυσδαίμων δὲ ὁ κακὴν ἔχων τύχην· κακὴ δὲ τύχη καὶ βαρεῖα ταυτὸν, ὥστε καὶ δυσδαίμων καὶ βαρυδαίμων ταυτόν. μέγα δὲ γίνεται τὸ τμω, διὰ τὸ μέτρον μὲν, ὅμως οὐκ ἀλόγως, ἐπεὶ ἡ πρὸ αὐτοῦ συλλαβὴ δύναται μακρὰ εἶναι ἡ αὐτὴ καὶ βραχεῖα. Gr. Cant.

1347. εἰ καὶ τὰ πρὸς τούτοισί γ᾽ εἰδείης κακά: τί ἐρεῖς; δηλονότι. I. μάθοις. M. γνωρίσαις, τί ἐρεῖς δηλονότι; Gr. Florr. ἔτι μᾶλλον βοήσῃ τοῦτο. Gu.

1348. δυσποτμώτερα: δυστυχέστερα. M. Gr. I. ἀνάγετε: ὑψοῦτε θρῆνον, καὶ κτύπον λευκοπήχεων χειρῶν. τὸ ἀνάγετε ἀπὸ κοινοῦ. I. ἀνεγείρετε, ἄνω ἄγετε, ἀναλαμβάνετε, ἀναβάλλεσθε, ἀντὶ τοῦ προοιμιάζεσθε. A.M. ἀνεγείρετε, ἄνω ἄγετε τοὺς κτύπους τοὺς ἐκ τῶν λευκοπηχῶν χειρῶν γινομένους. Fl. 33.

1351. ἐπὶ κάρα: γρ. ἐπὶ κρᾶτα. M. ἐπὶ κρᾶτά τε λευκοπήχεις κτύπους: τὸ ἀνάγετε ἀπὸ κοινοῦ. λευκοπήχεις δ᾽ ἂν λέγοι τοὺς διὰ τῶν λευκοπηχέων χειρῶν, ἵνα ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον λέγῃ· ἐν γὰρ ταῖς συμφοραῖς αἰκιζόμεθα τὸ σῶμα, ὡς ἂν ἐξ αὐτῶν διδαχθέντες μὴ χρῄζειν τοῦ σώματος, ἀλλὰ ἀπαλλαγῆναι τοῦ βίου, μάλιστα δὲ ἐπὶ τῆς κεφαλῆς τοῦτο ποιοῦμεν, ὡς ἂν ἐπὶ κεφαλαιωδε-

1. κατὰ—ὀλωλότων om. B.M.
3. καὶ ἤκουσαν] Puto: ναὶ ἤκουσαν ἄν. Certe Gu. suprascriptum habet ναὶ εἰσήκουσαν. et in marg. Gr. ἤκουσαν ἂν, εἰ φρον. ἐτύγχ. ἤγουν εἰ αἴσθησιν εἶχον, ὥστε δακρῦσαι ἕνεκα τῆς τῶν κακῶν δυστυχίας. MATTH.
4. οἷον, εἰ ἐφρόνει] διεφρόνει C.
ib. ἐδάκρυσεν] ἐδάκρυσαν M.
8. δηλοῖ] δηλονότι Gr.
ib. αὐτὸ καὶ] ἔστι δὲ add. Cant.
9. ἔχων τύχην] τύχην ἔχων Gr.
11. ταυτόν] τὸ αὐτό Gr.
19. ἀναλαμβάνετε om. A.
23. τὸ—κοινοῦ et δ᾽ om. M. In A.B. est ἀπὸ κοινοῦ τὸ ἀνάγετε.
ib. λέγοι] λέγοιτο C.
24. λέγῃ] λέγει C.
27. τῆς κεφαλῆς] τοῖς κεφαλαίοις C.
ib. τοῦτο ποιοῦμεν om. C.

στάτῳ καὶ αἰσθητικωτάτῳ τοῦ σώματος μέρει. A.C.M. κτύπους: τοὺς κτύπους τοὺς ἐκ τῶν χειρῶν γινομένους. M.

1352. ὦ τλῆμον: ὦ ἀθλία Ἰοκάστη, οἷον τέλος τοῦ βίου καὶ τῶν γάμων ὑπέμεινας διὰ τοὺς αἰνιγμοὺς τῆς Σφιγγός. λείπει γὰρ ἡ διά. A.B.C.M.I. αἰνιγμοὺς ἔτλης: τοὺς λόγους τοὺς ἔχοντας ἀποκεκρυμμένην τὴν διάνοιαν. C.M.

1355. ἀρᾶς τ' ἀγώνισμ' Οἰδίπου: τὸ κατάραμα. τουτέστιν, εἰπέ μοι πῶς ἀπέβη ἡ κατάρα τοῦ Οἰδίποδος. A.B.C.I. τοῖς παισὶν ὁ ἀγὼν πῶς πέπρακται, οἷον ὁ ἐκ τῆς ἀρᾶς πόλεμος· ἐκ γὰρ τοῦ Οἰδίποδος ταῦτ' ἐνόσουν· ἢ τὸ ἀποτέλεσμα τῆς ἀρᾶς τοῦ πατρός. A. B.C.M. Ἄλλως. ὁ πόλεμός τε ὁ ἐκ τῆς ἀρᾶς τοῦ Οἰδίποδος αὐτοῖς ἐπιών. ἢ οὕτως, τὸ κατόρθωμα τῆς ἀρᾶς τοῦ Οἰδίποδος. A. οὐ μάτην ἄρα, φησὶν, ὁ Οἰδίπους κατηράσατο· εἰς ἔργον γὰρ ἐχώρησαν αἱ ἀραί. C. ἀγώνισμα ὁ ἀγὼν, ἤγουν ἡ πρᾶξις αὐτὴ τοῦ ἀγῶνος, ὥσπερ βάδισμα ἡ πορεία, καὶ ᾆσμα ἡ ᾠδή. ὥσπερ δὲ λέγεται ἔργον ἡ πρᾶξις, λέγεται δὲ καὶ τὸ πραττόμενον πρᾶγμα, οὕτω λέγεται ἀγώνισμα καὶ τὸ ἀποβαῖνον ἔργον ἀπὸ τοῦ ἀγῶνος, ὃ βούλεται δηλοῦν ἐνταῦθα· ἤγουν καὶ τὸ ἀνυσθὲν ἔργον τῶν καταρῶν τοῦ Οἰδίποδος, τουτέστιν ὃ ἤνυσεν ἡ κατάρα τοῦ Οἰδίποδος. Gr. Cant. ὁ γὰρ φόνος ἀγώνισμα καὶ οἷον κατόρθωμα ἦν τῶν Οἰδίποδος ἀρῶν. Gu.

1356. τὰ μὲν πρὸ πύργων εὐτυχήματα γινώσκεις· λέγει δὲ τὴν νίκην, ἣν ἐνίκησαν πρὸ τῶν πυλῶν τῆς πόλεως. Gr. I.

1357. οἶσθ' οὐ: τινὲς εἰς τὸ οὐ στίζουσιν· οὐκ οἶσθα, φησὶ, τὰ πρὸ τῶν πύργων εὐτυχήματα· μακρὰν γάρ εἰσιν. Ἄλλως. καλῶς

1. καὶ αἰσθητικωτάτῳ om. M.

ib. μέρει] μέρους A.

3. ὦ ἀθλία Ἰοκάστη om. A.C.M.

4. τοὺς αἰνιγμοὺς] τὸ αἴνιγμα C. "In Gr. ὦ τλ. ἰοκάστη, οἷον τέλος τῆς ζωῆς καὶ τῶν σῶν γ. ὑπέμ. καὶ οἵους δηλονότι αἰνιγμοὺς, ἤγουν οἷα αἰνίγματα τῆς σφιγγὸς ὑπέμεινας; In Gu. οἷον τέλος τῆς ζωῆς ἔσχες διὰ τόν τε σὸν παράνομον γάμον καὶ τὰ σφιγγὸς αἰνίγματα, ἃ οἰδίπους εὑρὼν ξυνεγένετό σοι;" MATTH.

ib. λείπει γὰρ ἡ διά hic om. B.I., sed gl. λείπει ἡ διά habet B.

5. ἔτλης: τοὺς] δὲ λέγει τοὺς A.

8. τοῖς παισὶν—οἷον M. ὁ ἐκ τῆς ἀρᾶς τοῦ οἰδίποδος τοῖς παισὶν ἀγὼν C. ἄλλως. ὁ ἐκ τῆς κατάρας τοῦ οἰδίποδος τοῖς παισὶν ἀγὼν A.

10. ταῦτ' om. A. in lacuna.

12. Ista, οὐ μάτην ἄρα—αἱ ἀραί, quae alio loco legebantur in C., huc retulit Valck. MATTH.

18. τῶν καταρῶν] τῆς κατάρας Bar.

21. λ. δὲ τὴν ν.] τὴν ν. λ. Gr. praecedentibus omissis.

22. τῶν πυλῶν] τῶν om I.

24. μακρὰν] μακρὰ C.I.

ib. εἰσίν] Ἄλλως. τειχέων — τοῖς τείχεσι hic addunt B.I. quae infra leguntur in A.C.M.

οὖν καὶ διὰ πιθανῆς ἀφορμῆς τὰ προειρημένα ὑπὸ τοῦ πρώτου ἀγγέλου ἐσιώπησεν. ἡ δὲ διάνοια, τὰ μὲν πρὸ τῶν τειχῶν εὐτυχήματα τῆς πόλεως, καθὸ ἐνικήσαμεν κοινῇ τοὺς Ἀργείους, οἶδας δηλαδή. A. B.C.M.I. πόθεν δὲ οἶμαι εἰδέναι σε; οὐ μακρὰν γὰρ τειχέων περιπτυχαί. ἡ δὲ περίφρασις ἐκ τοῦ περιφράσσειν καὶ οἷον περιπτύσσεσθαι καὶ περικυκλοῦν τὴν πόλιν. περιλαμβάνονται γὰρ αἱ πόλεις τοῖς τείχεσιν. A.C.M.I. τειχέων περιπτυχαί: περιφραστικῶς τὰ τείχη. οὐ μακράν εἰσιν, ὥστε μὴ οὐχὶ πάντα εἰδέναι τὰ δρώμενα, λείπει γὰρ τὸ μή. B.C.M.I.

οὐ μακρὰν γάρ: οὐ μακρὰν γάρ εἰσι, τοῦ τόπου δηλονότι ἔνθα ἐγένετο ἡ νίκη, οἱ περίβολοι τῶν τειχῶν, ἔνθα ἦσθα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1358. ὥστ' οὐχ ἅπαντα: τὸ ὡς ἀντὶ τῆς πρός. λείπει ἡ μή, ἵν' ᾖ οὕτως, πρὸς τὸ μὴ εἰδέναι σε τὰ πραττόμενα. M. ὥστε μὴ εἰδέναι σε πάντα τὰ πραττόμενα. Gr. Florr. iidem.

1359. ἐπεὶ δὲ χαλκέοις: ἐπεὶ δὲ σιδηροῖς ὅπλοις ἐκοσμήσαντο τὸ σῶμα, ἀντὶ τοῦ τὰ σώματα, τουτέστιν ἐπεὶ ὡπλίσαντο. Gr. Bar.

1360. νεανίαι: ἀντὶ τοῦ οἱ παῖδες. Gr.

1361. ἔστησαν ἐλθόντες: ἐλθόντες εἰς τὸ μέσον τοῦ μεταιχμίου ἔστησαν. Gr. Bar.

1362. ὡς εἰς αἰῶνα: γράφεται "μονομάχου τ' ἀλκὴν δορός."

1. οὖν A.C.M. δὲ B.I.

ib. διὰ πιθανῆς—ἐσιώπησεν] Haec etiam in Gu.

ib. ὑπὸ] ἀπὸ A.C.M.

ib. πρώτου om. C.

3. τῆς πόλεως om. I.

ib. καθὸ A.B.C. καθ' ὃ M. ὡς I. Gl. ὡς ἐν.—ἀργείους est in Gu.

ib. κοινῇ om. M. κοινοὶ A.

ib. εἶδας δηλαδή A.C M. δηλαδὴ οἶδας B. δηλαδή post ἐνικήσαμεν habet I. Post haec verba in B.I. additum οὐ γὰρ μακρὰν τὰ τείχη ὡς μὴ πάντα σε εἰδέναι.

4. πόθεν—ἐκ τοῦ] ἄλλως τειχέων περιπτυχαὶ περιφραστικῶς τὰ τείχη ἐκ τοῦ I.

ib. εἰδέναι σε] σε εἰδέναι A.C.

ib. γὰρ—περιπτυχαί] γὰρ εἰσὶ τὰ τείχη A.C.

5. ἐκ τοῦ—περικυκλοῦν] ἐκ τοῦ οἷον (οἷον om. C.) περιπτύσσεσθαι (περιπτύχεσθαι A.) καὶ κυκλοῦν A.C.I.

6. γὰρ post παραλαμβάνονται (sic) om. C.

8. μὴ οὐχὶ] οὐχ A., omisso μή.

ib. πάντα] ἅπαντας A. πάντας B.I.

ib. εἰδέναι om. C.

9. λείπει γὰρ (γὰρ om. A.) τὸ μή om. M.

ib. τὸ μή] His A.C. addunt ἡ δὲ περίφρασις ἐκ τοῦ περιπτύσσεσθαι καὶ κυκλοῦν τὴν πόλιν, quae ex superioribus repetita.

21. γράφεται μονομάχου τ' ἀλκὴν δορός] Haec King. ad sequens scholion e Bar. retulit. Deest in Gr. quippe qui μονομάχου τ' ἀλκὴν δορός in textu habet. MATTH. M. in

Fl. 33. παρῆλθον εἰς τὸ μέσον, ὡς εἰς ἀγῶνα δορὸς καὶ ἀλκὴν μονομαχίου. A.B.M.I. ἤγουν εἰς μάχην ἀντιπαρατάξεως μονομάχον, ἣν αὐτοὶ δηλονότι ἔμελλον ἀντιπαρατάξασθαι πρὸς ἀλλήλους μονομαχοῦντες. Gr. Bar. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1363. δισσὼ στρατηγὼ καὶ διπλῶ στρατηλάτα: ἐκ παραλλήλου τὸ αὐτό. M.

1364.—1369. βλέψας δ' ἐς Ἄργος: τὸν νοῦν ἐκεῖσε ἔχων. A.B.C.M. τὸν νοῦν ἐκεῖσε ἔχων ἀφῆκεν εὐχὰς ὁ Πολυνείκης λέγων, ὦ σεβασμία Ἥρα, σός εἰμι· ἐπολιτογραφήθην γὰρ παρὰ σοὶ, ἐμαυτῷ ζεύξας, ἀντὶ τοῦ εἰς ζεῦξιν λαβὼν, τὴν παῖδα τοῦ Ἀδράστου, καὶ οἰκῶ τὴν σὴν χθόνα. δὸς, ὦ Ἥρα, ἐμοὶ κτεῖναι τὸν ἀδελφὸν καὶ καθαιμάξαι τὴν ἐμὴν δεξιὰν νικηφόρον, τὴν ἀντήρη, ἤτοι τὴν ἐκείνῳ ἐναντίαν. κακίστην αἰτῶ νίκην τὸν ἀδελφὸν φονεῦσαι. ἄκρως δὲ δηλοῖ ἦθος ἀνδρὸς μεμφομένου ἑαυτὸν ἐπὶ ὠμότητι. I.

1364. βλέψας δ' ἐς Ἄργος: εἰς Ἄργος δὲ βλέψαι λέγει τὸν Πολυνείκην, οἷον ἐπὶ τὸν στρατὸν τῶν Ἀργείων, ἢ εἰς τὸ κλίμα τοῦ Ἄργους. ὡς ἂν Ἀργεῖος δὲ γεγονὼς τῇ Ἥρᾳ εὔχεται Ἀργείᾳ οὔσῃ καὶ πατρίᾳ θεᾷ. A.C.M. διὰ τοῦ νοὸς, ὡς ἐνταῦθα τιμωμένης τῆς Ἥρας. Gu.

1365. σὸς γάρ εἰμ': ἀντὶ τοῦ ἐπολιτογραφήθην παρὰ σοί. A.B.M.

1366. ἔζευξ' Ἀδράστῳ: ἀντὶ τοῦ εἰς ζεῦξιν ἔλαβον, ἐζεύχθην τῷ παιδὶ τοῦ Ἀδράστου. λείπει δὲ τῇ Ἀργείᾳ. B.M.

1367. ἀντήρη: ἐπιρρηματικῶς ἀντὶ τοῦ κατὰ τὴν ἀντιπαράταξιν. Gr.Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἐξ ἐναντίας ὁρμῶσαν. Gu. τὴν ἐκείνῳ ἐναντίαν. B.M.

1368. δεξιὰν νικηφόρον: δεξιὰν χεῖρα νικηφόρον γενομένην. Gr. Cant. Florr. iidem.

textu habet μονομαχεῖν ἀλκὴν δορός, A. μονομαχοῦντ' ἀλκὴν δορός, adscripto a m. sec. μονομάχου τὴν ἀλκήν.

1. παρῆλθον B. παρῆλθε δὲ M. προῆλθον I.

ib. μονομαχίου] μονομάχου M.

2. ἤγουν] καὶ Gr. ἤγουν καὶ Bar.

12. ἄκρως δηλοῖ—ὠμότητι] Haec etiam B.M. ad v. 1369.

14. λέγει post πολυνείκην M.

15. τὸ κλίμα] τὴν κλίμακα C.

16. ὡς ἂν—θεᾷ] ὡς ἂν ἀργεῖος δὲ γεγονὼς τῇ ἀργείᾳ εὔχεται καὶ πατρῴῳ θεᾷ ἥρᾳ A. ὡς ἀργείοις δὲ τῇ ἀργεῖα ἔρχεται καὶ πατρῶα θεὰ ἥρα (sic) C.

19. ἀντὶ τοῦ ἐ.] ἐ. γὰρ B.

20. ἐζεύχθην—Ἀργείᾳ om.B.

1369. *αἴσχιστον*: *ἄκρως δηλοῖ ἦθος ἀνδρὸς μεμφομένου ἑαυτὸν ἐπ' ὠμότητι.* A.B. *παροιμία.* Gr. Florr. iidem.

1370. *πολλοῖς δ' ἐπῄει*: *τοσαῦτα, φησὶν, ἐπῄει δάκρυα τοῖς πολλοῖς, ὅση τῆς τύχης ἡ συμφορὰ τοῖς μονομαχοῦσι, τουτέστι συμφώνως τῇ κατ' αὐτοὺς τύχῃ ἐδάκρυον οἱ ἐκτός. Ἄλλως. πολλοῖς δὲ ἐπῄει δάκρυα τῆς τύχης ὅση. λείπει γὰρ τὸ ἕνεκα, ἕνεκα τῆς τύχης ἡλίκη ἦν.* A.B.C.M.I. *Ἄλλως. πολλοῖς δὲ δάκρυα ἐπήρχετο τὴν τύχην αὐτῶν ἐννοοῦσιν ὅση ἦν.* A.C.M.I. *Ἄλλως. πολλοὶ δὲ τῶν λεγομένων ὑφ' αὐτῶν τῆς δυστυχίας αὐτῶν τὸ μέγεθος ἐδάκρυον.* A.C. *ἕνεκα τῆς τύχης τῶν ἀθλίων ἀδελφῶν, ὅση ἦν καὶ ὁποία· διὰ τὸ μέγεθος τῆς δυστυχίας.* Cant. *ἤγουν διὰ τὸν ὄγκον τῆς δυστυχίας· τὸ γὰρ δακρύειν διὰ τὴν ποσότητα τῆς δυστυχίας ὄγκον πάντως ἐμφαίνει τῆς δυστυχίας.* Gr. Bar.

1371. *κἄβλεψαν*: *οἰκτρὸν γὰρ θέαμα μονομαχοῦντας ἀδελφοὺς ἰδεῖν, οἷς καὶ τὸ νικᾶν καὶ τὸ ἡττᾶσθαι δεινὸν ἦν. Ἄλλως. ἐμφαίνεται ὁ κατὰ ἀλήθειαν θυμὸς πικρίαν ἐνδεικνύμενος διὰ τοῦ βλέμματος.* A.B.C.M.I.

διαδόντες κόρας: *ἀντὶ τοῦ πλάγια βλέψαντες καὶ φοβερά.* Florr. *πρὸς ἀλλήλους διαβιβάσαντες τὸ βλέμμα.* Gr. Cant.

1372. *χρυσάσπιδος*: *πολεμικῆς.* Fl. 59.

1373. *βλέψας πρὸς οἶκον*: *καὶ οὗτος τῷ νῷ εἰς τὸ ἱερὸν τῆς*

1. ἑαυτὸν A. ἑαυτοῦ B.

3. τοῖς πολλοῖς] τῆς πολλῆς C. sed bis superscripto οι.

4. ὅση—μονομαχοῦσι] ὃ σημαίνει τοῖς μονομαχοῦσι τῆς τύχης ἦν συμφορὰ A.

ib. τῆς τύχης C. Fl. 33. ταῖς τύχαις B.M.I., non C., de quo fallitur Valck.

ib. ἡ M. Fl. 33. ἦν B.C.I.

5. Ἄλλως.—τῆς τύχης ὅση om. A. M. Ἄλλως—ἡλίκη ἦν om. C.

6. γὰρ om. A.

ib. ἕνεκα M. ἕνεκεν B.I. : sed ἕνεκα in gl. interl. B. Alterum ἕνεκα ego addidi.

7. ἡλίκη Matth. pro ἡ δίκη.

ib. Ἄλλως om. B.C.I qui lemma repetunt πολλοῖς δ' ἐπῄει, omisso δὲ post πολλοῖς.

9. ὑφ' αὐτῶν—] Haec quid sibi vellent exputare nequibat Valck. Fortasse leg. ὑπὸ τῶν λεγομένων ὑπ' αὐτοῦ τ. δ. αὐτοῦ τὸ μ. ἐδ. In seq. dedi τῆς δυστυχίας pro αὐτῆς δυστ. MATTH.

14. γὰρ om. M.

15. ἰδεῖν] ἦν ἰδεῖν I.

ib. νικᾶν] ἡττᾶν I.

ib. καὶ τὸ] τὸ om. B.

ib. δεινὸν] οἰκτρὸν I.

16. ὁ κατὰ] καὶ κατὰ I.

ib. τοῦ (τοῦ om. A.) βλέμματος] τὰ βλέμματα M.

18. In M. gl. ἀντὶ τοῦ βλέψαντες πλάγια φοβερά.

21. τῷ νῷ A.C. τῷ νῦν M. νῦν I.

᾿Αθηνᾶς ἀποβλέψας τὸ ἐν Θήβαις. A.B.C.M.I. ηὔξατο: λέγων. Gr. κόρη: θυγάτηρ. Gr.

1374. ἡμῖν: ἐμοί. Gu. καλλίνικον: νικηφόρον. Gr. ἐκ παραλλήλου τὸ αὐτό. M.

1375. ἐς στέρν'—βαλεῖν: λέγω βαλεῖν αὐτὸ εἰς τὰ στέρνα τοῦ ἐμοῦ ἀδελφοῦ ἀπὸ τῆσδε τῆς ὠλένης, ἤγουν τῆς χειρός. Gr. Cant.

1377. ἐπεὶ δ' ἀφείθη: πρὸ γὰρ τῆς εὑρέσεως τῆς σάλπιγγος ἐν ταῖς μάχαις καὶ τοῖς μονομαχοῦσιν ἐν μέσῳ τις λαμπάδα καιομένην ἔρριπτε, σημεῖον τοῦ κατάρξασθαι τῆς μάχης. τούτῳ οὖν τῷ σημείῳ ἀντὶ σάλπιγγος κἂν τοῖς περὶ ᾿Ετεοκλέα χρόνοις ἐχρῶντο. A.C.M. ὕστερον δὲ μετὰ τὰ Τρωϊκὰ καὶ τὴν εἰς γῆν ῾Ρωμαίαν Αἰνείου κατοίκησιν Τυρρηνοὶ τὴν σάλπιγγα ἐφεῦρον ἐν τοῖς ᾿Ιταλικοῖς πολέμοις, ὅθεν καὶ Τυρρηνὶς ἡ σάλπιγξ ἐκλήθη. τὸ οὖν τούτῳ αὐτὸν χρῆσθαι ἀντὶ σάλπιγγος ἀφ' ἑαυτοῦ ἐμφαίνων ὁ ποιητής φησιν. οὐ γὰρ δεῖ εἰς τὸ τοῦ ἀγγέλου πρόσωπον τοῦτο ἀναφέρεσθαι, εἴ γε ὅλως οὔπω ᾔδεσαν τὴν σάλπιγγα. τὸ δὲ ἑξῆς, ἐπειδὴ ἀφείθη ἡ λαμπὰς εἰς σημεῖον τῆς φοινίας μάχης, ταὐτὸ δηλοῦσα τῇ ὕστερον ἐπινοηθείσῃ ἠχῇ τῆς σάλπιγγος, δηλαδὴ τὸ κατάρχεσθαι τῆς μάχης. A.M. ῎Αλλως. οἱ ῞Ελληνες ἐπὶ τοῦ Τρωϊκοῦ πολέμου οὐκ ἐχρῶντο ταύτῃ. ῞Ομηρος γοῦν αὐτὸς μὲν οἶδε τὴν σάλπιγγα, οὐ ποιεῖ δὲ χρωμένους σάλπιγγι τοὺς ἥρωας. πρῶτος δὲ ᾿Αρχώνδας συμμαχῶν τοῖς ῾Ηρα-

1. ἀποβλέψας] ἀποβλεψάντων C.
8. καὶ τοῖς μονομαχοῦσιν] κἂν τοῖς μονομάχοις (μονομαχίοις recte Valck.) δὲν (i. e. δὲ) A.C.
ib. ἐν μέσῳ] ἐμμέσω M.
10. σ. κἂν τοῖς—χρόνοις] κἀπὶ τὸν — χρόνον A.C. κἀπὶ τῶν — χρόνων Valck.
11. καὶ τὴν—κατοίκησιν] τὴν κατοίκησιν εἰς γῆν ῥωμαίαν αἰνείου A.
12. ἐφεῦρον] ἐξεῦρον A.
13. τὸ οὖν] τῷ οὖν M.
ib. αὐτὸν χρῆσθαι] αὐτοὺς χρᾶσθαι A.
14. ἀφ'] ἐξ A.
ib. ἐμφαίνων ὁ ποιητής] ὁ ποιητὴς ἐμφαίνει A.
ib. δεῖ] δὴ M. δεῖ σε A.
16. ἐπειδὴ ἀφείθη] ἐπεὶ ἐρρίφθη A.
19. ῎Αλλως—῞Ομηρος] ἐπεὶ δ' ἀφείθη: ἐπὶ τῶν ἑπτὰ ἐπὶ θήβας οὔπω ἐχρῶντο τῇ σάλπιγγι (οἱ add. A.) ἕλληνες, ἀλλ' οὐδὲ ἐπὶ τοῦ τρωϊκοῦ πολέμου. ὅμηρος A.B.I.
20. γοῦν A.B.M. δὲ I.
ib. τὴν σάλπιγγα] τὴν om. B.I.
ib. χ. σάλπιγγι M. σάλπιγγι χ. A.I.
21. τοὺς ἥρωας] τοὺς om. A.
ib. ᾿Αρχώνδας] ἀρχαίωνδ M. cum compendio terminationis. ἀρχαιώνδας A. ἀρχίδας B.I. Correxit Valck. "᾿Αρχίδας erat in edd. Aug. codice destituto mihi reponere licebit ᾿Αρχώνδας, si licuit Barnesio scribere ᾿Αριχώνδας. Legerat forte

κλείδαις ἤγαγεν εἰς Ἕλληνας τὴν Τυρσηνικὴν σάλπιγγα. ἐχρῶντο οὖν κατὰ τὸ παλαιὸν ἐν τοῖς πολέμοις ἀντὶ σαλπιγκτῶν πυρφόροις· οὗτοι δὲ ἦσαν Ἄρεως ἱερεῖς, ἑκατέρας στρατιᾶς προηγούμενοι μετὰ λαμπάδος, ἣν ἀφιέντες εἰς τὸ μεταίχμιον ἀνεχώρουν ἀκίνδυνοι· καὶ

Barnes. in Rhodigini L. A. 19, 9. *Tyrrhenicas tubas: quas omnium primus Arichondas opem Heraclidis ferens intulit Graeciae:* hic ista repererat in schol. ad Sophoclis Aj. v. 17. πρῶτος Ἀριχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις ἤγαγεν εἰς Ἕλληνας τὴν Τυρσηνικὴν σάλπιγγα, quae de commentario Phoenissarum illuc transcripta suspicor: nec Athenaeus uspiam, neque Eustathius, invitante licet occasione, hujus rei meminerunt. Suidae, dum more suo scholion describit in Sophoclis versum v. Κώδων, auctor non Arichondas, sed recte dicitur Ἀρχώνδας. Idem nomen est Ἀρχωνίδας (Sophroni restituendum in excerptis ex Apollonii grammatica quae dicitur, p. 431 c. Ἐμὲ δ' Ἀρχωνίδας ἴαλλε παρ' ἔμε.) et Ἀρχώνδας. Hanc Doricam nominis formam alteri a Barnesio receptae me recte praetulisse fatebuntur, quibus innotuerunt Ἡρώνδας· Φιλώνδας· Δαιτώνδας· Σθενώνδας· Ἑρμαιώνδας· Χαρώνδας· Φρυνώνδας· Ἐπαμινώνδας." VALCK.

p. 347. l. 21. Ἡρακλείδαις—ἐν τοῖς πολέμοις om. A.

1. εἰς Ἕλληνας hic B.M., post σάλπιγγα I.

2. σαλπιγκτῶν] σαλπίγγ M.

3. ἦσαν ἄρειος ἱερεῖς M. ἱεροὶ ἦσαν ἄρεως (ἄρειος A.) A.I. "In Gr. Florr. 5. 6. 9. 21. 56. 59. 76. Mosq. πυρφόροι ἦσαν (οἱ add. Mosq.) ἱεροὶ τοῦ Ἄρεος ἑκατέρας στρατιᾶς προηγούμενοι μετὰ λαμπάδων, ἃς ἀφ. εἰς τὸ μεταίχμιον ἀνεχώρουν ἀκίνδυνοι. ἅμα δὲ τῷ ῥιφῆναι τὰς λαμπάδας συνέβαλον τὴν μάχην αἱ στρατιαί. διεσώζοντο δὲ οἱ πυρφόροι, ὡς ἱεροὶ τοῦ Ἄρεος, εἰ καὶ πάντες ἀπώλοντο· ὅθεν παροιμία ἐπὶ (Gr. ἐστὶ) τῶν ἀπολλυμένων δι' ὅλου στρατευμάτων, οὐδὲ πυρφόρος ἐσώθη. (οὐδὲ πυρφόροι ἐσώθησαν Mosq.) Haec a v. ἅμα δὲ τῷ ῥ. vulgatis substituit King. sed edidit ῥιφθῆναι et post πάντες addidit οἱ ἄλλοι, quod merito ridet Valcken. Indidem μετὰ λαμπάδων, ἃς recepit King. pro μ. λαμπάδος, ἥν." MATTH.

ib. προηγούμενοι — πυρφόρος ἐσώθη] προπολεμοῦντες. ἄλλως. ἐπεὶ ἐρρίφη λαμπὰς εἰς σημεῖον τῆς φονίου μάχης ταὐτὸ δηλοῦσι τῇ ὕστερον ἐπινοηθείσῃ ἠχῇ τῆς σάλπιγγος δηλαδὴ τὸ κατάρχεσθαι τῆς μάχης. (Haec infra repetuntur in alio scholio) ἡγούμενοι μετὰ λαμπάδος, ἣν ἀφέντες εἰς μεταίχμιον ἀνεχώρουν. ἀκίνδυνος δὲ οὕτως συνέβαλλον αἱ στρατιαί. διεσώζοντο δὲ οἱ πυρφόροι ὡς ἱεροὶ τῇ θεῷ—ἀπολλωμένων, οὐδὲ πυρροφόροι ἔσωθεν A.

ib. μετὰ λαμπάδος, ἥν] Igniferi suam quisque facem quatiebant. Numerus singularis non offendit homines eruditos hoc utentes scholio, Io Hartungum Thes. Critici vol. 2. p. 659. Andream Schottum, ad Zenobii Prov. p. 128. Io. Meursium comm. in Lycophr. v. 1295. (quocum conf. G. I. Vossii Inst. Orat. 5, 11, 7.) Casp. Barthium Anim. ad Statii Theb. 4, 5. Kingium tamen offendit, vulgatis substituentem μετὰ λαμπάδων, ἃς—. In schol. ad v. 344. idem illum posuisse memini pro vulgato μετὰ λαμπάδος. Ipsi poëtae, qui huc alludunt, face fuerunt vel lampade contenti: καὶ λαμπάδα e Suida restituendum Zenobio Prov. 5, 34. et Diogeniano 7, 15. VALCK.

4. λαμπάδος] λαμπάδων M.

οὕτω συνέβαλλον αἱ στρατιαί. διεσώζοντο δὲ οἱ πυρφόροι, ὡς ἱεροὶ τοῦ θεοῦ, εἰ καὶ πάντες ἀπώλοντο· ὅθεν παροιμία ἐπὶ τῶν ἄρδην ἀπολλυμένων "οὐδὲ πυρφόρος ἐσώθη." Ἄλλως. πυρσός ἐστιν ἡ λαμπάς, ἣν ἀνατείνουσιν ἐν νυκτὶ σημεῖον τοῦ χρῆναι πολεμεῖν. νῦν δὲ οὐκ ἐπὶ τῆς λαμπάδος τέθεικε τὴν λέξιν, ἀλλ' ἐπὶ σημείου ἁπλῶς· ἡμέρας γὰρ οὔσης περιττὸν ἦν λαμπάδι σημῆναι, ἀλλ' αὐτῇ σάλπιγγι μόνον. Καὶ ἄλλως. ἀντὶ τοῦ μεγάλως, ὡς τῶν Τυρσηνῶν γεγωνότερον τῇ σάλπιγγι χρωμένων. ὁ δὲ νοῦς, ἐπεὶ δὲ ἀφείθη τὸ σημεῖον τῆς μάχης ὡς Τυρσηνικῆς σάλπιγγος ἠχῇ, σῆμα τῆς φονικῆς μάχης, ὥρμησαν δρόμον χαλεπὸν κατ' ἀλλήλων. A.B.M.I.

ἐπεὶ δ' ἀφείθη: πρὶν εὑρεθῆναι τὴν σάλπιγγα πρὸς τοὺς πολέμους λαμπάσιν ἐχρῶντο σημείῳ τοῦ κατάρξασθαι τῆς μάχης, ἃς ἔφερον δύο ἱερεῖς Ἄρεος, ἐξ ἑκατέρων ὄντες τῶν στρατευμάτων, οὓς καὶ μόνους ἀθῴους ἐν μάχαις εἴων· ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἄρδην ἀπολλυμένων λεγομένη "οὐδὲ πυρφόρος ἐσώθη." ὕστερον δὲ πρὸς τοὺς Ἰταλικοὺς πολέμους Τυρσηνοὶ τὴν σάλπιγγα εὗρον, ὅθεν καὶ Τυρσηνικὴ σάλπιγξ κέκληται. ἐν δὲ τοῖς Ἐτεοκλέους χρόνοις

1. διεσώζοντο B.M. ἐσώζοντο I.

2. εἰ καὶ] εἰς A. καὶ εἰ M.

ib. ἀπολλυμένων] ἀπολλωμένων A. ἀπολλομένων M. quam formam passim praebent quorumvis scriptorum codices, exiguo tamen exemplorum numero, ut tutius sit rectam verbi formam nbique servare, etsi fieri potest ut infimae aetatis grammatici vitioso isto ἀπόλλεσθαι usi sint.

4. νῦν δὲ (οὖν A.) οὐκ—σάλπιγγι μόνον addidi ex A.B.

5. ἁπλῶς] ἁπλοῦ A.

6. λαμπάδι — μόνον] τῇ σάλπιγγι σημῆναι οὐ τῇ λαμπάδι A.

ib. αὐτῇ] Corrige οὐ τῇ.

7. Καὶ ἄλλως] καὶ om. A.

ib. Τυρσηνῶν A.B.M. τυρσηνικῶν I. Conf. schol. Soph. Aj. 17.

8. ἐπεὶ δὲ A.B.M. ἐπειδὴ I.

9. τῆς μάχης add. A.M.

ib. σῆμα τῆς—ἀλλήλων om. A.B.M. Est fortasse supplementum Arsenii.

16. Τυρσηνοὶ τὴν σάλπιγγα εὗρον] Praeter alia, ex Leid. in melius mutata, insertum paulo ante ἐν μάχαις, hic Τυρσηνὲς mutatum in Τυρσηνοί,— Italica namque bella impedient quominus quis forte mallet, Τυρσηνὸς τὴν σάλπιγγα εὗρεν· memor Pausaniam scripsisse 2, 21, 3. Τυρσηνὸν σάλπιγγα εὑρεῖν πρῶτον· Hyginnm fab. 274. *Tyrrhenus Herculis F. tubam primus invenit.* inventi gloria cnm civibus fuit communicata: *Tyrrhenis* plerique tribuerunt: vid. Muncker. ad Hygin. et Wesseling. ad Diodor. Sic. 1. p. 362. aevo quoque recentiori celebres erant αἱ παρὰ τοῖς Τυρρηνοῖς ἐργασίαι, φιλοτέχνων ὄντων τῶν Τυρρηνῶν. Athen. 15. p. 700 c. Critias apud enmdem 1. p. 28 c. Τυρσηνὴ δὲ κρατεῖ χρυσότυπος φιάλη, καὶ πᾶς χαλκὸς, ὅτις κοσμεῖ δόμον ἔν τινι χρείᾳ. VALCK.

17. Ultima ἐν δὲ τοῖς Ἐτ. χρ. etc. e Gu. addidi. King. dederat ἐχρῶντο,

χρόνοις καὶ λαμπάσι καὶ σάλπιγξιν ἐχρῶντο. δῆλον δὲ ἐκ τοῦ πρόσθεν εἰρημένου τῷ ποιητῇ "παιὰν δὲ καὶ σάλπιγγες ἐκελάδουν ὁμοῦ." Gu. Leid. Bar.

1379. ἦξαν: συνέβαλον. B.

1380. κάπροι δ' ὅπως: ὡς κάπροι δὲ θήγοντες ἀγρίαν σιαγόνα, ἀντὶ τοῦ τοὺς ὀδόντας, ὑπὸ ἀφροῦ διάβροχοι τὰς σιαγόνας συνέβαλον. Gr. Cant. θήγοντες: ἀκονήσαντες. M. ἀκονοῦντες. Gr. τὸ θήγοντες τὴν ἀγρίαν γένυν καὶ τὸ ἀφρῷ διάβροχοι γενειάδας πρὸς τὸ κάπροι, οὕτως· συνῆψαν δὲ ἀλλήλοις οὕτως, ὥσπερ κάπροι τὰ καὶ τὰ ποιοῦντες. Gu. ἀγρίαν: τῷ ἀγρίῳ ἐναντίον τὸ ἥμερον. Gr. Bar.

1381. ξυνῆψαν, ἀφρῷ: λείπει ὁ γάρ. Καὶ ἄλλως. συνῆψαν μάχην, ὡς κάπροι τὰς γενειάδας ἀφρῷ διάβροχοι, καὶ τὴν ἀγρίαν γένυν θήγοντες· ἐπὶ γὰρ τῶν κάπρων ἀμφότερα ληπτέον, τό τε θήγοντες καὶ τὸ διάβροχοι γενειάδας. A.B.M.I. λείπει μάχην. M.

1382. ἦσσον δὲ λόγχαις: ἀντὶ τοῦ ὥρμων, ἀπὸ τοῦ ἀΐσσω. B.I. ὥρμων δὲ κατ' ἀλλήλων τὰς λόγχας ἀκοντίζοντες· ἀλλ' ἑκάτερος ἐν τῷ βάλλειν τὸν ἕτερον ὑπεκαθέζετο τῷ τῆς ἀσπίδος κύκλῳ, ἵνα αὐτὸν ὑπερπηδῆσαν τὸ δόρυ καὶ ὀλισθῆσαν τῷ κύκλῳ τῆς ἀσπίδος μάταιον καὶ ἀνεπίτευκτον γένηται. A.B.M.I. ὑφίζανον: ἀντὶ τοῦ ἐκάθιζον καὶ ἐκρύπτοντο ὑπὸ ταῖς ἀσπίσι. M. συνεστέλλοντο ὑπὸ ταῖς ἀσπίσιν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ὑπεκάθηντο, ἐκρύπτοντο. Gu.

1383. ἐξολισθάνοι μάτην: ἐκφεύγοι μηδὲν ἀνύουσα. Gr. Florr. iidem. ἐκπίπτοι. Gu.

1384. εἰ δ' ὄμμ' ὑπερσχόν: εἰ δὲ ἴδοι ὁ ἕτερος τὸ πρόσωπον τοῦ

σημεῖον et ἐν μάχαις omiserat post ἀθῴους. Emendavit Valck. e Leid. quocum conspirat Gu. Iidem codd. Ἰταλικοὺς pro ταλικοὺς et Τυρσηνοὶ pro Τυρσηνέςς. MATTH.

1. πρόσθεν] 1102.

12. λείπει] συνῆψαν μάχην. ἄλλως. λείπει A.

ib. Καὶ ἄλλως om. M. καὶ om. A.

ib. συνῆψαν] ξυνῆψαν B M.

13. διάβροχοι] διαβρόχους M.

14. θήγοντες] θίγοντες A. et mox θίγον (sic).

15. γενειάδας om. A.M.

16. ἀντὶ τοῦ om. B.

17. ὥρμων δὲ κ. ἀ. A.M. κ. ἀ. δὲ ὥρμων B.I.

ib. τὰς λόγχας] ταῖς λόγχαις A.

20. γένηται] γένοιτο A.

26. ἴδοι] ἴδῃ I. In Gr. et Florr. gl. ἀντὶ τοῦ ἴδοι, in Gu. ἔμαθεν, εἶδεν.

ib. ὁ ἕτερος τὸ πρόσωπον] ἕτερος τὸ ὄμμα A.M.

ἄλλου ὑπεράνω τῆς ἀσπίδος, ἐκίνει τὴν λόγχην. A.B.M.I. Ἄλλως. εἰ δὲ ὁ ἕτερος τὸ ὄμμα τῆς περιφερείας ὑπερσχὸν ἠβουλήθη θεάσασθαι, ὁ ἕτερος τὴν λόγχην ἐκίνει, ὥστε τοῦτον πλῆξαι τῷ στόματι. ὄμμα δέ φησιν ἀπὸ μέρους τὸ πρόσωπον. B.I.

εἰ δ' ὄμμ' ὑπερσχόν: ὄμμα φησὶν ἀπὸ μέρους τὸ ὅλον πρόσωπον. εἰ ἴδοι ὁ ἕτερος, εἰ αἴσθοιτο τοῦ ἑτέρου τὸ ὄμμα ὑπερανατεῖναν τῆς περιφερείας τοῦ ὅπλου, ἐν τῷ κατασκοπεῖν ἐκεῖνον ἀνατείναντα καὶ ἀκοντίζοντα, εὐθέως ἠκόντιζε κατ' αὐτοῦ, βουλόμενος, πρὶν ἐκεῖνον αἰσθηθέντα τῆς βολῆς καταδῦναι, προλαβεῖν κατὰ τοῦ στόματος καὶ καιρίαν ποιήσασθαι τὴν βολήν, κατὰ τοῦ στόματος ἀκοντίσας, εἴ που καὶ ὑπεισέλθοι ἢ διέλθοι τὸ στόμα αὐτοῦ τὸ δόρυ. A.C.M. ὑπερσχόν: ὑπερφανέν. Gu. ὑπερβάν. B. rec. ἴτυος: τῆς περιφερείας τῆς ἀσπίδος. M.

1385. λόγχην ἐνώμα: ἐπέφερε τῷ στόματι. B. τὴν αἰχμὴν τὴν ἑαυτοῦ ἐκίνει κατὰ τοῦ στόματος, προλαβεῖν θέλων αὐτὸν, πρὶν καλυφθῆναι δηλονότι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1386. ἀλλ' εὖ προσῆγον: διὰ τοῦτο, φησὶν, ἅμα καὶ ἐθεώρουν ἀλλήλους καὶ ἐξέκλινον, τὰ δόρατα ἐγκρύπτοντες ταῖς ἀσπίσι. A.C.M.

κεγχρώμασιν: κέγχρον καλοῦσι τὸν περὶ τὴν ἴτυν τῆς ἀσπίδος κόσμον. μικροὶ δὲ ἧλοί εἰσιν, οἳ ἐκ χρυσοῦ γίνονται. τινὲς δὲ μικρὰς ὀπὰς περὶ τὴν ἴτυν, δι' ὧν ἐθεῶντο τοὺς ἐναντίους. A.B.C.M.I.

ἀσπίδων κεγχρώμασιν: κεγχρώμασι, ταῖς ὀπαῖς, ταῖς ἐοικυίαις κέγχρῳ ἐν τέλει. ὑποκάτω γὰρ τῆς ἀσπίδος εὑρεῖαι οὖσαι, εἰς στενὸν ἔληγον ἐν τῇ ἐπιφανείᾳ, ἵνα οἱ φέροντες τὰς ἀσπίδας αὐτοὶ μὲν δι' ἐκείνων τοὺς ἀντιπάλους ὁρῷεν, μὴ ὁρῷντο δὲ ὑπ' αὐτῶν.

1. ἐκίνει] ἠκόντιζε A.
5. ὅλον om. A.M.
6. ἴδοι] εἴδει A.C.
ib. αἴσθοιτε M. αἰσθηθείη A.C.
7. ἀνατείναντα] ἀνατείνοντα A.
8. πρὶν C.M., non πρὸ, ut Valck.
ib. ἐκεῖνον] ἐκείνου M
9. βολῆς] βουλῆς C.M.
ib. καταδῦναι A.M. καταδοῦναι C.
10. καὶ καιρίαν] τρῶσαι καὶ καιρίαν A. τρώσας κειρίαν C.
ib. κατὰ—ἀκοντίσας om. A.
10. βολὴν] βουλὴν C.
11. ὑπεισέλθοι] ὑπεισέλθῃ A.
ib. διέλθοι] διελθ A
ib. τὸ στόμα post αὐτοῦ A.M.
ib. δόρυ] ἄλλως addit M. in quo hic sequitur scholion praecedens. τὸ δόρυ om. A. qui post αὐτοῦ τὸ στόμα pergit, ἀλλ' ὡς ἴδοι ἕτερος etc.
17. διὰ τοῦτο A. διὰ τί C.M.
ib. ἅμα] ἅμα προῆγον A.
18. ἐγκρύπτοντες] ἐπιρριπτόμενοι A.
19. περὶ (ἐπὶ I.) τὴν ἴτυν τῆς ἀσπίδος] περὶ τῆς ἀσπίδος ἴτυν M.
20. μικροὶ δὲ] μικρ'' δὲ ὅτι C.

Gr. Bar. *τῷ κόσμῳ τῆς ἴτυος τῶν ἀσπίδων, ἤγουν ἔσω τῶν ἀσπίδων.* Gr. Cant.

1387. *ἀργόν: ὡς μὴ δύνασθαι τρῶσαι.* B.M.I. *κάτωθεν γὰρ ἦσαν τῶν ἀσπίδων.* M. *ἀργόν: ἀνενέργητον.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1388. *πλείων δ' ἐστάλασσ': πλείων δὲ ἱδρὼς ἐστάλαζε τοῖς ὁρῶσι διὰ τὸν φόβον τῶν φίλων ἢ τοῖς ἀγωνιζομένοις.* I.

1389. *ὀρρωδίαν: ἡ μεταφορὰ ἀπὸ τῆς περιστερᾶς, ἥτις δεδοικυῖα σείει τὴν οὐρὰν αὐτῆς.* C. *δειλίαν, φόβον.* M.

1390. *Ἐτεοκλέης: Ἐτεοκλέης δὲ διὰ τοῦ ποδὸς μετακινῶν πέτρον, ὑποκάτω τοῦ ἴχνους, ἤγουν τοῦ ποδὸς, αὐτὸν τὸν πόδα ἐκτὸς ἀσπίδος ἐποίησε. Πολυνείκης δὲ πληγὴν ἐναντίαν ἤγαγε διὰ τοῦ δόρατος, πόδα πληγῆναι δυνάμενον, τῇ αἰχμῇ παραδοθέντα, ἰδών.* Cant. *ἐν γὰρ τῷ πεδίῳ, ἐν ᾧ ἐμονομάχουν, πεφυκότος πέτρου, καὶ ἐμποδίζοντος Ἐτεοκλέα, τοῦτον βουλόμενος ἐκβαλεῖν, ἐπειρᾶτο διὰ τοῦ ποδὸς κινῶν· ὅθεν καὶ λαθὼν ἐξήγαγε τῆς ἀσπίδος τὸν πόδα, ὃν ἰδὼν εὐθὺς Πολυνείκης ἔτρωσεν.* Gu. Bar.

μεταψαίρων: μετακινῶν. B.I. *μεταφέρων, μετακινῶν τῷ ποδὶ λίθον.* M. *μεταφέρων αὐτὸν τῷ ποδὶ κατὰ τὸ λεληθὸς, οἱονεὶ παρασύρων. ἀπὸ τοῦ ψῶ, οὗ παράγωγον τὸ ψαύω. καὶ οἱ ναῦται ψαίρειν φασὶ τὸ ἄρμενον, ὅταν μὴ πολὺς ὁ ἄνεμος πνέῃ, ἀλλὰ μόνον ψαύῃ.* B.C.M.I. *ἐν σιωπῇ καὶ ἡσυχίᾳ, μεταφορικῶς ἀπὸ τῆς νηός.* Fl. 59.

1391. *ἴχνους ὑπόδρομον: περιφραστικῶς τὸ ἴχνος. ὑπόδρομον δὲ τὸ ἔξω ὑποδεδραμηκός.* A.B.C.M.I. *ὑποκάτω τοῦ ἴχνους, ἤγουν τοῦ ποδὸς αὐτοῦ, φερόμενον.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *τὸν ὑποκάτω τῆς πορείας τοῦ ποδός.* Gu. *ἤτοι ὑποδεδραμηκότα καὶ ὑποβεβηκότα τῷ ποδὶ τὸν λίθον, κοινῶς. Ἐτεοκλῆς τὸ κῶλον ἔξω τῆς ἀσπίδος τίθησι.* Fl. 33.

1392. *ἀπήντησεν δορί: πληγὴν ἐναντίαν ἤγαγε διὰ τοῦ δόρατος.* Gr. Mosq. *ἦλθεν, ἢ συνήντησεν.* Gu.

19. *μεταφέρων*] *μεταστρέφων* I.
ib. *αὐτὸν* additum ex C.
20. *παράγωγον*] *ἐστι* add. I.
ib. *τὸ* (*τοῦ* C.) *ψαύω*] *τὸ ψαίρω* Florr.
ib. *ψαίρειν φασὶ*] *φασὶ ψαίρειν* C.
21. *ὁ ἄνεμος* C. *ὁ* om. B.M.I.
ib. *ἀλλὰ—ψαύῃ* om. M.
24. *περιφραστικῶς*] *μεταφορικῶς* I.
25. *τὸ ἔξω*] *τὸ* om. B.C.

1393. πληγὴν σιδήρῳ: τόπον δυνατὸν πληγῆναι. Ἄλλως. ἰδὼν τὸν πόδα πρὸς τὸ πλήττεσθαι ἐπιτήδειον, ὅ ἐστιν ηὐτρεπισμένον τὸ σκέλος πρὸς τὸ τρωθῆναι ἰδών. A.B.C.M.I.

1394. διεπέρασεν: γρ. διεσπάρασσεν. B.

1395. ἐπηλάλαξε: ἤχησεν. I. ἀνηλάλαξε: ἀνεβόησε. Gr.

1396. κἀν τῷδε μόχθῳ: καὶ ἐκ τούτου ὑπὸ τοῦ μόχθου γυμνὸν τῆς ἀσπίδος τὸν ὦμον τοῦ Πολυνείκους θεασάμενος ὁ πρόσθεν τρωθεὶς Ἐτεοκλῆς εἰς τὰ στέρνα τοῦ Πολυνείκους ἔπεμψε σὺν βίᾳ τὴν λόγχην. λόγχην δὲ νῦν τὸ ξίφος· σύνηθες δὲ τοῦτο τοῖς τραγικοῖς. I. μόχθῳ: ἐν δὲ τῷδε τῷ μόχθῳ, τῇ τοῦ ἔργου περιχαρείᾳ καὶ διατριβῇ· ἢ τὸ ἐν τῷδε τῷ μόχθῳ, ἀντὶ τοῦ ἐν τῇ συμβάσῃ αὐτῷ πληγῇ. καὶ ἐν ταύτῃ τῇ ὀδύνῃ γυμνὸν τὸν ὦμον ἐκείνου ἰδών. ἀπὸ τοῦ ὤμου καὶ τὰ στέρνα νοεῖ γυμνούμενα. Gu. Bar. Leid.

1397. ὁ πρόσθε τρωθεὶς στέρνα Πολυνείκους βίᾳ: τρωθεὶς τῇ βίᾳ τοῦ Πολυνείκους, ἀντὶ τοῦ ὑπὸ τῆς βίας τοῦ Πολυνείκους τρωθεὶς διῆκε τὴν λόγχην τὰ στέρνα, ἀντὶ τοῦ διὰ τῶν στέρνων διῆκε τὴν λόγχην· ἢ λείπει ἡ εἰς, ἵν' ᾖ εἰς τὰ στέρνα. A.C.M. περιφραστικῶς ἀντὶ τοῦ τῷ Πολυνείκει. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. εἰς τὰ στήθη βιαίως καθῆκε τὸ δόρυ. A.B.C.I.

1398. διῆκε λόγχην: νῦν τὸ ξίφος. σύνηθες δὲ τοῦτο τοῖς τραγικοῖς. A.B.C.M. κἀπέδωκεν ἡδονάς: ἀντὶ τοῦ ἀπέδωκεν ἡδονὰς τοῖς οἰκοῦσι τὴν τοῦ Κάδμου πόλιν, ἤγουν τοῖς Θηβαίοις. Gr. Cant.

1399. ἀπὸ δ' ἔθραυσ' ἄκρον δόρυ: ἀπεκλάσθη δὲ τὸ δόρυ μὴ δυνηθὲν περᾶσαι τὸν θώρακα. A.B.C. Gu. I. τὸ ἑαυτοῦ δὲ δόρυ

1. τόπον—Ἄλλως om. B.C. In Gr. est gl. πόδα πληγῆναι δυνάμενον τῇ αἰχμῇ παραδοθέντα ἰδών.

2. πλήττεσθαι] πλήσσεσθαι I.

ib. ὅ ἐστιν] καὶ A.

ib. ηὐτρεπισμένον] εὐτρεπισμένον A. B.C.M.I.

3. πρὸς τὸ τρωθῆναι om. A.

4. διεσπάρασσεν] διεπάρασσεν (sic) B.

10. In Gu. verba sunt, τῇ τοῦ ἔργ. περιχαρείᾳ—πληγῇ, in Gr. καὶ ἐν ταύτῃ τῇ ὀδ.—γυμνούμενα. Ex Gu. τὸ ante ἐν τῷδε τῷ (τῷ om. Gu.) μ. et ἐν ante τῇ συμβάσῃ addidi. MATTH.

14. τρωθεὶς] ὁ ἐτεοκλῆς ὁ πρῶτον τρωθεὶς A.

15. ὑπὸ] ὑπὲρ C.

17. λείπει ἡ om. C. Verba ἀντὶ τοῦ στέρνων ἢ λείπει ἡ εἰς, ἵν' ᾖ εἰς στέρνα habet etiam B. In A. est ἀντὶ τοῦ διὰ στέρνων, ἢ λείπει—εἰς στέρνα.

19. βιαίως] βίᾳ ὡς I. βίαι ὡς B.

ib. καθῆκε post τὸ δόρυ A.I.

20. διῆκε λόγχην] διῆκεν ἔγχος A. Conf. lin. 9.

24. ἀπεκλάσθη δὲ] δὲ om. B.I.

ib. περᾶσαι—δόρυ] διαπερᾶσαι. ἄκρον δόρυ: τὸ ἑαυτοῦ δόρυ A. et servato περᾶσαι τὸν θώρακα C. περᾶσαι ante μὴ Gu. δὲ post ἑαυτοῦ om. etiam M.

ἀπεκλασε, τῇ σφοδρᾷ ῥύμῃ τρώσας. A.B.C.M.I. ἄκρον δόρυ: τὸ ἔχον τὸν σίδηρον. Gu.

1400. εἰς δ' ἄπορον: εἰς δ' ἀπορίαν. Gr. Cant. ἥκων: ἀντὶ τοῦ ἐλθών. Gr. Cant. Ὅμηρος "δώσω δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν." Gu. ἐπὶ σκέλος: ἐπὶ πόδα. Gr. Cant. ἀνὰ πόδα, ὄπισθεν, ὀπίσω τὸν πόδα ἐκίνησεν. Gu. τουτέστιν εἰς τοὐπίσω πάλιν τὸ σκέλος ἀνῆκε καὶ ὑπανεχώρει. τὸ δὲ πάλιν ἀντὶ τοῦ εἰς τοὐπίσω χωρεῖ. ἐπὶ σκέλος λέγω τὸ ὀπίσω ἀναχωρεῖν μὴ δόντα τοῖς πολεμίοις τὰ νῶτα· ὅμοιον τὸ "ὀλίγον γόνυ γουνὸς ἀμείβων." τοῦτο δ' ἐν ταῖς ναυμαχίαις πρύμναν κρούεσθαί φασιν οἱ συγγραφεῖς. A. C.M. παρὰ πόδα βαίνει, ἀντὶ τοῦ πλησίον ἀκολουθεῖ, ἐπὶ πόδα δὲ ἀναχωρεῖ, ἀντὶ τοῦ εἰς τοὐπίσω ἀνατρέχει. Gr. Bar. Mosq.

1401. μάρμαρον πέτρον: εἶδος λίθου τὸ μάρμαρον. εἰπὼν οὖν πέτρον τὸ γένος ἀποδίδωσι καὶ τὸ εἶδος. Gr. Cant. στερρὸς λίθος. B.

1402. μέσον: κατὰ μέσον. Gr. Cant. ἄκοντα: τὸν κοντόν. Gr. Cant. τὸ δόρυ. Gu. κατὰ μέσον τὸν ἄκοντα τοῦ Πολυνείκους ἀπέκοψε τῷ πέτρῳ. M. Fl. 33. ἐξ ἴσου: μέτρου. Ἄρης: ὁ πόλεμος. Gr. Cant. ἴσος δὲ ὁ πόλεμος ἦν αὐτοῖς, μηδενὸς ἔχοντος δόρυ, ἀλλ' ἀπεστερημένων τὰς χεῖρας τοῦ δόρατος. Fl. 33. ἀγωγὸν τοῖς ἀκροαταῖς τὸ ἴσον ἀπονεῖμαι τῆς τύχης ἑκατέρῳ τῶν ἀγωνιζομένων. A.B.C.M.I.

1403. κάμακος: λόγχης, καταχρηστικῶς δὲ εἶπε τοῦτο· κάμαξ γὰρ εἶδος ἀκοντίου. Gu. Bar. ἀμφοῖν χεῖρ' ἀπεστερημένοιν: ἀμ-

4. Ὅμηρος] Il. 21, 340.

6. τουτέστιν—ἀντὶ τοῦ εἰς τοὐπίσω] Haec pars scholii est etiam in B. Contra M. incipit, ἐπὶ σκέλος πάλιν χωρεῖ, τουτέστιν εἰς τοὐπίσω χωρεῖ. ἐπὶ σκέλος λέγων etc.

ib. τοὐπίσω] τὸ πίσω C. hic et mox iterum. τὸ ὀπίσω A.

8. χωρεῖν] χωρεῖ M. χωρ̃ C.

ib. λέγω] λέγ̃ (i. e. λέγων) M. λέγει A.

ib. ἀναχωρεῖν non solum A.M., sed etiam C. cui χωρεῖν tribuit Valck.

9. ὀλίγον] Il. 11, 546.

17. κατὰ om. Fl. 33.

18. πέτρῳ M. λίθῳ Fl. 33.

19. ἴσος δὲ—δόρυ] Haec etiam in M.

21. ἀγωγὸν] ἐραγώνιον M. Fort. ἐναγώνιον.

ib. ἑκατέρῳ] ἑκάτερα A. ἑκατέρων C.

23. δὲ εἶπε om. Bar.

24. ἀμφοῖν — ἀμφοτέρων] ἀποστερημένοις (sic) δὲ ἤτοι ἀμφοτέρων B. In M. est ἡ κάμαξ θηλυκῶς τοῦ δόρατος ἀμφοτέρων ἐστερημένων τὰς χεῖρας τοῦ δόρατος.

φοτέρων ἀπεστερημένων τὰς χεῖρας τοῦ δόρατος. B.M.I. ἀμφοτέρων ἀπεστερημένων κατὰ τὴν χεῖρα. ὅμοιον τῷ "ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων." Bar.

1404.—1406. ἐνθένδε κώπας: ἀπὸ τούτου δὲ ἁρπάσαντες τὰς κώπας τῶν φασγάνων συνῆλθον, ἐγγὺς ἀλλήλων ἦλθον, συμβαλόντες δὲ τὰς ἀσπίδας καὶ ἀμφοτέροις τοῖς ποσὶ βάντες καὶ στάντες πολλὴν ταραχὴν ἐποίουν πρὸς ἑαυτοὺς ὡρμηκότες. I.

ἐνθένδε κώπας: μετὰ τοῦτο τὰς λαβὰς τῶν φασγάνων τάχιστα λαβόντες, ἀντὶ τοῦ τὰ φάσγανα τάχιστα σπασάμενοι. Gr. Gu. Florr.

1405. ἐς ταυτὸν ἧκον: ἀμφοτέροις τοῖς ποσὶ βάντες καὶ στάντες πολλὴν ταραχὴν ἐκίνουν πρὸς ἑαυτοὺς ὡρμηκότες. A.B.C.M. εἰς ἕν. Gr. Florr. iidem. ἐγγὺς ἀλλήλων. B. Gu. συμβαλόντε: συνάψαντες. Gr. Florr. iidem. συρράξαντες. Gu.

1406. ἀμφιβάντε: συστάντες. Gr. Florr. ἐνωθέντες. Gu.

1407. καί πως νοήσας: κατά τινα τρόπον εἰς νοῦν στρέψας. Gr. Cant. ἐνθυμηθείς. B. Gu.

1408. τὸ Θεσσαλὸν εἰσήγαγε σόφισμα: Θεσσαλὸν σόφισμα λέγεται ὅταν ποιῇ τις ἑαυτὸν εἶναι ἀσθενῆ, ὄντα ἰσχυρὸν, ἢ ὄντα πλούσιον, καὶ ποιῇ ἑαυτὸν πτωχόν. C. παροιμία τὸ Θεσσαλὸν σόφισμα, τάττεται δὲ ἐπὶ τοῦ παραλογίζεσθαι καὶ ἀπατᾶν· ποικίλοι γὰρ τὰ ἤθη οἱ Θεσσαλοὶ καὶ οὐκ ὀρθοὶ τὴν γνώμην. διαδοθῆναι δὲ τὴν παροιμίαν ἐντεῦθεν· Διοτίμῳ τῷ Θεσσαλῷ κατιέναι μέλλοντι λόγιον ἐξέπεσεν, ἐπιτηρεῖν μὴ λάθωσιν αὐτὸν οἱ ἐναντίοι μεῖζον εὐξάμενοι. σπεύδων οὖν ἐκείνους ὑπερβαλέσθαι καθ' ἑκατόμβης

8. ἐνθένδε—τῶν om. Gu., sed habet gl. ἐκ τοῦ μὴ ἔχειν λόγχας et λαβάς.
11. πολλὴν] πάλιν A.M.
ib. ὡρμηκότες] ὁρμηθέντες ἐγγὺς ἀλλήλων C.
18. ἢ ὄντα πλούσιον, καὶ ποιῇ Valck. ἢ εἶναι πλούσιον καὶ ποιεῖ C.
19. παροιμία—σόφισμα om. I.
20. ἐπὶ τοῦ] ἐπὶ τὸ C.
21. τὰ] κατὰ τὰ C.
ib. ἤθη] ἄνθη B., sed correctum a m. rec.
ib. διαδοθῆναι] δοθῆναι C.
22. ἐντεῦθεν] ἐν τῶι θεῶι M.
ib. Διοτίμῳ] Thessalus ille vocatur Aratus apud Suidam in Θεσσαλῶν σόφισμα, qui sua descripsit e Lex. Pausaniae; cujus partem huc spectantem servavit Eustath. in Il. B. p. 250. Legitur apud Zenob. Prov. 4. 29. διὰ τὸ τῷ Θετταλῷ λόγιον ἐκπεσεῖν· ubi nomen restituendum arbitror, quod excidit: διὰ τὸ Ἀράτῳ τῷ Θετταλῷ λ. ἐ. vel, Διοτίμῳ τῷ Θ. quae suspicio subnata Burmanno in Jove Fulgerat. p. 331. VALCK.
ib. μέλλοντι] μέλοντι M.
24. ἐκείνους (ἐκείνοις A.) ὑπερβαλέσθαι] ἐκεῖνος ὑπερβάλλεσθαι M.
ib. καθ' ἑκατόμβης ἀνδρῶν ηὔξατο]

ἀνδρῶν ηὔξατο καταιβασίῳ Ἀπόλλωνι. κατελθὼν δὲ εἰς θυσίαν ἀνθρώπους ἐλογίσατο μὴ πρέπειν θεῷ, μηδ' ἄλλως εὐαγὲς εἶναι, καὶ ὑπερέθετο. τοῦτο δὲ ἑκάστου ἔτους δρᾶν τοὺς Θεσσαλούς φασι, τὴν θυσίαν ὑπισχνουμένους ἀποδώσειν. ὁ οὖν Εὐριπίδης ἐπὶ τούτῳ τὸν Ἐτεοκλῆν σοφισάμενον τὸ Θεσσαλὸν παρέλαβε σόφισμα. λοιδορεῖ δὲ τοὺς Θεσσαλοὺς ὁ Εὐριπίδης

Πολλοὶ γάρ εἰσιν, ἀλλ' ἄπιστα Θεσσαλοῖς.

καὶ Ἀριστοφάνης ἐν Πλούτῳ

Ἔμπορος ἧκων ἐκ Θετταλίας παρὰ πλείστων ἀνδραποδιστῶν.

Hominum vovit hecatomben : Zenobius : ἑκατόμβην ἀνδρῶν ηὔξατο θυσίαν· atque ita fere Pausanias Eustatbii. Kusterus ad Aristopb. Equit. v. 667. docte hanc illuminat loquendi formam, a Casaubouo tamen ad eumdem locum jam explicitam, qui eamdem ad Persium attigerat p. 172. conf. Hemst. ad Luciani Timon. §. 7. p. 113. In hac saepe fuit locutione peccatum: vid. Scbottus ad Proverb. Vatic. Append. 2, 80. Diogen. 6, 55. ubi quod legitur, μηδὲν κατὰ βοὸς εὔξῃ] μὴ πάντα ἐπιτρέπειν ταῖς εὐχαῖς· libenter sic emendarim : μὴ ἀεὶ κατὰ βοὸς εὔξῃ· *noli semper vota concipere :* simillima feruntur dicta : αὐτός τι νῦν δρῶν, εἶτα τοὺς θεοὺς κάλει· et, σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει. Suidas : μὴ πάντα κατὰ βοὸς εὔξῃ· quae perverse sollicitabat Jo. Pricaeus ad Evang. Mattb. 6, 7. scribendum ratus, καταβοῶν· ut bic enasceretur sensus : *omnino clamans ne precare.* VALCK.

1. καταιβασίῳ [sic A.M.: καταιβίῳ B.I.] Ἀπόλλωνι] De Apolline καταιβάτῃ multa disputandi cap. ult. Jovis Fulgcrat. Burmanno materiem praebuit Barnesius ; qui, more suo, clanculum hic, in locum vulgatac lectionis καταιβίῳ, substituerat καταιβάτῃ· Barnesium Piers. Kingiusque sequuntur. καταβασίῳ legebatur in Aug. cod. literam interjeci. καταιβασίῳ praebuit etiam, quod Burmannum non latuit, Zenobius. Apollo καταιβάσιος fuit dictus, sicut ἐμβάσιος et ἐκβάσιος· Apollon. Rhod. 1, 966. ἐκβασίῳ βωμὸν θέσαν Ἀπόλλωνι· qui sequitur versus ex v. 1124. confictus poterat et ὑποβολιμαῖος videri. VALCK.

ib. κατελθὼν δ' εἰς θυσίαν] Deesse quaedam suspicor : ad sensum implendum quae requiruntur Zenobius et Suidas subministrabunt. VALCK.

2. πρέπειν] τρέπειν M.

ib. ἄλλως] ἄλλῃ M.

4. ὑπισχνουμένους] ὑπισχνουμένοις A.

ib. ἀποδώσειν add. B.C.M., om. A.I.

ib. ἐπὶ τούτῳ—ὁ Εὐριπίδης om. C.

ib. τούτῳ τὸν B.M. τῷ τὸν I. τούτων A.

5. ἐτεοκλὴν (boc accentu) M. πολυνείκη B. πολυνείκην I.

6. τοὺς Θεσσαλοὺς] τοὺς om. I.

ib. ὁ Εὐριπίδης] ὁ om. M.

7. ἄπιστα Θεσσαλοῖς] ἄπιστοι θεσσαλεῖς C.

ib. Θεσσαλοῖς] Hemst. ad scholia in Aristoph. Plut. p. 153. "Ab Euripide profectum auguror : πολλοὶ γάρ εἰσιν, (vel πάρεισιν, aut παρῆσαν) ἀλλ' ἄσιστα Θεσσαλῶν, vel Θετταλῶν· idque propius etiam accedit ad paroemiam memoratam." Θεσσαλῶν alteri quoque venit in mentem : vid. Miscell. Obs. 3. p. 105, 106. VALCK.

8. καὶ om. A.C.

ib. ἐν (ἐμ M.) Πλούτῳ] 521.

9. παρὰ] πᾶσα C.

καὶ ὁ ῥήτωρ "εἰσὶ τὰ τῶν Θετταλῶν ἄπιστα δήπου φύσει ταῦτα καὶ ἀεὶ πᾶσιν ἀνθρώποις." ὅτι δὲ καὶ φαρμακίδες εἰσὶν αἱ Θετταλαὶ Ἀριστοφάνης φησὶν ἐν Νεφέλαις

Γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλήν.

οὐχ ὡς τραφέντος δὲ τοῦ Ἐτεοκλέους ἐν Θετταλίᾳ, ἀλλ' ὡς ἐκ συντυχίας αὐτοῦ πεποιηκότος σχῆμα Θετταλικὸν, οὐχ ὡς Θετταλῶν οὕτω τιτρωσκόντων, ἀλλ' ὡς δι' ἀπάτης νικώντων. A.B.C.M.I. Ἄλλως. σόφισμα λέγει τὴν ἀπάτην, παρόσον οἱ Θετταλοὶ παραδίδονται ποικίλοι τὰ ἤθη. θέλει οὖν εἰπεῖν ὅτι σοφίσματι καὶ ἀπάτῃ ἐχρήσατο ὁ Ἐτεοκλῆς· ὑπονοήσας γὰρ τῆς συμπλοκῆς τὸν μὲν ἀριστερὸν πόδα λάθρα εἰς τοὐπίσω ἀνάγει, τὸ πρόσω τῆς γαστρὸς φυλάττων, τὸν δὲ δεξιὸν προβὰς καὶ ἐπικλίνας ἑαυτὸν, οὕτως ἔτρωσε διαμπάξ. A.C.M. ἤγουν μηχανὴν εἰσήγαγε τῇ μάχῃ, ἣν ἂν Θετταλὸς ἐπενόησεν· ἀφ' ὧν παροιμία, τὸ Θετταλικὸν σόφισμα. Gr. Cant. τὸ Θετταλὸν σόφισμα ἢ ἀντὶ τοῦ ὃ ποιοῦσιν οἱ Θετταλοὶ πρὸς πόλεμον, ἢ ἐπειδὴ καὶ οἱ Θετταλοὶ πανοῦργοι. ἣν δὲ καὶ ὁ Ἐτεοκλῆς ἐποίησε πρὸς τὸν Πολυνείκην πανουργία καὶ οἱονεὶ Θετταλικὸν σόφισμα. Gu.

ὁμιλίᾳ χθονός: ὡσεὶ ἔλεγεν ἑταιρείᾳ καὶ ἔρωτι τῆς πατρίδος· ὑπέμεινε σοφίσασθαι τὴν μάχην. ἤρα γὰρ πλέον τῆς πατρίδος, διὰ τὸ εἰθίσθαι ἄρχειν. τινὲς δὲ ὁμιλεῖν ἀντὶ τοῦ συμμαχεῖν. Ὅμηρος "καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον, ἐκ Πύλου ἐλθών." καὶ "νῦν δὲ

1. ῥήτωρ] Demosth. p. 15.
ib. Θετταλῶν] θεσσαλῶν M. τῶν om. I.
ib. ταῦτα—ἀνθρώποις om. M.
2. δὲ καὶ] καὶ om. M.
ib. αἱ Θετταλαί] οἱ θετταλοὶ M.
3. Ἀριστοφάνης] ὁ ἀριστοφάνης C.
ib. ἐν Νεφέλαις om. B.I. Est v. 747.
4. εἰ] εἰς A.M.
5. Θετταλίᾳ] θεσσαλίᾳ C.
ib. ἐκ συντυχίας] ἐν ξυντυχίᾳ I.
6. Θετταλικὸν A.B.C.M. θετταλὸν I.
ib. Θετταλῶν] θεσσαλῶν B.
7. οὕτω] οὕτως M.
ib. ἀλλ' ὡς δι'] ἀλλὰ δι' A.C.M.
8. Θετταλοὶ] θεσσαλοὶ A.
9. θέλει οὖν εἰπεῖν ὅτι M. λέγει οὖν C.
ib. ἀπάτῃ] ἀπάταις A.
10. γὰρ om. M.
11. λάθρα om. C.
ib. τὸ πρόσω M. καὶ πρόσω C. τὸ δὲ πρόσωπον A.
17. πανουργία Matth. pro πανουργίαν.
19. ἑταιρείᾳ B. ἑταιρίᾳ C.M. ὁμιλία I.
20. ὑπέμεινε—τῆς πατρίδος om. A.
21. Ὅμηρος] Il. 1, 269. et 5, 834. Ὅμηρος om. C.
22. μεθομίλεον] μεθομίλευον A.
ib. καὶ—ὁμιλεῖ om. A.
ib. νῦν δὲ M. νῦν μὲν B.C. νῦν solum I. et πρώτοισιν pro Τρώεσσιν.

μετὰ Τρώεσσιν ὁμιλεῖ." ὁμιλίᾳ οὖν ἀντὶ τοῦ συμμαχίᾳ, βοηθείᾳ. τουτέστι συμμαχῶν τῇ πατρίδι καὶ βοηθῶν ἐξεῦρε τὸ σόφισμα τοῦτο. A.B.C.M.I. συνελεύσει. Fl. 33. ἐπιθυμίᾳ τῆς βασιλείας. Gu. κλίσει, πλησιασμῷ πρὸς τὴν γῆν. Gr. τουτέστι πρὸς γῆν κάμψας τὸ γόνυ. Gu. Cant.

1409. ἐξαλλαγείς: ἀποστὰς, ἀπαλλαγεὶς τοῦ συσταδὴν μάχεσθαι. Gr. Cant. ἀπαλλαγεὶς τοῦ μάχεσθαι κατὰ σύστασιν. Gu.

1410. λαιὸν μέν: τοῦτό φησιν, ὅτι ἐάσας τὸ ἀντιπροσώπως μάχεσθαι ὀπίσω ἤνεγκε τὸν ἀριστερὸν πόδα, ἵνα πλάγιος εὑρεθεὶς καὶ μὴ ἀνθισταμένην ἔχων τὴν ἀσπίδα τοῦ Πολυνείκους κατὰ τὴν πλευρὰν αὐτὸν τρώσῃ. A.B.C.M. Gu. I.

1411. πρόσω τὰ κοῖλα: ἐναλλὰξ τοὺς πόδας τιθέμενος καὶ τὸν ἀριστερὸν εἰς τὸ ἔμπροσθεν φέρων, ὡς εἶναι πλάγιον καὶ μὴ βλάπτεσθαι τὰ κοῖλα τῆς γαστρὸς, ἐξ ἐναντίας ἱστάμενος, ὅ ἐστι τὰ περὶ τὴν λαγόνα φυλάττων. C.M. περιφραστικῶς τὴν λαγόνα τὸ βάθος τῆς κοιλίας. A.M. τὰ πρόσω κοῖλα τῆς ἑαυτοῦ γαστρὸς φυλάττων, τὰ περὶ τὴν λαγόνα. A.B.C.I. τὰ ἔμπροσθεν τῆς γαστρός. Gr. Mosq.

1412.—1418. προβὰς δέ: προτείνας δὲ τὸν δεξιὸν πόδα ἐνέβαλε τὸ ἔγχος διὰ τοῦ ὀμφαλοῦ, καὶ ἐνήρμοσε καὶ διεπέρασε μέχρι τοῦ σπονδύλου τῆς ῥάχεως. ἅμα δὲ κλίνας τὴν πλευρὰν καὶ τὴν γαστέρα σὺν σταλαγμοῖς αἱμάτων ἔπεσεν ὁ ἄθλιος Πολυνείκης. ὁ δὲ Ἐτεοκλῆς ὡς νενικηκὼς τὴν μάχην, ῥίψας τὸ ξίφος εἰς γῆν, ἐλαφυραγώγει αὐτὸν, τὸν νοῦν πρὸς τὸν Πολυνείκην οὐκ ἔχων, ἐκεῖσε δὲ πρὸς τὸ σκυλεύειν ἢ πρὸς τὸν νεκρὸν, ἢ πρὸς ἑαυτὸν, οἷον οὐκ ἔχων ἑαυτὸν, ὃ δὴ αὐτὸν ἀποτυχεῖν ἐποίησεν. I.

1412. προβὰς δὲ κῶλον; προβιβάσας τὸν πόδα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. προελθὼν κατὰ τὸν πόδα. Gu.

1. βοηθείᾳ] βοήθεια C. qui etiam ὁμιλία—συμμαχία.

8. ὅτι om. C.

9. εὑρεθεὶς A.B.M. et qui sola verba ἵνα—τρώσῃ habet Gu. εὑρεθῇς C. εὑρεθείη I.

10. κατὰ τὴν πλευρὰν] εὐμαρῶς Gu. Idem ἀσπίδα post Πολυνείκους.

11. αὐτὸν] αὐτοῦ C.

12. ἐναλλὰξ] τουτέστι τὸ σόφισμα ἐναλλὰξ A. τουτέστι τὸ σόφισμα ἐναλλὰξ ὡς C.

ib. τιθέμενος—τὸν ἀριστερὸν A.M. τιθέμενοι—τὸ ἀριστερὸν C.

13. φέρων] βλέπων A.

14. τὰ περὶ A.M. πᾶσαν C.

16. τὰ πρόσω] πρόσωπα C.

17. τὰ περὶ τὴν λαγόνα (λεγόμενα C.) A., om. B.I. qui τὰ περὶ τὴν λαγόνα φυλάσσων ante τὰ πρόσω habent.

1413. ἔγχος: ἀντὶ τοῦ τὸ ξίφος. Gr. Florr. iidem. σπάθην. Gu. σφονδύλοις τ' ἐνήρμοσεν: μέχρι τοῦ νώτου διεπέρασεν. Gu.

1414. κάμψας: κλίνας. Gr. νηδύν: γαστέρα. Gr.

1415. αἱματηραῖς: ἀπὸ τοῦ αἵματος σταζούσαις. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. σταγόσι: ῥανίσι. Gu. πιτνεῖ: πίπτει, ἀντὶ τοῦ ἔπεσεν. Gr.

1417. ἐσκύλευε: ἐσύλα, τὰ ὅπλα ἀφῄρει καὶ τὰ ἐνδύματα. Gr. Cant.

1418. τὸν νοῦν πρὸς αὐτὸν οὐκ ἔχων: πρὸς τὸν νεκρὸν, ἢ πρὸς ἑαυτὸν, οἷον οὐκ ἔχων ἑαυτόν. A.B.C.M. Ἄλλως. οὐ πρὸς τὸν νεκρὸν ἔχων τὸν νοῦν, ἀλλ' εἰς τὸ σκυλεύειν τὸν Πολυνείκην· ᾤετο γὰρ αὐτὸν εἶναι νεκρόν. A.B.C.M. Gu. I. ἐκεῖσε: εἰς τὸ σκυλεύειν. M.

1419. ἔσφηλε: σφαλῆναι ἐποίησεν. M. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἢ σφαγῆναι add. Gu.

1420. σώζων: οἷον κατέχων, μὴ ἀποβάλλων. M. φυλάσσων τὸ ξίφος τὸ ἑαυτοῦ ἐν σχετλίῳ, ἀλγεινῷ πτώματι. Gr. Cant. κατέχων, ἢ οὐκ ἐκ χειρὸς ῥίψας τὴν σπάθην. Gu. λυγρῷ: χαλεπῷ, ἐσχάτῳ. Gu.

1421. μόλις μέν: μόλις ἠδυνήθη λαβεῖν τὸ ξίφος καὶ βαλεῖν εἰς τὸ ἧπαρ αὐτοῦ. A.M. σὺν βίᾳ μὲν ἐξέτεινεν, ἐξέτεινε δὲ εἰς ἧπαρ, ἤγουν φέρων τῇ ἐκτάσει τῆς χειρὸς ὤθησεν. Gr. Cant.

1423. ὀδὰξ ἑλόντες: μετὰ τῶν ὀδόντων λαβόντες. πέλας: πλησίον. Gr. Cant. δηκτικῶς. B. rec.

1424. κοὐ διώρισαν: οὐκ ἐχώρισαν τὴν ἀρχήν· ἢ οὐκ ἐσαφήνισαν τὴν νίκην. I. οὐ διέκριναν, οὐκ ἐσαφήνισαν τὴν νίκην. M. τίνος ἦν ἡ νίκη. διεχώρισαν, ἤτοι εἰς ἀμφίβολον τὴν νίκην κατέστησαν. Gu. ἤγουν οὐκ ἐγνώσθη τίς ἦν ὁ νικήσας. Fl. 59.

1425. ΧΟ. τινὲς Κρέων. φεῦ φεῦ: ἕνεκα τῶν σῶν κακῶν, Οἰ-

10. ἔχων ἑαυτόν] ἔχων αὐτόν B.
ib. Ἄλλως—σκυλεύειν] ἢ πρὸς τὸν νεκρὸν, ἀλλὰ πρὸς (ἀλλὰ πρὸς etiam A.) τὸ σκυλεύειν Gu.
11. ᾤετο— νεκρόν om. C.
22. μετὰ] διὰ superscr. Gu.
25. οὐκ ἐ. τὴν νίκην etiam B. διέκριναν, ἐχώρισαν τὴν νίκην Gr. Cant.
28. ΧΟ.—Οἰδίπου] Haec etiam B.M. In A.C. φεῦ φεῦ. (φεῦ κακῶν σῶν A.) τινὲς κρέων. ἕνεκεν (ἕνεκα A.) τῶν σῶν κακῶν οἰδίπου. In textu M. οἰδίπου σὸς ὢν στένω cum γρ. ὅσον στένω, pariterque A., nisi quod in hoc γρ. ὅσον a m. sec. scriptum. Mox v. 1428. B.M. in textu ἐπεὶ τέκνω πεσόντ' ἐλιπέτην (recte ἐλεεπέτην B.) βίον cum γρ. in M. ὡς γὰρ πεσόντε παῖδε λιπέτην βίον, in B. vero γρ. ὡς γὰρ τέκνω πεσόντε λιπέτην βίον.

δίπου, ὅσον καὶ μέγα στενάζω· τὰς σὰς δὲ κατάρας ἔοικεν ἐκπληρώσειν ὁ θεός. I.

1426. ἐκπλῆσαι: τὰς σὰς δὲ κατάρας φαίνεται εἰς τέλος ἀγαγεῖν. Gr. πληρῶσαι. Gu.

1429. ἐν τῷδε: ἐν τοσούτῳ. B. Gu. προσπιτνεῖ: προσέρχεται. Florr. omnes. ἐπέρχεται. Gr. καταλαμβάνει. Gu.

1430. καὶ προθυμίᾳ ποδός: τῇ σπουδῇ. σπεύδει γὰρ καταλαβεῖν ἔτι ἐμπνέοντας. A.B.M. Gu. Fl. 21. ἤγουν καὶ σὺν σπουδῇ. Gr. Florr.

1431. καιρίους: θανασίμους, ἐπικαίρους, ἐπικινδύνους. M. θανατηφόρους. Gu. σφαγάς: πληγάς. Gr. Florr.

1432. βοηδρόμος: ὁ μετὰ βοῆς καὶ ἑτέρους προκαλούμενος εἰς βοήθειαν, ἢ ὁ ἐν τῇ βοῇ, ἤγουν ἐν τῷ πολέμῳ, τρέχων. I. ὑστέρα βοηδρόμος πάρειμι: τελευταία βοηθὸς παραγέγονα. I. βοηθὸς, καθ' ὃν οὐκ ἔδει καιρόν. Ἄλλως. ἡ γὰρ ἔξοδος αὕτη γέγονεν οὐκ εἰς διάλυσιν μάχης, ἀλλ' εἰς θέαν τῆς τελευτῆς. B.C.M. Florr. ὑστέρα: βραδεῖα. Gu. βοηδρόμος: βοηθός. Gr. βραδεῖα βοηθός. M. τουτέστι σπεύδουσα ἀπαλλάξαι ὑμᾶς τῆς μάχης ὑστέρισα. Gu.

1433. προσπίτνουσα δ' ἐν μέρει τέκνα: ἐξ ἴσου γὰρ ἡ λύπη ἐπὶ τέκνων, οὐχ ἧσσων ἐπὶ τῷ ἀδικοῦντι. B.M. Fl. 33. προσπίπτουσα καὶ ἀνακαλοῦσα τὰ τέκνα ἑκάτερον ἀνὰ μέρος. Gr. Cant.

1434. τὸν πολὺν μαστῶν πόνον: ἤγουν ὃν οἱ μαστοὶ αὐτῆς ἐπόνησαν ἀνατρέφοντες. Gr. Bar.

1435. ἀδελφή θ': καὶ ἡ ἀδελφὴ αὐτῶν ἡ Ἀντιγόνη, ἡ παρασπίζουσα ὁμοῦ, ἀντὶ τοῦ ἡ συνοῦσα, στένουσα ἀνεκάλει δηλονότι αὐτοὺς ἑκάτερον ἀνὰ μέρος. Gr. Bar. παρασπίζουσα: βοηθοῦσα, ὑπηρε-

7. τῇ—ἐμπνέοντας] σὺν παρθένῳ, σπεύδει γὰρ ἐν σπουδῇ καταλαβεῖν ἔτι ἐμπνέοντας A. ἔσπευδε γὰρ αὐτοὺς κ. ἔτι ἐ. Gu.

14. βοηθὸς καθ' — Ἄλλως om. Florr.

15. καθ' ὃν οὐκ om. C. Pro eo οὐκ ἂν est in B.

ib. ἔξοδος] ἐξοχὴ M.

16. θέαν] διάλυσιν M.

20. ἐξ] ἐν μέρει δὲ ἀντὶ τοῦ ἐξ B., omisso lemmate.

22. ἀνακαλοῦσα Gu. ἀνακλαίουσα Cant. Conf. ad 1435.

27. παρασπίζουσα] Huc pertinere videntur quae in Gu. inter versus 1433. et 1434. adscripta sunt: τῶν ἀδελφῶν δηλονότι· τὸ γὰρ κλαίειν ὑπὲρ ἐκείνων ὑπερασπισμὸς ἦν. MATTH.

τουμένη. M. διυπηρετουμένη, πλησιάζουσα. I. συμπονοῦσα καὶ συναγωνιζομένη αὐτῇ πρὸς τὸ κλαίειν. Gu. συναναστένουσα. Mosq.

1436. ὦ γηροβοσκὼ μητρός: λείπει τὸ, ταῦτα λέγουσα. B.M.I. οἷον ὀφείλοντες ἐν γήρᾳ τὴν μητέρα θρέψαι καὶ προδόντες τοὺς γάμους τῆς ἀδελφῆς, τουτέστιν οἱ γαμοστολήσαντες. A.B.M. Fl. 33.

1436. προδόντ': ἀπολύσαντες. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1437. στέρνων δ' ἄπο: ἀπὸ τῶν στέρνων δὲ στεναγμὸν ἀναπέμψας δυσκαρτέρητον, ὃν δυσκόλως ἄν τις ἤνεγκε μὴ δακρύσας, ἤκουσε τῆς μητρός. Gr. Bar.

1438. ἀνείς: ἀφείς. M. ἀναπέμψας. I. δύστλητον: δυσέκπνευστον. B.M.I. δυστυχές. Gu.

1439. ὑγρὰν χέρα: τῷ αἵματι ὑγράν. B.M. ὑγρὰν ὑπὸ τοῦ αἵματος. γράφεται καὶ λυγράν, ἤτοι χαλεπήν. I. ὑγράν: διὰ τὴν ἐκ τῆς πληγῆς ἀσθένειαν. Gu. ἡ χεὶρ διὰ τὸ αἷμα. ἐπιθεὶς τῷ προσώπῳ τὴν ᾑματωμένην χεῖρα. Fl. 33.

1440. φωνὴν μὲν οὐκ ἀφῆκεν: ἀφῆκε βέλος ἀντὶ τοῦ ἔπεμψε· φωνὴν δὲ ἀφῆκεν ἀντὶ τοῦ ἐξήνεγκε· μέλος δὲ ἀφῆκεν ἀπὸ κιθάρας ἀντὶ τοῦ ἤχησεν. Gr. Cant.

1441. δακρύοις: διὰ δακρύων, οὕτως ὥστε δηλῶσαι διάθεσιν προσφιλῆ. Gr. Cant. ὥστε σημῆναι: ὡς δηλῶν ὅτι ἀσπάζεσθαι τὴν μητέρα βούλεται. B.M.I.

1442. ἔμπνους: ζῶν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1443. εἶπε Πολυνείκης τάδε: τὸ Πολυνείκης πρὸς τὸ ἦν ἔτ' ἔμπνους σύναπτε. Gu. Bar.

1446. φίλος γὰρ ἐχθρὸς ἐγένετ': φίλος γὰρ ὢν ἀπὸ τῆς φύσεως ἐχθρὸς ἐγένετο τῇ γνώμῃ. Gr. Bar. κύκλος το σχῆμα. Gu.

1448. θυμουμένην: ὀργιζομένην κατ' ἐμοῦ. Gr. Cant.

1449. παρηγορεῖτον: παραινεῖτε, ἵνα τύχω τῆς γῆς τῆς πατρῴας κἂν κατὰ τοσοῦτον, ἤγουν κατὰ τὸ ταφῆναι ἐν αὐτῇ. Gr. Cant.

4. λέγουσα] ἡ παρασπίζουσα δὲ ἀντὶ τοῦ διυπηρετουμένη hic addit B.

5. οἷον] οἱ M.

ib. τὴν μητέρα post θρέψαι M. qui post μητέρα inserit illa, λείπει τὸ ταῦτα λέγουσα.

6. τουτέστιν] ὅ ἐστιν A.

ib. γαμοστολήσαντες A.B. γαμοστολίσαντες M. Fl.

8. ἀπὸ τῶν στέρνων δὲ om. Gr.

9. ἤκουσε τῆς μητρός om. Gr.

11. δυσέκ.] ἀντὶ τοῦ δυσέκ. B.

21. δηλῶν] δῆλον ἦν M.

καὶ τοὺς πολίτας τοῦ κατ' ἐμοῦ μίσους παύσατε. B.M. Gu. *παραμυθεῖσθε, παραπείσασθε, ἵνα τύχω τοῦ θάπτεσθαι εἰς τὴν πατρίδα.* Fl. 33. *παραμυθεῖσθε, παρηγορεῖτε.* M. *παραπείθετε.* Fl. 33. *ὡς τοσόνδε γοῦν τύχω: γρ. καὶ τοσόνδε δὴ τύχω.* B.M. *ὁ δὲ νοῦς, ἵνα κἂν τούτου τύχω τοῦ θάπτεσθαι εἰς τὴν πατρίδα.* B.C.M.I.

1450. *κεἰ δόμους ἀπώλεσα: καὶ εἰ τοὺς δόμους τῆς γῆς, ἀντὶ τοῦ τὴν βασιλείαν, ἀπέβαλον.* Gr. Cant.

1451. *ξυνάρμοσον: κάλυψον.* I. *συγκάλυψον.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *ξυνάρμοσον: τοὺς ὀφθαλμοὺς κάλυψον, λαβοῦσα τοὺς περιβάλλοντας τὸ ὄμμα ὑμένας.* Gu.

1452. *τίθησι δ' αὐτός: τοῦτο διὰ μέσου ὁ ποιητής· τὰς χεῖρας τὰς τῆς μητρὸς ἐπιτιθεὶς τοῖς ὄμμασιν ἑαυτοῦ λέγει τὸ χαίρετε.* A.B.C.M.I.

1453. *περιβάλλει: περιλαμβάνει.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *περικαλύπτει.* Gu. *περικλείει.* Fl. 33. *σκότος: τὸ τοῦ θανάτου.* Gu. Bar.

1454. *ἄθλιον βίον: τὴν ἀθλίαν πνοήν, ἤγουν ζωήν.* Gr. Cant.

1456. *ὑπερπαθήσασ': ὑπεραλγήσασα.* (I.) *δεινοπαθήσασα.* B. M. Gr. Cant. *λίαν καταπεισθεῖσα τῷ πάθει.* Gu. *λίαν ὀδυνηθεῖσα.* Fl. 33.

ὑπερπαθήσασ' ἥρπασ' ἐκ νεκρῶν ξίφος: Ὅμηρός φησιν αὐτὴν ἀγχόνῃ ἀπολέσθαι, " μητέρα δ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην, ἢ μέγα ἔργον ἔρεξεν" καὶ τὰ ἑξῆς " ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου." A.B.M.I.

1457. *δεινά: χαλεπά.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *εἰς ἑαυτήν* add. Gu. *αὐχένος: ἀντὶ τοῦ λαιμοῦ αὐτῆς.* Gr. Florr. iidem.

1. *ἐμοῦ*] *ἐμὲ* B. Gu. In A. *ἐν γῇ πατρῴᾳ: καὶ τοὺς πολίτας τοῦ κατ' ἐμοῦ μίσους παύσατε, ἵνα κἂν τοῦτο τύχω.*

2. *παραπείσασθε*] *παρασπείσασθε* Fl. *παραπείσατε* Matth.

4. *τοσόνδε δὴ* B. *τὸ σὸν δὲ δὴ* M.

ib. *ὁ δὲ*] *δὲ* om. I.

5. *τούτου* om. C. qui post *πατρίδα* addit *ἵνα κατὰ τοσοῦτον.*

8. *συγκάλυψον*] Idem voluit glossator rec. in B. qui super *ξυνάρμοσον* scripsit *αρμοσον* sine accentu.

11. *τὰς χεῖρας τὰς* (*τᾶς* I.) *τῆς* om. M., *τῆς* om. I., alterum *τὰς* om. C.

12. *ὄμμασιν ἑαυτοῦ* (*αὐτοῦ* A.M.) A.B.M. *ἑαυτοῦ ὄμμασι* I.

19. *καταπεισθεῖσα*] *κατασεισθεῖσα* Matth.

21. *Ὅμηρος*] Od. 11, 271. *δέ* addit I. ubi haec post *φιλτάτοις* leguntur in scholio v. 1458.

22. *μητέρα—ἑξῆς* om. B.I.

ib. *ἴδον*] *εἶδον* A.

ib. *ἢ μέγα ἔργον ἔρεξε* om. A.

1458. ὤθει σίδηρον: μετὰ βίας τινός. M. ὤθησεν, ἐνέβαλε τὸ ξίφος. Gr. Cant. ἐν δὲ τοῖσι φιλτάτοις: μέσον τῶν φιλτάτων. Gu. γράφεται σὺν τέκνοις δὲ φιλτάτοις. B.I.

1459. ἀμφοῖν χέρας: γρ. καὶ ἀμφοῖν τέκνα. B.

1460. ἀνῆξε: ἀνέδραμεν. I. ἀνώρμησεν. M. ὥρμησε. B. rec. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1461. ἡμεῖς μὲν ὡς νικῶντα: προσυπακουστέον τὸ ἐλέγομεν οἱ Θηβαῖοι. B. ὑπακουστέον τὸ ἐλέγομεν. M. βουλόμενοι τινὲς ἀποδοῦναι ταύτην τὴν αἰτιατικὴν τὸ ὡς ἀντὶ τῆς εἰς φασὶ, λέγοντες, ἡμεῖς μὲν ἀνήξαμεν εἰς τὸν ἐμὸν δεσπότην θανόντα. καὶ συγγνώμη γε αὐτοῖς οὐκ εἰδόσι τὸ ἀκριβὲς τῆς συντάξεως. τὸ δέ ἐστι τοιοῦτον· ἡμεῖς μὲν ἀνήξαμεν εἰς ἔριν λόγων, ὡς νικῶντα τὸν ἐμὸν δεσπότην. δέον δὲ εἰπεῖν ὡς νικᾶν, πρὸς μετοχὴν ἐξήνεγκεν. εὕρηται δὲ τοῦτο οὐ μόνον παρὰ ποιηταῖς, ἀλλὰ καὶ ἐν τοῖς ἀρίστοις τῶν λογοποιῶν. (Gu. Bar.) φησὶ γὰρ Ἀριστείδης ἐν Κίμωνι πρὸς Πλάτωνα λέγων "καὶ ὅλως περὶ τούτους τὰ πλεῖστα διατρίβεις, ὡς μίαν οὖσαν ταύτην τῇ πόλει σωτηρίαν, εἰ τὰ τῶν φυλάκων εὐθηνοῖ" ὅπερ ἀγνοοῦντες τινὲς τὴν αἰτιατικὴν ἀντὶ γενικῆς λέγουσιν. Gu. ἡμεῖς μέν: ὡρμήσαμεν, ἀνέστημεν λέγοντες. Gr. Florr.

1462. ἦν δ' ἔρις: ἐν δὲ τοῖς στρατηλάταις ἦν ἔρις. M.

1463. οἱ μὲν πατάξαι: λείπει τὸ λέγοντες, λέγοντες τὸν Πολυνείκους πρῶτον πατάξαι. M. οἱ μέν: ἀντὶ τοῦ τῶν μὲν λεγόντων. Gr. Florr. Mosq.

1464. οὐδαμοῦ; ἐν οὐδενὶ μέρει. Gr. Florr. οὐκ ἐν ἑνί. Gu.

1465. κἂν τῷδ': καὶ ἐν τοσούτῳ. M. καὶ ἐν ὅσῳ ταῦτα ἐγίνετο, ἔλαθεν ἐξελθοῦσα ἡ Ἀντιγόνη. Gr. Bar. κρυφίως, ἵνα μὴ γνωσθεῖσα τοῖς πολεμίοις ληφθῇ. Gu. Bar.

1466. οἱ δ' εἰς ὅπλ' ᾖσσον: καὶ ἀμφότερα τὰ μέρη εἰς ὅπλα ὥρμων· καλῶς δὲ κατά τινα τρόπον προνοίᾳ τινὶ ἐκάθητο Κάδμου λαὸς ἐπὶ τῶν ὅπλων, ἀντὶ τοῦ ἐν ὅπλοις, τουτέστιν ἔνοπλος. Gr. Cant.

14. ποιηταῖς] τοῖς ποιηταῖς Bar.
15. Ἀριστείδης] Vol. 2. p. 154.
17. εὐθηνοῖ Matth. pro εὐθυνοῖ.
21. λείπει τὸ] τὸ om. M. Verba λείπει τὸ λέγοντες etiam in I. Alterum λέγοντες ego addidi. In Gr. glossemata λέγοντες, πλῆξαι et πρότερον.
26. ἡ Ἀντιγόνη om. Gr.
29. εἰς ὅπλα om. Gr.

ἦσσον: ὥρμησαν. M.I. εἰς μάχην ἄρμων. Gu. εὖ δέ πως. κατά τινα τρόπον. Gu. προμηθίᾳ: προνοίᾳ καὶ λογισμῷ ἐκάθητο ὡπλισμένοι. A.B.I. οἰκονομίᾳ. B. rec.

1467. καθῆστο: ἐκάθητο. M. Gr.

1468. κᾄφθημεν: καὶ προελάβομεν ταχέως οὔπω καθωπλισμένον. M. τὸ ἑξῆς, καὶ ἔφθημεν Ἀργεῖον εἰσπεσόντες ἐξαίφνης στρατὸν, οὔπω τεύχεσι πεφραγμένον. A.B.M.I. κᾄφθημεν: ἤγουν προελάβομεν. A. ἐφθάσαμεν ταχέως τὸν Ἀργεῖον στρατόν. Gu. τεύχεσι: ὅπλοις. Gr. διὰ τῶν ἁρμάτων. Gu. πεφραγμένον: ἠσφαλισμένον. Gr. καθωπλισμένον. B. Gu.

1469. εἰσπεσόντες: ἐπελθόντες. M.

1470. κοὐδεὶς ὑπέστη: καὶ οὐδεὶς ἐκαρτέρησεν, ὑπέμεινεν. I. ἀντέστη. M. ἐκαρτέρησεν. B. καὶ οὐδεὶς ἁπαντῶν ὑπέμεινε τὴν ὁρμὴν ἡμῶν. Gr. Cant.

1471. ἔρρει: ἔρρες. I. ἔρρει ἀντὶ τοῦ φθείρεται ἐπὶ ἐνεστῶτος, ἔρρει δὲ ἀντὶ τοῦ ἐχεῖτο, ἐπὶ παρεληλυθότος. μυρίον: πλεῖστον. Gr. Cant.

1473. οἱ μὲν Διός: οἱ μὲν Ἀργεῖοι ἔστησαν τὸ εἴδωλον τοῦ Διός. I. οἱ μὲν ἀφ' ἡμῶν σύμβολον τῆς νίκης τοῦ Διὸς τὸ βρέτας ἵστασαν τρόπαιον. Gr. Cant. ἀλλ' οἱ μὲν νικητήριον. βρέτας: ἄγαλμα. λέγει κατὰ ἐτυμολογίαν βροτῶν εἴκελον. B.M.

1474. ἀσπίδας: ἀντὶ τοῦ ὅπλα. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. καταχρηστικῶς add. Gu. συλῶντες: σκυλεύοντες. Gr. Florr. iidem. ἀφαιροῦντες, ἀντὶ τοῦ συλήσαντες, κουρσεύσαντες. Gu.

1475. ἐπέμπομεν: καὶ ἐφέρομεν, ἐκομίζομεν. Gu.

1476. ἄλλοι δὲ τοὺς θανόντας: ἄλλοι δὲ μετὰ τῆς Ἀντιγόνης τοὺς θανόντας νεκροὺς, ἤγουν τὴν Ἰοκάστην μετὰ τῶν παίδων αὐτῆς, ἔφερον ἐνθάδε, ὥστε τοὺς φίλους οἰκτίσασθαι αὐτὴν δηλονότι, ἀντὶ τοῦ θρηνῆσαι, κλαῦσαι. Gr. Cant.

1477. νεκροὺς φέρουσιν: τὸ νεκροὺς πρὸς τὸ φίλους σύναψον

6. καὶ ἔφθημεν] προελάβομεν I.
ib. Ἀργεῖον] ἀργείαν A.
ib. εἰσπεσόντες] ἐκπεσόντες B.
7. πεφραγμένον] πεφραγμένοις B. πεπραγμένον M.
14. ἡμῶν] ἡμᾶς ἐπιόντας addit Gu.
20. ἀλλ' οἱ—ἄγαλμα om. B.
21. λέγει] ὅ ἐστι B.

οὕτω· φέρουσι τοὺς θανόντας νεκροὺς φίλους, ὥστε οἰκτίσαι αὐτούς· τουτέστιν, ὁ Ἐτεοκλῆς καὶ ὁ Πολυνείκης, ἐπεὶ βασιλεῖς ἦσαν Καδμείων, φίλοι ἦσαν αὐτοῖς, ὥστε καὶ ἀποθανόντες νεκροὶ φίλοι εἰσίν. (Bar. Gu.) *ἢ τὸ νεκροὺς φίλους ἀντὶ τοῦ τοὺς, ὅτε ἀπέθανον, φίλους γενομένους· ζῶντες μὲν γὰρ διίσταντο, τῷ δὲ θανάτῳ συνῆλθον ἀλλήλοις. οὕτως, εἰ συνάψεις τὸ νεκροὺς πρὸς τὸ φίλους, ἐρεῖς· εἰ δὲ μὴ συνάψεις, οὕτω· φέρουσι τοὺς θανόντας νεκροὺς, ὥστε τοὺς φίλους αὐτῶν οἰκτίσαι καὶ ἐλεῆσαι αὐτοὺς ἀθλίως ἀπολωλότας.* Gu. *οἰκτίσαι: ὥστε κλαῦσαι, θάψαι.* I. *θάψαι.* B. rec. M.

1478. *πόλει δ' ἀγῶνες: ὁ πόλεμος, φησὶν, ὁ κατὰ τὴν πόλιν πῇ μὲν εἰς καλὸν ἐκβέβηκεν αὐτῇ· ἐσώθη γὰρ, οὐκ ἀνηρπάσθη ὑπὸ τῶν πολεμίων· πῇ δὲ εἰς τοὐναντίον, διὰ τοὺς τεθνηκότας. οἱ ἀγῶνες ἐξέβησαν τῇ πόλει εὐτυχεῖς μὲν, ἐπεὶ ἐνίκησαν, δυστυχεῖς δὲ, διότι ἐσφάγησαν οἱ βασιλεῖς.* A.B.C.M.I.

πόλει δ' ἀγῶνες: ἀγῶνες δὲ τῇ πόλει τῇδε οἱ μὲν εὐτυχέστατοι ἀπέβησαν, οἱ δὲ δυστυχέστατοι. ὅμοιον τῷ "δύο σκόπελοι ὁ μὲν εἰς οὐρανὸν εὐρύν." οὐκ ἔχει δὲ κίνδυνον οὗτος ὁ σχηματισμός· οὐ γὰρ ἀφ' ἑτέρου προσώπου εἰς ἕτερον ἡ μετάβασις γίνεται, ἵνα δέηται πλαγιασμοῦ, ἀλλ' ἀπὸ ὅλου εἰς μέρη· ταυτὸν δὲ τὸ ὅλον τοῖς μέρεσιν. Gr. Cant. Bar.

1480. *οὐκ εἰς ἀκοάς: οὐκ ἄχρις ἀκοῆς ἐστὶ τὰ κατὰ τὴν οἰκίαν καὶ τὰ περὶ Οἰδίποδος.* B.M.I. *ἤγουν οὐκ ἀκοῇ ἔτι γινώσκομεν τὴν συμφορὰν, ἀλλ' ὄψει καὶ πείρᾳ.* I. *οὐκέτι μέχρι τῆς ἀκοῆς ἥκει ἡ δυστυχία τοῦ δώματος· πάρεστι γὰρ ὁρᾶν τριῶν νεκρῶν τάδε σώματα ἐπὶ τοῖς οἴκοις ἐν ἑνὶ θανάτῳ ζοφερὰν ἀναστροφὴν, ἤγουν τὸν Ἅιδην, κληρωσαμένων.* Gr. Cant.

1483. *τάδε: ταῦτα τὰ πτώματα.* M. *πρὸς μελάθροις: ἐγγὺς μελάθρων.* B.I.

1484. *σκοτίαν: τὴν σκοτεινὴν αἰῶνα. θηλυκῶς δὲ εἶπε τὸν αἰῶνα.*

2. *ὁ Ἐ.—βασιλεῖς] ἐπεὶ ὁ π. καὶ ὁ ἐ. βασιλεῖς* Bar.
ib. *ὁ Π.] ὁ* om. Gu.
10. *ὁ πόλεμος φησὶν ὁ κατὰ τὴν πόλιν* C.M. *ὁ κατὰ τὴν πόλιν πόλεμος* B.I. *ὁ πόλεμος ὁ κατὰ τὴν πόλιν* A.
ib. *πῇ μὲν—τεθνηκότας* om. B.I.
12. *οἱ ἀγῶνες—δυστυχεῖς δὲ διότι] εὐτυχεῖς ἐπεὶ ἐνίκησαν, ὡς καὶ δυστυχεῖς διότι* B. *οἱ ἀγῶνες—πόλει* om. C. *οἱ ἀγῶνες—οἱ βασιλεῖς* om. A.
16. *τῷ]* Od. 12, 73.
21. *οὐκ ἄχρις] ἀντὶ τοῦ οὐκ ἄχρις* B.
22. *καὶ τὰ περὶ Οἰδίποδος* addidi ex M.

M. περιφραστικῶς τὸν θάνατον. M. σκοτεινήν. Gu. τὸ αἰῶνα νῦν ἐπὶ θηλυκοῦ νόει, ὥσπερ καὶ παρὰ Πινδάρῳ καὶ τισὶν ἄλλοις εὕρηται· ἢ τὸ σκοτίαν ἀρσενικὸν νόει, ὡς τὸν κοχλίαν. Gu. Bar. αἰῶνα: βίον, ζωήν. B.I.

1485.—1492. οὐ προκαλυπτομένα: οὐ καλύπτουσα τὰ ἁβρὰ καὶ τρυφερὰ τῆς παρειᾶς τῆς βοστρυχώδους, οὐδὲ τὸ ὑπὸ τῆς παρθενίας παρθενικὸν φοίνιγμα τὸ ὑπὸ τοῖς ὀφθαλμοῖς, λέγω τὸ ἐρύθημα τοῦ προσώπου, ἤγουν τὸ ἐν τῷ προσώπῳ, αἰδουμένη, φέρομαι βάκχη, ἤτοι ὑπουργὸς, τῶν νεκύων, διώκουσα καὶ ῥίψασα ἀπὸ τῆς ἐμῆς κόμης τὸ σκέπασμα, ἀφεῖσα τὴν ἀνθηρὰν στολὴν, τὴν ἁρμόζουσαν τῇ τρυφῇ, τὴν ἀπὸ κρόκου βεβαμμένην, διὰ ἡγεμόνευμα, ἤτοι διὰ προπομπὴν, τῶν νεκρῶν πολύστονον καὶ πολλῶν στεναγμῶν πλήρη. Gr. I.

οὐ προκαλυπτομένα: οὐκ ἔμπροσθεν τῆς παρειᾶς τῆς πλησίον τῶν βοστρύχων οὔσης σκεπομένη, τρυφῶσα λέγω· τοῦτο γάρ ἐστι τὸ ἁβρά· ἤγουν οὐκ ἐπανθεῖ τῷ προσώπῳ μου αἰδὼς, ὡς παρθένου. ὅτι δέ ἐστι τοῦτο δηλοῖ καὶ αὖθις λέγουσα, οὐδὲ αἰδουμένη ὑπὸ παρθενίας φέρομαι τὸν ὑποκάτω τῶν βλεφάρων, ἤτοι τὸν ἐν ταῖς παρειαῖς, γινόμενον φοίνικα, τὸ ἐρύθημα λέγω τοῦ προσώπου, ὅπερ αἱ παρθένοι πάσχουσιν, ἡνίκα αἰδοῦνται, βάκχη οὖσα, οὐ Διονύσου, ἀλλὰ νεκρῶν· ὥσπερ γὰρ ἐκεῖναι ἄνετον τὴν κόμην ἔχουσαι προπορεύονται τοῦ θεοῦ, οὕτω καὶ ἐγὼ ὑπάρχω πολύστονον ἀγεμόνευμα τοῖς νεκροῖς, τουτέστι προπορεύομαι τῶν ἀδελφῶν ἐν ὀδυρμοῖς, ῥίψασα τὰ κρήδεμνα καὶ τὰ ἐν τῇ κεφαλῇ σκεπάσματα, ἀνεῖσα καὶ ἀποπέμψασα τὴν ἀνθηρὰν στολίδα τῆς τρυφῆς, ἤγουν τὸν κόσμον, ᾧ κοσμοῦνται ἐν τῇ κεφαλῇ αἱ παρθένοι τρυφῆς ἕνεκα. Gu.

οὐ προκαλυπτομένα: Ἀντιγόνη τραγῳδεῖ νῦν, φησὶν, οὐ προκαλυπτομένη τὰς παρειὰς, οὐδὲ τὴν πρέπουσαν παρθένοις αἰδῶ ἀναλαβοῦσα, ἐξορμῶ καὶ ἐκβακχεύω, καθάπερ βάκχη τις, ἐπὶ τοὺς νεκροὺς, ἀπορρίψασα τὸ κρήδεμνον καὶ τὴν στολὴν μεθεῖσα τὴν τῆς ἐμῆς

26. Ἀντ. ὀδυρομένη φησὶν, οὐ π. τ. π. οὐδὲ γὰρ τὴν πρέπ. παρθενίαν αἰδῶ ἀν. ἐξ. καὶ ἀναβακχεύω C. Hinc articulum ante πρέπουσαν adscivit, ante στολὴν omisit Valck. In Gu. vv. Ἀντιγ. τραγῳδεῖ sola in interiore margine adscripta sunt. MATTH.

ib. προκαλυπτομένη] προκαλυπτόμενα C.

27. τὰς παρειὰς om. A.

ib. οὐδὲ] οὐδὲ γὰρ A.M.

ib. παρθένοις] παρθενίᾳ A.

28. ἐκβακχεύω] βακχεύω M.

29. τὸ κ.] τό τε κ. A.M.

ib. καὶ τὴν στολὴν] καὶ στολῇ (sic) C.

ib. τὴν τῆς] τὴν om. M.

τρυφῆς, τουτέστιν ἦν, ὅτε ἐτρύφων καὶ εὐδαιμόνουν, περιεβαλλόμην· ἀπάρχομαι θρῆνον τοῖς νεκροῖς· οὐ γὰρ τοῦ τρυφᾶν ὁ καιρός. Ἄλλως. ἀπρεπῶς εἰσβέβληκε καὶ οὐ παρθενικῶς. τίνι γὰρ ἀπολογεῖται, εἰ μὴ τῷ θεάτρῳ; Ἄλλως. οὐ περικαλυπτομένη τὰ φαιδρὰ τῆς βοστρυχώδους παρειᾶς· βοστρυχώδη δὲ εἶπεν, ἐπεὶ μέχρι τῶν παρειῶν εἶχε τὰ οὖλα τῶν τριχῶν. A.B.C.M.I. Ἄλλως. οὐκέτι, φησὶν, ὡς τὸ πρὶν περικαλυπτομένη τὰ ἄνθη τῆς παρηΐδος τῆς βοστρυχώδους διὰ τὸ διὰ ταύτης καθίεσθαι τοὺς πλοκάμους, λέγει δὲ τὸ πρόσωπον ἀπὸ μέρους δηλοῦσα. μὴ γοῦν τὸ πρόσωπον ὡς τὸ πρὶν καλυπτομένη μηδὲ ὡς παρθένῳ αἰδομένη τὸν ἐν προσώποις φοίνικα, ταυτὸν εἰπεῖν τὸ ἐρύθημα τοῦ προσώπου, ἤγουν τὴν δι' αἰδῶ γινομένην ἐρυθρότητα τῷ προσώπῳ μηκέτι φέρουσα καὶ παρθένος προηγοῦμαι ὡς βάκχη τῶν νεκρῶν, οὐ Διονύσου βακχείαν ποιουμένη, ἀλλὰ νεκρῶν καὶ Ἅιδου, λέγω δὴ ἡγεμόνευμα νεκροῖσι πολύστονον, τὰ κεφαλόδεσμα ῥίψασα ἀπὸ τῆς ἐμῆς κεφαλῆς, τὴν στολίδα κροκόεσσαν, ἀντὶ τοῦ τὴν ἐστολισμένην κρόκῳ ὑπὸ τῆς τρυφῆς, ἤτοι τὸ λαμπρὸν περιβόλαιον ῥίψασα καὶ πενθήρη περιβαλομένη χιτῶνα. A.

1486. *βοστρυχώδεος*: ἐν ᾗ οἱ βόστρυχοι κεῖνται. B.I. βοστρυχώδους λέγει διὰ τὸ παρ' αὐτὴν κατιέναι τοὺς βοστρύχους. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq. *ἁβρὰ παρηΐδος*: τὰ φαιδρὰ τῆς παρειᾶς, περιφραστικῶς τὴν παρειάν. A.B.M.I. *ἁβρά*: τὰ τρυφερά. Gr. τρυφῶσα, οὖσα. Gu.

1487. *τὸν ὑπὸ βλεφάροις*: ἡ ὑπό πρὸς τὸ αἰδουμένα. B.M.I.

1488. *φοίνικ' ἐρύθημα*: τὸν πυρρόν. ἀρσενικῶς δὲ εἶπε τὸν φοίνικα ἐρύθημα ἀντὶ τοῦ οὐδετέρου· ἔδει γὰρ εἰπεῖν τοὐπὶ βλεφά-

1. τουτέστιν ἦν (ἦν B.) ὅτε] ἦν ὅλως C.

ib. εὐδαιμόνουν] εὐδαιμόνως A.M. εὐδεμόνως C.

ib. περιεβαλλόμην Gu. καὶ περιεβαλλόμην B. περιεβαλόμην omisso καὶ C.I.

2. θρῆνον] θρήνων B.M. καὶ θρήνων C.

ib. τοῦ τρυφᾶν A.C.M. τρυφῆς B.I. ὁ om. C.

3. εἰσβέβληκε] εἰσβέβηκε M. εἰσβέβληκα C.

ib. γὰρ om. M.

ib. ἀπολογεῖται] ἀπολογίζεται A.C. M.

4. περικαλυπτομένη B.M. παρακαμπτομένη C. προκαλυπτομένη I.

ib. τὰ φαιδρὰ] τῶ φαιδρῶ C.

5. δὲ om. A.C.

24. τὸν π.] τὸ π. C.

ib. ἀρσενικῶς] ἀρσενικὸν B.

25. τοῦ om. I.

ib. οὐδετέρου] οὐδέτερον C.

ib. τοὐπὶ Valck. τοῦτο A.C., om. B.I. De M. non constat, quum plura in hoc scholio legi nequeant.

ροις φοινικοῦν ἐρύθημα. τινὲς δὲ, οὐδὲ τὴν ὑπὸ βλεφάροις φοίνιξιν αἰδουμένη, ἥπερ ἐστὶν ἐρύθημα προσώπου. A.B.C.M.I. *φοίνικα: οὐδὲ ὡς παρθένος αἰδοῦμαι, φησὶ, τὸν ὑπὸ βλεφάροις φοίνικα, ἤγουν τὸ ἐρύθημα τοῦ προσώπου. τὴν γὰρ ἐρυθρότητα τοῦ προσώπου τὴν δι' αἰδῶ γινομένην φοίνικα ὠνόμασε. βλέφαρον δὲ εἶπεν ἀπὸ μέρους τὸ πρόσωπον λέγουσα.* A.

1489. *αἰδομένα: ἀντὶ τοῦ οὐδὲ ὑπαιδουμένη τὸ ὑπὸ τοῖς βλεφάροις φοινικοῦν ἐρύθημα τῆς παρθενίας.* B.C.M.I.

φέρομαι βάκχα νεκύων: παρόσον αἱ βάκχαι ἀπογυμνούμεναι χορεύουσιν· οὐ Διονύσου δὲ βάκχη, ἀλλὰ νεκρῶν. B.M.I. *προηγουμένη ὥσπερ θρηνήτρια τῶν νεκρῶν τῆς ὄψεως ἐμμανὴς οὖσα.* M.

αἰδουμένα: γράφεται καὶ αἰδομένα διὰ τὸ μέτρον. οὐ γράφεται δὲ ἀπὸ τοῦ αἰδουμένα κατὰ ἀφαίρεσιν τοῦ υ, ἀλλ' ἀπὸ τοῦ αἴδομαι θέματος παρὰ τοῖς ποιηταῖς γραφομένου. Fl. 21. *βάκχα νεκύων: βακχικὴν μανίαν μαινομένη, ἣν δὲ οἱ νεκροὶ παρέχουσιν, οὐχ ὁ Διόνυσος.* Gr. Fl. 5. 6. 9. 21. 56. 76. *ὑπουργὸς, θεραπευτὶς οὖσα.* Gu.

1490. *κράδεμνα: τὰ δεσμοῦντα τὴν κάρα.* B. *τὸ δεσμοῦν τὴν κεφαλήν.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *φακιόλια.* Gu. *τὰ περικαλύμματα, τὸ κεφαλοδέσμιον.* Fl. 59. *κεφαλοδεσμούς.* Fl. 33. *δικοῦσα: καταβαλοῦσα.* Fl. 59.

1491. *στολίδα κροκόεσσαν: τὴν κροκοειδῆ στολὴν ἀποβαλοῦσα, ἀπορρίψασα τῆς τρυφῆς.* M. *τὴν ἐκ κρόκης στολὴν χαλάσασα, ὥστε γυμνὰ μεῖναι τὰ στήθη. Ἄλλως. τὴν ἐμὴν στολὴν πάσης τρυφῆς ἐκβαλοῦσα.* A.B.C.M.I. *ἀνεῖσα: ἀφεῖσα.* Gr. *ἀποπέμψασα, ῥίψασα.* Gu. *ἐάσασα.* Fl. 59. *χλιδᾶς: τρυφῆς.* I. *τῆς σπατάλης.* Fl. 59.

1492. *ἀγεμόνευμα: ἑαυτὴν γὰρ λέγει προηγήτειραν τῶν νεκρῶν.* A.B.I. *κατὰ κοινοῦ τὸ φέρομαι· ταύτῃ ἐξορμῶ, ἡγεμονεύουσα καὶ*

1. οὐδὲ M. οὐ A.C., om. B.I.
ib. ὑπὸ] ἐπὶ C.M.
2. ἥπερ] ἀντὶ τοῦ ἥπερ C.
7. αἰδομένα] δὲ add. B.I.
ib. ἀντὶ τοῦ om. A.C.M.
ib. ὑπὸ (ὑπὲρ C.) τοῖς om. I.
8. φοινικοῦν] φοινίκεον A.C.
ib. τῆς παρθενίας] προσώπου C.
9. φέρομαι] καὶ τὸ φέρομαι B.I.
15. Flor. 59. β. μ. μ. οὐχ ὡς αἱ βάκχαι τοῦ Διον. ἀλλ' ἣν οἱ ν. π.
23. στολὴν] στολῆς I.
24. ἐκβαλοῦσα] ἐμβαλοῦσα M. ἐκβάλλουσαν C.
27. γὰρ om. A.C.
28. κατὰ—] ἄλλως praefixum in A.C.
ib. ταύτῃ—ἡγεμονεύουσα καὶ ἐξάρχουσα] ταύτην—ἡγεμονεύουσαν καὶ ἐξάρχουσαν C.

ἐξάρχουσα θρήνων τοῖς νεκροῖς. A.C. *ὁδηγήτρια, προοδοποιὸς οὖσα, προηγήτρια.* Gu.

1493.—1507. *αἲ αἴ: ἰὼ Πολύνεικες, ἐγένου ἄρα ἐπώνυμος, ἤγουν αὐτὸ ὃ ἐπωνομάσθης, τουτέστι φιλόνεικος. ὤμοι μοι Θῆβαι! —τοῦτο διὰ μέσου—ἡ σὴ δ' ἔρις οὐκ ἔρις, ἣν δηλονότι, ἀλλὰ φόνος κραθεὶς καὶ ἑνωθεὶς φόνῳ, λέγω αἵματι καὶ φόνῳ δεινῷ καὶ χαλεπῷ, ὤλεσε τὸν δόμον τοῦ Οἰδίποδος. τίνα δὲ στοναχὴν τραγῳδητὴν, ἢ τίνα στοναχὴν ἐμμελῆ ἔνδακρυν, ὦ δόμος, ἀνακαλέσομαι φέρουσα τάδε τὰ τρία σώματα τὰ συγγενικὰ, λέγω τὴν μητέρα καὶ τὰ τέκνα, τὴν χαρὰν καὶ ἡδονὴν τῆς Ἐριννύος καὶ τῆς κατάρας τοῦ Οἰδίποδος· ἣ Ἐριννὺς ὤλεσε παντελῶς τὸν οἶκον τοῦ Οἰδίποδος, ὅτε, ὦ πάτερ, ἔγνως τὸ μέλος, ἤτοι τὸ αἴνιγμα, τῆς δυσερμηνεύτου Σφιγγὸς, συνετὸς γενόμενος, τὸ σῶμα αὐτῆς φονεύσας.* I.

1493. *αἲ αἴ: οἱ παλαιοὶ ῥήτορες ψιλοῦντες καὶ περισπῶντες, οἱ δὲ νέοι αἶ αἶ βαρύνοντες.* C.

1495. *ἐπώνυμος: φερώνυμος πολλὰ γὰρ νείκεα εἰργάσω.* B.M.

1496. *σὰ δ' ἔρις: ἡ ἔρις, φησὶν, οὐκ αὐτὸ μόνον ἄχρι φιλονεικίας τὸ τέλος ἔσχεν, ἀλλ' ἄχρι φόνων ἐπαλλήλων προελθοῦσα ἄρδην τὸν πάντα οἶκον τοῦ Οἰδίποδος ἀπώλεσεν. τινὲς δὲ οὕτως, ἡ σὴ δ' ἔρις οὐκ αὐτὸ μόνον ψιλὴ γέγονε φιλονεικία, ἀλλὰ φόνος φόνῳ κραθείς.* Ἄλλως. *τὸ τέλειον κραθεῖσα, οἷον οὐκ ἄχρι ψιλῆς φιλονεικίας προελθοῦσα ἡ ἔρις, ἀλλὰ φόνος ἐπὶ φόνῳ κρανθείς.* A.B.C.M.I.

1497. *δόμον: τὴν βασιλείαν.* Gu. *κρανθείς: τελειωθείς·* (B.) *κραίνω γὰρ τὸ τελειῶ.* Fl. 59. *τελειωθεὶς, πραχθείς.* Gu.

3. *ἐγένου—*] In Gr. *ἐγένου ἄρα αὐτὸ ὃ ἐπωνομάσθης, ἤγουν φιλόνεικος, ἐριστικός. ὃ ἐπωνομάσας* (sic) l. unde *ἐπωνόμασαι* Barn.

7. *στοναχὴν*] Hoc ddidit King. haud dubie e cod. nam sic Gr. in quo haec a vv. *τίνα δὲ στ. τρ.* leguntur. MATTH.

8. Gr. *τὰ τρία σ. τάδε τὰ* et om. *λέγω*. Tum *ἡδονὴν λέγω τῆς Ἐρ. ἣ παντελῶς ὤλεσε τὸν δόμον τοῦ Οἰδ.* MATTH.

11. *οἶκον τοῦ Οἰδίποδος*] Gr. addit: *τότε ὤλεσε, δυνάμει δὲ, οὐκ ἐνεργείᾳ, ὅτε ὦ π. ἔγν. τὸ αἰν. τῆς Σφ. τῆς ἀοιδοῦ τῆς ἀγρίας τῆς δυσξυνέτου.* et *δηλονότι* addit post *ξυνετὸς γενόμενος.* Post *φονεύσας* in codice sequuntur ea, quae ad v. 1507. adscripsi. MATTH.

13. *αὐτῆς φ.*] *φ. αὐτῆς* Gr.

14. *ψιλοῦνται καὶ περισπῶνται — βαρύνονται* C. Correxit Valck. qui conf. Tzetz. ad Lycoph. 31.

18. *προελθοῦσα*] *διελθοῦσα* I.

19. *σὴ δ'* A.M. *δ'* om. B.C.I.

20. *ψιλὴ γέγονε* A.B.M. *γέγονε ψιλὴ* C. *ψιλὴ* om. I.

ib. *ἀλλὰ φόνος*] *ἀλλ' ὁ φθόνος* A.

ib. *κραθείς* A.C.M. *κρανθεῖσα* B.I.

21. *κραθεῖσα* C.M. *κρανθεῖσα* B.C.I.

22. *ἡ ἔρις*] *ἡ* om. M.

ib. *κρανθείς* M. *κρανθεῖσα* B.C.I.

1499. *τίνα δὲ προσῳδόν*: συνῳδήτριαν. B. θρηνητικὴν στοναχήν. συνῳδὸν ἀντὶ τοῦ θρῆνον· τὸ δὲ "τίνα πρός" ἀναστρεπτέον· τουτέστι πρὸς τίνα πρῶτον τῶν προκειμένων νεκρῶν θρῆνον, ἢ πρὸς τίνα τούτων στεναγμὸν μετὰ δακρύων, ὦ δόμος δόμος, ἀναβοάσω· ἢ τὸ προσῳδὸν ἐξ ὁλοκλήρου τὸν θρῆνον νοητέον, οὐκ ἀποδιαιρουμένης τῆς πρός, ἵν' ᾖ τοιοῦτος ὁ λόγος· τίνα θρῆνον ἄξιον, ἢ τίνα στεναγμὸν σύμφωνον τῆς προκειμένης συμφορᾶς καὶ τῶν τριῶν τούτων νεκρῶν ἀναβοήσω, προσᾴδοντα, φησὶ, καὶ ἁρμόζοντα τοῖς νῦν πάθεσι; A. C.M.

1500. *μουσοπόλον*: μουσικὸν στεναγμόν· ἔστι γὰρ καὶ θρῆνος μουσικός. Ὅμηρος "παρὰ δ' εἷσαν ἀοιδοὺς θρήνων ἐξάρχους, οἵτε στονόεσσαν ἀοιδήν" καὶ τὰ ἑξῆς. A.B.C.M.I. μοῦσα γὰρ καὶ ὁ θρῆνος, ὡς τὸ ἀοιδὴ τὸ μέλος καὶ ὁ ὕμνος. Fl. 59.

μουσοπόλον: μουσικὴν θρηνητικὴν στοναχήν. M. *στοναχάν*: στένω κοινὸν καὶ στενάζω, στενάχω δὲ ποιητικὸν καὶ στεναχίζω καὶ στοναχέω στοναχῶ. ἀπὸ τοῦ στένω στόνος ποιητικὸν καὶ στονόεις καὶ στονόεσσα, ἀπὸ τοῦ στενάζω στεναγμὸς κοινὸν, ἀπὸ τοῦ στοναχῶ στοναχὴ παρὰ ποιηταῖς. Gr. Cant.

1503. *σύγγονα*: συγγενικά. B. M. Gr. ἀδελφικά. Gu. I. μητέρα λέγω καὶ τέκνα, περιχαρῆ τῆς Ἐριννύος, ἥτις παντελῶς τοῦ Οἰδίποδος τὸν δόμον ὤλεσε. I.

1504. *χάρματ' Ἐρινύος*: ἀντὶ τοῦ ἔργα Ἐρινύος, ἐν αἷς χαίρει. λείπει τὸ ἔφυς, χάρμα ἔφυς Ἐρινύος. M. λέγω ἡδονὴν τῆς παρακολουθούσης ἐπ' ἐκδικήσει τῶν παρανομιῶν δυνάμεως. Gr. Florr.

1. στοναχήν] στεναχὴν A.C.M.
2 συνῳδὸν M. ᾠδὸν C.
ib. τίνα πρός ἀναστρεπτέον Valck. τίνα πρ° ἀνατρεπτέον C. τίνα ἀναστρεπτέον M.
4. ὦ δόμος δόμος] ὦ δόμος ὦ δόμος M.
ib. ἀναβοάσω A.M. ἀναβοήσω C.
5. οὐκ—τῆς πρός om. M.
6. τοιοῦτος] τοσοῦτος A.C.
ib. τίνα θρῆνον—τοῖς νῦν πάθεσι] Haec etiam in B.I.
ib. ἢ τίνα B.C.M. καὶ τίνα I.
7. ἀναβοήσω A.C.M. ἀνακαλέσω B.I.
8. προσᾴδοντα—πάθεσι om. A.C. M.
10. μουσοπόλον] δὲ add. B.I.
ib. μουσικὸν στεναγμόν A.C.M. μουσικὴν B.I.
11. Ὅμηρος] Il. 24, 720. καὶ ὅμηρος C. qui καὶ post ἔστι γὰρ om.
ib. παρὰ δ' εἷσαν] παρ δ' ἶσαν B. παρ δ' εἷσαν I. παρὰ δ' ἦσαν A.C. παρῆσαν M.
ib. θρήνων] θρήνους A.B.M.I.
ib. οἵτε—ἑξῆς om. A.C.M.
14. μουσόπολον οὖν τὴν θρηνητικήν est in A. μουσοπόλον: θρηνητικήν in I.
16. ποιητικόν] ποιητικῶς Cant.
20. περιχαρῆ] περιχάρειαν Valck.
23. ἀντὶ τοῦ ἐρινύος ἔφυς χάρμα etiam B.

1505. πρόπαν: ἥτις Ἐρινύς. B.M. παντελῶς. ἐπίρρημα γάρ ἐστι τὸ πρόπαν. B. παντελῶς. M. Gr. διόλου, τελείως. Gu.

1506. δυσξύνετον: τῆς Σφιγγὸς τῆς ἀσαφοῦς, ἐπεὶ πᾶσι δυσνόητον ἦν τὸ αἴνιγμα, πλὴν τοῦ Οἰδίποδος μόνου· διὰ γὰρ τοῦτο συνετὸν ἐπὶ τούτο εἴρηκε τὸ μέλος, πᾶσι μὲν τοῖς ἄλλοις ἀσαφὲς, αὐτῷ δὲ μόνῳ σαφὲς καὶ καταληπτόν· ξυνετὸν γὰρ τὸ σαφές. Ἄλλως. τῷ Οἰδίποδι ξυνετόν· ἀπὸ κοινοῦ δὲ τὸ Σφιγγός. τινὲς δὲ συνετὸν τὸ βαθύτατον. A.B.C.I. ὅτε δυσξυνέτου: τὴν ἐξ ἔξωθεν προσληπτέον, τουτέστιν ἐξότε· ὁ δὲ λόγος, ἥτις Ἐριννὺς τὸν Οἰδίποδος οἶκον ἀπώλεσεν, ἐξότε τὸ τῆς ἀγρίας Σφιγγὸς αἴνιγμα, τὸ δυσξύνετον ἐκεῖνο καὶ ἀσαφὲς τοῖς πολλοῖς, γνοὺς αὐτὸς αἴτιος αὐτῇ γέγονε θανάτου· φασὶ γὰρ ὅτι λύσαντος τοῦ Οἰδίποδος τὸ αἴνιγμα διεσπάραξεν ἑαυτὴν ἡ Σφίγξ. A.C.M. μέλος ἔγνω: τὸ αἴνιγμα εἶπεν, ἐπεὶ μετὰ μέλους τινὸς προέφερεν αὐτὸ ἡ Σφίγξ· διὸ καὶ ἀοιδοῦ Σφιγγὸς εἶπεν. B.C.M.I.

1507. φονεύσας δὲ ἀντὶ τοῦ φόνου καὶ ἀναιρέσεως γενόμενος αὐτῇ αἴτιος. B.C.I. σῶμα φονεύσας: ἀντὶ τοῦ αὐτὴν περιφρα-

3. τῆς Σ.] ὅτε τῆς σ. A.C.
ib. ἐπεὶ] ἐπὶ A.
ib. δυσνόητον M. δυσσύνοπτον A.B. δυσήνοπτον C. δυσξύνετον I.
4. μόνου om. M.
ib. τοῦτο] τούτου C.M.
5. συνετὸν] ξυνετὸν A.B.C.M.
ib. ἐπὶ τοῦτο] ἐπὶ τούτου B.M. ἐπὶ τούτοις C. qui εἴρηκεν ante ἐπὶ τούτοις collocat.
6. μόνῳ] μόνον A.
ib. γὰρ A.B.C.M. δὲ I.
7. Ἄλλως. τῷ Οἰδίποδι] ξυνετὸν μέλος τὸν οἰδίποδα C. In A. est ξυνετὸν μέλος ἔγνω: ἀπὸ κοινοῦ τὸ σφιγγὸς, τῷ οἰδίποδι ξυνετόν. ἄλλως. συνετὸν τινὲς τὸ βαθύτατον αἴνιγμα εἶπον, ἐπεὶ μετὰ μέλους τινὸς προσέφερεν (corrige προέφερεν) αὐτὸ ἡ σφίγξ. διὸ καὶ ἀοιδοῦ σφιγγὸς εἶπε. φονεύσας δὲ etc.
ib. κοινοῦ δὲ] δὲ om. C.
ib. τὸ Σφιγγός] τῆς σφιγγὸς τὸ συνετόν C. in quo hoc scholion legitur post ἑαυτὴν ἡ σφίγξ lin. 13.
ib. δὲ συνετὸν B. δὲ ξυνετὸν I. In C. est ἄλλως. ξυνετόν. τινὲς τὸ βαθύτατον.
9. ἐξότε] ἔκτοτε A.
10. οἶκον] δόμον A.
12. θανάτου C.M., non τοῦ θανάτου ut Valck.
ib. φασὶ γὰρ] πᾶς φασὶ M., omisso γάρ. φησὶ γὰρ C.
ib. φασὶ γὰρ—Σφίγξ] Haec etiam in Gu.
ib. ὅτι] αὐτὴν M.
ib. τὸ αἴνιγμα add. M. Gu., om. C.
13. διεσπάραξεν] διασπαρª M.
ib. ἡ Σφίγξ om. M.
ib. μέλος] Gr. et Florr. 5. 6. 9. 21. 56. 59. 76. μέλος δὲ λέγει διὰ τὴν ἔμμετρον αὐτοῦ ἐμμέλειαν. et supra ἀοιδοῦ, τῆς ἐμμέτρως (Gr. ἐμμέτρου) προφερούσης τὸ αἴνιγμα (Flor. τὰ αἰνίγματα. tum αὐτῆς δηλονότι add. Gr.). MATTH.
14. προέφερον] προσέφερεν C.
16. γ. αὐτῇ] αὐτῇ γ. C.
17. ἀντὶ—περιφραστικῶς et δὲ om. Cant.

στικῶς. λέγεται δὲ ἀντιστρόφως, ἀντὶ τοῦ, ὅτε γνοὺς τὸ αἴνιγμα τῆς Σφιγγὸς ἐφόνευσας αὐτήν. Gr. Cant. Σφιγγὸς ἀοιδοῦ σῶμα: τῆς ἀοιδοῦ Σφιγγὸς, ἐπεὶ μετὰ ᾠδῆς καὶ μέλους ἔλεγε τὰ αἰνίγματα. A.M.

1508.—1514. ἰώ μοι: διὰ μέσου. I. τίς Ἑλλὰς, ἤτοι Ἑλληνικὴ γῆ, ἢ βαρβαρικὴ, ἢ τίς ἕτερος τῶν ἔμπροσθεν εὐγενῶν, αἵματος καὶ γένους ὑπάρχων δηλονότι ἀνθρωπείου, τοιαύτας λύπας φανερὰς ὑπέμεινε τοσούτων κακῶν, ὡς ἐγὼ δηλονότι. τάλαινά εἰμι ἐγὼ, πῶς ἑλελίζω καὶ ταράττομαι. Gr. I.

τίς Ἑλλάς: τίς Ἑλληνικὴ, ἢ βάρβαρος δηλονότι γυνή. Ἄλλως. τίς, φησὶν, Ἑλλήνων ἢ βαρβάρων, ἢ τῶν ἀνέκαθεν ἀνδρῶν ὑπέμεινε κακῶν τοσούτων πλῆθος καὶ λύπας ἐπὶ ἀνθρωπίνῳ σώματι· τὸ γὰρ ἁμερίου ἀντὶ τοῦ ἀνθρωπείου γένους. A.B.C.M.I. γρ. τίς ἕλλην. C.

τίς Ἑλλάς: τίς ἀπὸ τοῦ ἁμερίου αἵματος, ἤγουν τίς τῶν ἀνθρώπων, ἢ Ἕλλην, ἢ βάρβαρος, ἢ τίς ἀπὸ τῶν πάροιθεν εὐγενῶν ἕτερος ἔτλη καὶ ὑπέμεινε τοιαῦτα φανερὰ κακὰ καὶ διάδηλα πᾶσιν ἄχεα κακῶν τοσούτων, ὥσπερ ἑλελίζῃ καὶ θρηνήσεις, ὦ τάλαινα σύ. Gu. Bar.

1510. ἢ τῶν πάροιθεν: ἀπὸ κοινοῦ τὸ τίς, ἢ τίς τῶν πάροιθεν εὐγενετᾶν. B.C.M.I.

1513. τοιάδ' ἄχεα: τοιαῦτα ἄχη κακά. B. τάλαιν' ὡς ἐλελίζω: τὸ ἑξῆς οὕτω, τάλαινα αἴλινον αἰάγμασιν ἃ τοῖσδε προκλαίω. Ἄλλως. ἐγὼ, φησὶν, ἡ τάλαινα, ἥτις αἴλινον ἀνακλαίω καὶ ἀναθρηνῶ ἐπὶ τούτοις τοῖς οἰκτροῖς ἀτυχήμασι, καθάπερ τις ὄρνις θρη-

1. γνοὺς] ἔγνως Cant.

5.—9. In Gr. τίς ἑλληνικὴ γῆ ἢ β.—εὐγενῶν γένους ὑ. ἀνθρωπείου—κακῶν τοσούτων—ὦ τάλαινα ἐγὼ ὅπως ταράττομαι καὶ ἀγωνιῶ.

6. βαρβαρικὴ] βαρβαρικὸν I.

10. Ἑλληνικὴ] γυνὴ add. B.C.I.

ib. δηλονότι γυνή A.M. γυνὴ δηλονότι B.I. γυνὴ om. C.

11. ἢ τῶν] καὶ τῶν I.

ib. ὑπέμεινε—πλῆθος] τοσούτων π. κ. ὑπέμεινε I.

12. τοσούτων] τοσοῦτον A.

ib. λύπας Matth. pro λύπης.

ib. ἀνθρωπίνῳ σώματι] ἀνθρωπίνου σώματος I.

13. ἁμερίου] ἀνθρωπείου I.

ib. ἀνθρωπείου] ἀνθρωπίνου I.

ib. γένους add. M. Gl. ἀπὸ γένους ἀνθρωπίνου in B. rec.

18. τὸ om. A. Idem τίς post ἢ om.

19. εὐγενετᾶν M. εὐγενεστάτων C. εὐγενῶν B. ἐγένετο A. εὐγενῶν τοσαύτας λύπας ὑπέμεινε I. Conf. lin. 13.

21. τὸ ἑξῆς—Ἄλλως om. I.

ib. αἴλινον—προκλαίω] Haec obliterata in M. In A. post προκλαίω pergitur καὶ ἀναθρηνῶ ἐπὶ τούτοις τοῖς οἰκτροῖς ἀτυχήμασι καθάπερ ὄρνις θρηνοῦσα ἀπηχεῖ δρυὸς ἐν πετάλοις ἐφεζομένη. τὸ οὖν τάλαινα πρὸς τὸ κλαίω συναπτέον.

ib. ἃ τοῖσδε scripsi pro αὐτοῖς δέ.

22. φησὶν ἡ τ. M. φησὶ τ. B.I.

νοῦσα ἀπηχεῖ δρυὸς πετάλοις ἐφεζομένη. A.B.M.I. ἐλελίζω: ταραττομένη ἀγωνιῶ. Cant. γρ. ἐλελίξῃ. ταράττῃ, θρηνήσεις. Gu.

1514.—1522. τίς ἄρ' ὄρνις: καὶ τίς ἄρα ὄρνις καθεζομένη ἐπὶ κλάδοις τοῖς κατ' ἄκρον κομῶσιν ἢ δρυὸς ἢ ἐλάτης, στερηθεῖσα τῆς μητρὸς, συνῳδὸς καὶ σύμφωνος ἔσται τοῖς ἐμοῖς ὀδυρμοῖς ἐν ἄχεσι καὶ λύπαις εἰς αἴλινον καὶ θρῆνον, ἐν αἰάγμασι καὶ θρηνητικοῖς ἀπηχήμασιν· ἥτις ἐπὶ τούτοις κλαίω, μόνη δὲ τὸν ἀεὶ χρόνον, ἤτοι διὰ παντὸς, ἠχήσω καὶ θρηνήσω, διάξουσα τὴν ζωὴν ἐν σταζομένοις δακρύοις. I. τίς ἄρα ὄρνις ἐστερημένη τῆς μητρὸς, ἑζομένη καὶ καθημένη ἐν τοῖς κλάδοις τῆς δρυὸς ἢ ἐν τοῖς κλάδοις τῆς ἐλάτης τοῖς εἰς ἄκρον κομῶσιν ἐστὶν ἐν τοῖς οἰκείοις ἄχεσι συνῳδὸς καὶ συνθρηνήτρια τοῖς ἐμοῖς ὀδυρμοῖς. (λαμβάνων δὲ κατὰ συνεκδοχὴν τὸ κλάδοις καὶ εἰς τὸ δρυὸς καὶ εἰς τὸ ἐλάτης, εἰς μὲν τὸ δρυὸς γυμνὸν τίθει, εἰς δὲ τὸ ἐλάτης μετὰ τοῦ ἀκροκόμοις.) ἥτις ἐν τοῖσδε τοῖς νεκροῖς κλαίω ἐν αἰάγμασι καὶ θρήνοις αἴλινον καὶ κλαυθμόν, (τοῦτο κομματικὸν οὕτω.) διαβιβάσουσα μονάδα καὶ μεμονωμένον αἰῶνα, ἅτε πάντας τοὺς ἐμοὺς ἀπολέσασα ἰαχήσω καὶ θρηνήσω τὸν ἀεὶ χρόνον ἐν δάκρυσιν ἐκ τῶν ἐμῶν ὀμμάτων καταφερομένοις. Gu.

1514. τίς ἄρ' ὄρνις: ἀηδόνα φησὶν ἢ χελιδόνα, εἰς ἃς μετεβλήθησαν Πρόκνη καὶ Φιλομήλα. C.M. Gu.

1517. μονομάτωρ: ἡ μονομάτερος ὄρνις ἡ μεμονωμένη καὶ ἐστερημένη τῆς μητρός. B.M.I.

1518. ἄχεσι συνῳδός: τοῖς ἐμοῖς κακοῖς σύμφωνος. M. ἐν λύπαις σύμφωνος ἔσται εἰς αἴλινον θρηνητικοῖς ἀπηχήμασι. Gr. Mosq. συνθρηνήτρια ἐμοί. Gu. αἴλινον: κλαυθμὸν, θρῆνον. Gu. τὸ ἑξῆς ἃ αἴλινον αἰάγμασιν. M.

1520. τοῖσδε προκλαίω: τοῖσδε ἀντὶ τοῦ τοῖς νεκροῖς. A.B.M. ἐπὶ τούτοις κλαίω. Gr. Mosq.

ἃ τοῖσδε: ἅτινα ᾄσματα θρηνῶ ἐπὶ τοῖσδε τοῖς νεκροῖς. I. ἃ τοῖσδε προκλαίω: ἅπερ, θρηνητικὰ ἀπηχήματα, ἐπὶ τούτοις τοῖς

3.—9. Similis paraphrasis in Gr

19. ἢ] καὶ M. In Gu. τὴν ἀ. λέγει ἢ τὴν χ.

21. In Gu. et Mosq. quamvis in textu μονομάτερος legitur, est tamen gl. μητρὸς μεμονωμένη, στερηθεῖσα τῆς μητρός.

ib. ἡ μ. ὄρνις habet B., om. M.I.

ib. καὶ ἐστερημένη om. B.I.

22. μητρός] μητρὸς ὄρνις M.

24. θρηνητικοῖς ἀπηχήμασι etiam A.B.I.

26. ἃ αἴλινον] ἃ om. M.

31. ἅπερ—ἀναβοῶ om. B.I.

νεκροῖς ἀναβοῶ. ἡ γὰρ πρό ἀντὶ τῆς ἀνά, τουτεστιν ἀνακλαίω. A.B.C.M.I. λείπει εἰς ὃ τοῖσδε προκλαίω. M. τοῦτο ἰδίᾳ ἀναπεφώνηται. A.B.C.M.I. τινὲς δὲ τὸ ἃ ἀντὶ τοῦ ἥτις φασίν. Fl. 33. οὐδεμία δηλονότι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1521. μονάδ' αἰῶνα: ἀντὶ τοῦ μονάδα βίον, ὀρφανὸν, μονήρη βίον, μεμονωμένον, ἔρημον. B.C.M.I. αἰῶνα: ζωήν. B. μονόβιον, ἔρημον, μεμονωμένον. A.

1522. ἐν λειβομένοις: ἐν ὑγροῖς. I.

1524.—1538. τίν' ἐπὶ πρῶτον: ἐπὶ τίνα πρῶτον βάλω ἀπαρχὰς ἀπὸ τῆς χαίτης, ἤτοι ἀπὸ τῆς κόμης, διὰ σπαραγμῶν; πότερον δηλονότι παρὰ τοῖς δυσὶ μαστοῖς τοῦ γάλακτος τῆς μητρὸς, ἢ πρὸς τὰ οὐλόμενα αἰκίσματα τῶν δισσῶν ἀδελφῶν, ἤτοι πρὸς τὰς ἀξίας ἀπωλείας πληγὰς τῶν δύο ἀδελφῶν; φεῦ, ὦ πάτερ ἀλαὲ, ὁ φέρων ὄμμα τυφλὸν, λίπε τοὺς σοὺς δόμους, δεῖξον, ὦ Οἰδίπους, τὴν σὴν ζωὴν τὴν ἀθλίαν, ὅστις ἐμβαλὼν τοῖς σοῖς ὄμμασιν ἀορασίαν καὶ τύφλωσιν ἐπὶ τοῖς δώμασιν ὀδυνηρῶς ἀνύεις ἐπὶ πολὺ ζωὴν παρατεινομένην καὶ μακροχρόνιον. ἀκούεις σὺ, ὁ πλανώμενος κατὰ τὴν αὐλὴν καὶ κατὰ τὸν οἶκον, ἰαύων καὶ διατρίβων καὶ κινῶν ἐν τοῖς δεμνίοις γηραιὸν πόδα δύστηνον, ἤτοι γεροντικὴν ἀθλίαν πορείαν. I.

1524.—1529. τίν' ἐπὶ πρῶτον: ἐπὶ τίνα πρῶτον βαλῶ ἀπαρχὰς θρήνου ἐν σπαραγμοῖς ἀπὸ τῆς ἐμῆς χαίτης, τουτέστι τίνα πρῶτον θρηνήσω, τὰς τρίχας σπαράττουσα καὶ πρὸς αὐτὸν ῥίπτουσα παρὰ τοῖς διδύμοις μαστοῖς τῆς μητρὸς τοῦ γάλακτος;—ἐντεῦθεν γὰρ τέθραμμαι ἡ τάλαινα·—ἢ πρὸς τὰ οὐλόμενα καὶ ἐφθαρμένα αἰκίσματα τῶν δισσῶν ἀδελφῶν; Gu.

1524. τίν' ἐπὶ πρῶτον: ἡ ἐπί πρὸς τὸ βάλω, οἷον ἐπὶ τίνα πρῶ-

1. ἡ γὰρ] ἡ δὲ B.I. ubi haec scholio proximo post ἔρημον (lin. 6.) sunt subjecta.

ib. ἀντὶ τῆς] ἀντὶ τοῦ I.

2. τοῦτο ἰδίᾳ ἀναπεφώνηται] Haec in C.M. in initio scholii proximi leguntur ante ἀντὶ τοῦ μονάδα.

4. οὐδεμία δηλονότι] Indicat locutionem τίς συνῳδὸς ἔσται idem valere atque οὐδεμία σ. ἔ. MATTH.

5. ὀρφανὸν] ἀντὶ τοῦ ὀρφανὸν M.

ib. μονήρη βίον] βίον om. B.I.

9. βάλω] βάλλω I. βάλω Gr. qui similem paraphrasin habet cujus singulae partes inter versus pro glossis adscriptae sunt. MATTH.

12. τὰς ἀξίας —] τὰς ἀποτροπαίους καὶ ἀξίας ἀπωλείας Gr. quod idem est in Mosq. MATTH.

16. ἀνύεις] αὖθις I. correctum ex p. 376, 3. et 14.

26. βάλω A. βαλῶ C.M. In M. gl. ἡ ἐπί πρὸς τὸ βάλλω.

τον ἐπιθῶ τὰς τρίχας ἀπαρχὰς τοῖς σπαραγμοῖς, ἐπὶ τῆς μητρὸς, ἢ ἐπὶ τῶν ἀδελφῶν; ἔθος γὰρ ἦν τοῖς ἀρχαίοις τὰς κόμας ἀποκείρεσθαι ἐπὶ τοῖς τεθνηκόσιν. A.C.M. ἡ ἐπί πρὸς τὸ βάλλω. M.

1525. ἀπαρχάς: θυσίας. B. rec. I. δῶρον. M. ἀνάθημα. Gr. Mosq.

1526. ἐν διδύμοις: περισσὴ ἡ ἐν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. Mosq.

1527. γάλακτος: λείπει τοῖς ποιητικοῖς τοῦ γάλακτος. B.M. λέγεται καὶ γάλα μαστῶν καὶ μαστοὶ γάλακτος, ὡς ἡμέρα ἡλίου καὶ ἥλιος ἡμέρας. Gr. Bar. Mosq. τοῖς τὸ ἀναθρέψαν με γάλα ἐκβλύσασι. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1528. ἢ πρὸς ἀδελφῶν: τὸ ἑξῆς, ἢ πρὸς τὰ τῶν ἀδελφῶν αἰκίσματα. οὐλόμενα δὲ διὰ τὰς πληγὰς καὶ τοὺς ἀφανισμοὺς τῶν ἀδελφῶν. A.C.M.

1529. αἰκίσματα: πρὸς τὰς ὀλεθρίας πληγάς. I. αἰκισμάτων νεκρῶν: γρ. δισσῶν. M.

1531. ἀλαόν: τυφλὸν ὄμμα. M.

1532. Οἰδιπόδα: κλητικὴ ἀπὸ τῆς Οἰδιπόδης εὐθείας. B.M.I.

1534. ἀέριον σκότον: ἀφανῆ. B. ἀὴρ λέγεται καὶ τὸ ὁμιχλῶδες καὶ ἀόρατον· ὡς παρ' Ὁμήρῳ "ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖα." εἰπὼν οὖν ἐνταῦθα σκότον ἐπάγει ἀέριον ἐπιθετικῶς κατὰ ταύτην τὴν σημασίαν τοῦ ἀέρος, ἵνα δηλώσῃ τὸ εἶδος τοῦ σκότου, ὅτι οἷον τὸ τοῦ ἀέρος, ὥσπερ εἴ τις εἴποι φῶς ἡλιῶδες, ἤγουν οἷον τὸ τοῦ ἡλίου. μεταφορικῶς δὲ λέγει ἀπὸ τοῦ σκότου τοῦ ἐν ἀέρι τοῦ μὴ βλεπομένου τὴν στέρησιν τῆς ὁράσεως καὶ τὴν τύφλωσιν. ἔχει οὖν τὸ πᾶν

1. τρίχας M. χεῖρας C. τὰς τῶν τριχῶν A.

ib. τῆς μητρὸς] τοῖς μητρὸς M. ἐπὶ τῆς μητρὸς ἢ hic om. A. qui post ἀδελφῶν pergit τὸ στῆθος ἢ ἐπὶ τῆς μητρός. ἔθος etc.

2. ἀρχαίοις A.M. πολεμίοις C. quod in παλαιοῖς mutabat Valck. Recte scriptum etiam in Gu. ἔθος γὰρ ἦν τοῖς ἀρχαίοις τὰς κόμας ἀποκείρεσθαι.

ib. τὰς κ.] τὰς om. A.

3. ἐπὶ τοῖς A.M. ἐπὶ om. C.

8. λείπει om. M. Verba λείπει τοῖς ποιητικοῖς etiam in I.

12. τὸ ἑξῆς om. M.

13. τὰς πληγὰς καὶ om. M.

14. τῶν ἀδελφῶν om. M. τῶν ἀδελφῶν. τὸ ἑξῆς . . . . A.

18. κλητικὴ] οἰδιπόδα κλητικὴ ἐντεῦθεν M. κλητικὴ om. I. In B. etiam gl. ἀπὸ τοῦ οἰδίποδος, quod οἰδιπόδης scribendum.

ib. τῆς] τοῦ M. qui εὐθείας om.

20. Ὁμήρῳ] Od. 9, 144.

οὕτως· ὃς ἐμβαλὼν τοῖς σαυτοῦ ὄμμασι σκότον ἀέριον, ἤγουν οἷος ὁ τοῦ ἀέρος, ἀντὶ τοῦ ἀορασίαν καὶ τύφλωσιν, ἐπὶ τοῖς δώμασιν ὀδυνηρῶς ἀνύεις ζωὴν ἐπὶ πολὺ παρατεινομένην. ἀερῶδες τὸ μετέχον τῆς φύσεως τοῦ ἀέρος, ἀέριον δὲ σκότος τὸ ἔχον τὴν τοῦ ἀέρος ζόφωσιν, ὡς οὐράνιον ὕψος ὑπερβολικῶς, ἤγουν οἷον τὸ τοῦ οὐρανοῦ. λέγεται ἄλλως καὶ οὐράνιον ὕψος αὐτὸ τὸ τοῦ οὐρανοῦ ὕψος, καὶ ἀέριον σκότος αὐτὸ τὸ τοῦ ἀέρος. ἀέριος δὲ φέρεταί τις, ἤγουν ἐν τῷ ἀέρι, καὶ ἀέρια ζῶα τὰ ἐν ἀέρι τὴν διατριβὴν ποιούμενα, ὡς οὐράνια τάγματα τὰ ἐν τῷ οὐρανῷ· ἐκεῖνα δὲ καὶ μετὰ τῆς ἐν προθέσεως μᾶλλον λέγεται, οἷον ἐναέριος φέρεται, καὶ ἐναέρια ζῶα. Gr. Cant. φυσικῶς γὰρ ὁ ἀὴρ σκοτεινός· ἀπὸ γὰρ τοῦ ἡλίου φωτίζεται. Fl. 59.

1535. ἕλκεις: παρέλκεις καὶ παρατείνεις τὴν ζωὴν καὶ φιλοψυχεῖς. C.M. παρέλκεις καὶ παρατείνεις μακρόπουν βίον, πλανώμενος καὶ τυφλώττων. I. ὀδυνηρῶς ἀνύεις. Gr. Mosq. μακρόπουν: μεγάλην. M. πολύ. B. ἀντὶ τοῦ ἐπὶ πολὺ παρατεινομένην· ὁ ποὺς γὰρ ἀντὶ τῆς κινήσεως καὶ παρατάσεως ἐνταῦθα λαμβάνεται, μεταφορικῶς ἀπὸ τῶν ζώων· οὐ γὰρ διὰ ποδῶν ἡ ζωὴ τὴν ἑαυτῆς ἀνύει ὁδόν. Gr. Cant. διαβιβάζεις πολυχρόνιον, ἤγουν παρατείνεις τὴν ζωὴν, φιλοψυχεῖς. Gu. Fl. 33.

1536.—1538. κλύεις ὦ κατ' αὐλάν: ἀπὸ μέρους τοῦ ποδὸς ὅλον τὸ σῶμα δηλοῖ· τουτέστι κλύεις, ὦ πάτερ, ὃς ἔνδον κατὰ τὴν αὐλὴν διὰ τὴν τυφλότητα ἀλαίνων καὶ πλανώμενος διατρίβεις καὶ τὸ γεγηρακός σου σῶμα τοῖς δεμνίοις ἐγκρύπτεις. A.B.C.M.I. ἀλαίνων: διατρίβων, πλανώμενος, ἢ τυφλώττων. B.M.

1538. ἰαύων: ἐγκοιμίζων, ἐγκρύπτων. I. ὦ ὁ διατρίβων ἐν δεμνίοις. Gr. διάγων. Gu. περιφέρων. Fl. 59.

1539.—1545. τί μ', ὦ παρθένε: διὰ τί, ὦ παρθένε, ὁδηγίαις τῆς τυφλῆς πορείας ἐξήγαγές με εἰς φῶς, προσκαλεσαμένη τοῖς δάκρυσι τὸν ἀεὶ ἐν λέχει καὶ κοίτῃ ὑπάρχοντα; I. ὅλως ἐν πᾶσιν

6. αὐτὸ τὸ τοῦ οὐ. ὕ. hoc ordine Gr. pro αὐτὸ τοῦ οὐ. τὸ ὕ. Priora ἀὴρ λέγ.—παρατεινομένην Barn. jam dedit e Cant. Eadem cum seqq. quae King. addidit, sunt etiam in Mosq. A vv. ἀερῶδες haec exstabant etiam in Leid. MATTH.

12. παρέλκεις καὶ παρατείνεις etiam B.

ib. παρατείνεις] περιτείνεις C.

21. ὅλον τὸ C. τὸ ὅλον ceteri.

ib. τὴν αὐλὴν] τὴν om. A.

22. διὰ τὴν—πλανώμενος om. A.B.C.

24. διατρίβων, πλανώμενος] ἀλώμενος B., sed habet gl. πλανώμενος.

29. ὅλως] ὅλος A.

ὁ Εὐριπίδης πτωχοποιός ἐστι, καὶ νῦν ὁ Οἰδίπους οὐδὲ ὁδηγὸν αὐτῷ ἔχει ἐν τῇ πατρίδι ὤν, ἀλλὰ καὶ μόνος ἐκπορεύεται ἑαυτὸν ὁδηγῶν, τάχα δὲ τῶν παρόντων κακῶν πάντες ἐξῆλθον θεαταὶ γενέσθαι· διὸ μεμονωμένον θεράποντος τὸ Οἰδίποδος πρόσωπον ἔξεισι. λεχήρη δέ φησι τὸν ἀεὶ ἐν λέχει καὶ σκότει ὑπάρχοντα. τὸ ἑξῆς τοῦ νοῦ, διὰ τί με τὸν πολιὸν, ἀντὶ τοῦ τὸν πεπολιωμένον, ἐξήγαγες, ὦ παρθένε, σκοτίων ἐκ θαλάμων εἰς φῶς ἀέρος, ὄντα με ἀφανὲς εἴδωλον, ὅ ἐστι τυφλὴν σκιάν. ἀλλὰ τὸ αἰθέρος ἀφανὲς εἴδωλον κατ' ἰδίαν προενεκτέον· τί με, φησὶν, ἐξήγαγες ὥσπερ εἴδωλον ὄντα αἰθέρος, τουτέστι τοῦ ἀέρος· καὶ γὰρ τὸν ἀέρα περιίπτανται τὰ εἴδωλα καὶ αἱ ψυχαί· ἢ καὶ ὡς νεκρόν με ὑπάρχοντα, ἢ ὡς σκιᾶς ὄνειρον. A.B. C.M.I.

τί μ', ὦ παρθένε: διὰ τί δὲ, ὦ παρθένε, σὺν ἐλεεινοτάτοις δακρύοις ἐξελθεῖν ἐποίησας ἐκ τῶν ζοφερῶν θαλάμων ἐρείσμασι τυφλοῦ ποδὸς κλινήρη ὄντα ἐμὲ, τὸν ὑπάρχοντα εἴδωλον ἀφανὲς τοῦ ἀέρος πολιὸν, ἢ νεκρὸν καταχθόνιον, ἢ πτηνὸν ὄνειρον; Gr. Cant.

1539. βακτρεύμασι: ὁδηγίαις. B. βακτηρίαις. M. τυφλοῦ: τῆς τυφλῆς παρειᾶς ἐξήγαγές με προκαλεσαμένη τοῖς δάκρυσιν. M.

1543. αἰθέρος: ὥσπερ γὰρ οἱ ἐν τῷ ἀέρι τύποι οὐκ ἔχουσι σύστασιν, ἀλλὰ μόνῃ τῇ ὄψει καταλαμβάνονται, καὶ οἱ ἐν Ἅιδου νεκροὶ ὄνομα μόνον εἰσὶ, καὶ τὰ ὄναρ θεάματα τοῖς ἀνθρώποις νοῦ τυγχάνει φαντάσματα, οὕτω καὶ Οἰδίπους τῷ πλήθει καὶ μεγέθει

1. ὁ εὐριπίδης C. ὁ om. B.M.I.
ib. οὐδὲ om. M.
2. ἀλλὰ καὶ] ἀλλὰ γοῦν M.
3. τάχα—γενέσθαι A.B.C.M. τάχα δὲ καὶ πάντες—γενέσθαι τῶν παρόντων κακῶν I.
4. τὸ (τὸ om. M.) Οἰδίποδος πρόσωπον] τὸ πρόσωπον οἰδίποδος C. In A. οἰδίποδος τὸ π. θεράποντος.
ib. λεχήρη—ὑπάρχοντα om. A.C.M.
5. τὸ ἑξῆς] Lemma πολιὸν αἰθέρος praefixum in A.C.M.
ib. διὰ τί] ὅτι A.B.C. et fortasse M. in quo nonnulla hic obliterata.
6. με] σε A.
ib. τοῦ τὸν B.C. τοῦ om. A. τὸν om. I. De M. non constat.
7. με—τὸ αἰθέρος om. C.
8. τὸ αἰ.] τὸ δὲ αἰ. A.
ib. προενεκτέον scripsi pro προσενεκτέον.
10. τοῦ ἀέρος] τοῦ om. A.
ib. περιίπτανται C. περιίπταται ceteri.
11. καὶ ὡς] καὶ om. A.
ib. νεκρόν] νεκρῶν C.
ib. σκιᾶς] εἴδωλον ἢ ὡς add. A.
ib. ὄνειρον] διὰ τὴν ἀσθένειαν δὲ ταῦτα λέγει addit A.

τῶν συμφορῶν ἀπειρηκὼς οὐδὲν ἄμεινον τούτων πάντων διάκειται. Ἄλλως. *τρία εἰσὶν ἀνυπόστατα, εἴδωλον, νεκρὸς καὶ ὄνειρον. ἐκ τούτων γοῦν τῶν τριῶν ἡγήσατο αὐτὸν ἕνα ὁ Οἰδίπους.* Gu. *εἴδωλα τοῦ ἀέρος τὰ ἐν ἀέρι τὴν διατριβὴν ποιούμενα. κατὰ τοῦτο λέγεται καὶ πετεινὰ τοῦ οὐρανοῦ, τουτέστι τοῦ ἀέρος.* Florr. Gr. Mosq.

1545. *πτανόν: ταχύτατον.* B. Gu. I.

1546.—1549. *δυστυχές: ἀντὶ τοῦ δυστυχῆ ἀγγελίαν κομίσῃ, οὐκέτι ζῶσι τὰ τέκνα σου, οὐδὲ ἡ γυνή σου, ἥτις τὸν τυφλόν σου πόδα θεραπεύμασιν ἀεὶ μετὰ μόχθου ὡδήγει.* I. *δυστυχῆ. ἤγουν δυστυχῆ ἀγγελίαν ἀποίσῃ, λήψῃ.* Gr. *λάβῃς.* Gu.

1548. *παρὰ βάκτροις: παρὰ τῇ σῇ βακτηρίᾳ.* Gr.

1549. *γρ. πόδα σὸν τυφλὸν θεραπεύμασιν ἐμόχθει.* B. *τυφλόν: ἐστερημένον ὁδηγίας οἰκείων ὀφθαλμῶν.* Gr. Cant. *θεραπεύμασιν: κατὰ θεραπείαν, ἤγουν ὑπουργίαν.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *ἐμόχθει: τὸ ἑξῆς, ἃ τὸν πόδα ἐμόχθει.* M. *ἐνταῦθα ἀντὶ τοῦ μοχθοῦσα ὡδήγει, ἐν δὲ τῷ παρὰ βάκτροις ἐμόχθει ἀντὶ τοῦ ἐκοπία μόνον.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1551. *ἐμῶν παθέων: γρ. ὤ μοι ἐγὼ παθέων.* M.

1552. *πάρα γάρ: πάρεστι γὰρ στενάζειν διὰ ταῦτα καὶ βοᾶν.* I. *τάδε: διά.* Gr.

στενάχειν: λείπει τὸ τινά, πάρεστι γάρ τινα στενάζειν καὶ αὐτεῖν. προσληπτέον γὰρ τὸν καὶ σύνδεσμον. B.M.

αὐτεῖν: βοᾶν καὶ ἐκπλήττεσθαι. B.M.

1553. *τρισσαὶ ψυχαί: ἀντὶ τοῦ τρεῖς ἄνθρωποι κατὰ ποίαν τύχην, κατὰ τίνα τρόπον ἀπέθανον, λέγε.* Gr. Cant.

ποίᾳ μοίρᾳ: γρ. μιᾷ μοίρᾳ. B.

1555.—1558. *οὐκ ἐπ' ὀνείδεσιν οὐδ' ἐπὶ χάρμασιν: οὐκ ἐπιχαίρουσα, οὐδὲ ὀνειδίζουσα λέγω νῦν τοῦτο, ἀλλ' ὀδυνωμένη καὶ συναλ-*

7. *ἀντὶ τοῦ δυστυχῆ ἀγγελίαν* etiam B.M.

9. *ὡδήγει* Kingius. *ὁδηγεῖ* I.

11. *βακτηρίᾳ*] *ὁδηγίαις οὖσα* superscr. in Gu.

ib. *ὀδυνωμένη*] *λέγω* add. A.

ib. *συναλγοῦσα*] *συναλγῶσα* I.

21. *γὰρ* om. B.

ib. *πάρεστι γάρ τινα*] τ'' τιν' B.

ib. *καὶ αὐτεῖν—σύνδεσμον* om. M.

23. *καὶ ἐκπλήττεσθαι*] *καὶ* om. M.

27. *οὐκ* (*οὐδὲ* M.) *ἐπιχαίρουσα* om. C. In A. est *οὐκ ἐπιχαίρουσα, φησὶν, οὔτε ὀνειδίζουσα λέγω νῦν τοῦτο, ἀλλὰ ὀδυνωμένη λέγω καὶ* etc.

28. *οὐδὲ* C. *οὔτε* A.B.M.I.

ib. *λέγω νῦν*] *νῦν λέγω* I.

ib. *ἀλλ'*] *ἀλλὰ* A.M. *ἀλλὰ καὶ* C.

γοῦσα τὴν ψυχὴν, ὅτι ἡ σὴ κακοδαιμονία, ἣν ἔδει μέχρι σοῦ στῆναι, καὶ ἐφ' ἡμᾶς τοὺς παῖδας κατήντησεν οὐχ ὁσίως. A.B.C.M.I. *προθεραπεία.* Gu.

οὐκ ἐπ' ὀνείδεσιν λέγω, οὐκ ἐπ' ὀνείδεσιν, οὐδ' ἐπὶ χάρμασιν ἔλιπον τὸ φάος, ἤγουν οὐκ ἄτιμος καὶ τοῖς ἐχθροῖς ἐπονείδιστος ὁ τούτων θάνατος γέγονεν, ἀλλὰ ὁ σὸς ἀλάστωρ ἔβη καὶ ἦλθεν ἐπὶ τοὺς σοὺς παῖδας ἐν ὀδύναις, βρίθων ἐν ξίφεσι καὶ πυρὶ καὶ σχετλίαις μάχαις. δείκνυσι δὲ ἐντεῦθεν ὅτι, εἰ καὶ γενναίως πάνυ καὶ ὑπὲρ φύσιν ὀλώλασιν, ἀλλὰ μεγίστην ὅσην ἐμοὶ τὴν ὀδύνην ἐντεῦθεν προυξένησαν. Gu.

1555. *οὐκ ἐπ' ὀνείδεσιν: οὐ δι' ὄνειδος, ἤγουν οὐχ ἵνα ὀνειδίσω, οὐδ' ἐπὶ χαρᾷ διακειμένη, ἤγουν χαίρουσα.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. *ἐπὶ χάρμασιν: ἐχθρῶν ἔλιπον φάος· γενναίως γὰρ ὑπὲρ τῆς βασιλείας ἀλλήλους ἐφόνευσαν.* Gu.

1556. *ἀλάστωρ: ἔφορος δαίμων τῶν τὰ ἄλαστα πεποιηκότων, καὶ τιμωρός.* B.M.I. *ἀλάστωρ: ὁ παρακολουθῶν σοι κακοποιὸς δαίμων.* Gr. *ἀλάστορες λέγονταί τινος ἢ οἱ κακοποιοῦντες αὐτὸν, ἢ οἱ δι' ἐκδίκησιν αὐτοῦ ἑτέρους κακοποιοῦντες. ἐνταῦθα ἐπὶ τοῦ προτέρου λαμβάνεται σημαινομένου.* Gr. Cant. *ἡ σὴ δυστυχία, ὁ κακὸς δαίμων ὁ ἀκολουθῶν σοι ἀεί.* Gu.

1557. *ξίφεσιν βρίθων: πλουτῶν, ἀκμάζων.* M. *κατὰ φόνον βαρὺς ὤν.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1558. *καὶ πυρί: καὶ κατὰ πῦρ καὶ κατὰ* (*τὰς* add. Fl.) *ἀθλίας μάχας.* Gr. Florr. iidem. *πυρί: ἀφανισμῷ, διὰ τὸ καυστικὸν τοῦ πολέμου.* Gu.

σχετλίαισι μάχαις: γρ. καὶ φονίαισι μάχαις. B. *ἀντὶ τοῦ μονομαχίαις.* M. *σχετλίαισι, φονίαις μάχαις ξίφεσί τε βρίθων καὶ πυρί.* I.

1559. *ἰώ μοι αἶ αἶ: γρ. ὤμοι ἐγώ.* M.

1560. *τί τάδε: λείπει ἡ διά· διὰ τί τάδε καταστένεις, ἐπειδὴ*

2. *κατήντησεν*] *ἐκατήντησεν* C.

15. *ἀλάστωρ*] *δὲ* add. B.I. *ἀλάστωρ ὁ* M.

16. *καὶ τιμωρός* om. M.

29. *τί τάδε: λείπει—διὰ τὰ τέκνα*] *δι' ὀδύνας: ἐπίδηλος ὁ σὸς θρῆνος. πολλὰ—κακά. διὰ τί ταῦτα στενάζεις. διὰ τὴν τύφλωσιν. διὰ τὸν τῆς μητρὸς γάμον. εἶπεν οὐ διὰ ταῦτα θρηνῶ.* (*ἀλλὰ διὰ τὰ τέκνα* addit B.) *λείπει δὲ ἡ διά. διατί τάδε καταστένεις* B.I. In Gu. ad *τάδε* adscriptum *τὴν τύφλωσιν ἢ τὸν τῆς μητρὸς γάμον.* In M. nihil praeter, *εὔδηλος ὁ σὸς θρῆνος. πολλὰ γὰρ τὰ περιέχοντά σε :—*

ib. *ἐπειδὴ*] *ἄλλως* praefigit A.

ἄδηλος ὁ σὸς θρῆνος· πολλὰ γὰρ τὰ περιέχοντά σε κακά. φανέρωσον διὰ τί ταῦτα στένεις· διὰ τὴν τύφλωσιν, ἢ διὰ τὸν τῆς μητρὸς γάμον; ὁ δὲ εἶπεν, οὐ διὰ ταῦτα θρηνῶ, ἀλλὰ διὰ τὰ τέκνα. A.C.I. διὰ τί τούτους στενάζεις τοὺς στεναγμούς; ἀναπέμπεις. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. τάδε: τὴν τύφλωσιν ἢ τὸν τῆς μητρὸς γάμον. Gu.

1561. τέκνα: διὰ τὰ τέκνα. B.M.I. στενάζω δηλονότι. Gr. Florr. iidem.

1561—1564. δι' ὀδύνας ἔβας: περισσοτέρως ὠδυνήθης. B. δι' ὀδύνας ἀνέβης καὶ εἰ βλέπων ἐτύγχανες. M. διὰ περιωδυνίας, ἤγουν μεγάλης ὀδύνης, ἦλθες ἄν, εἰ βλέπων εἰς τὸ ἅρμα τοῦ ἡλίου τὸ τέθριππον ἐπεσκόπεις ταῖς ἀκτῖσι τοῦ σοῦ ὄμματος τὰ σώματα τῶνδε τῶν νεκρῶν, τουτέστιν εἰ τὴν τοῦ ὁρᾶν δύναμιν ἔχων ἔβλεπες εἰς τάδε τὰ σώματα τῶν νεκρῶν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. λείπει ἡ ἀνά, ἵν' ᾖ δι' ὀδύνας ἀνέβης. Ἄλλως. μειζόνως ἂν ὠδυνήθης, εἰ τοὺς ὀφθαλμοὺς ἔχων ὁρῶντας καθεώρας τούτους κειμένους νεκρούς. τὸ γὰρ ἐπενώμας ἀντὶ τοῦ διέκρινας καὶ ἐπεσκόπεις. B.C.M.I. μεγάλην περιωδυνίαν ἔσχες, ἤτοι μειζόνως ἂν ὠδυνήθης. Gu.

1564. ὄμματος αὐγαῖς: ἀντὶ τοῦ ὀμμάτων αὐγαῖς. B.M.I. ταῖς τῶν ὀμμάτων αὐγαῖς διέκρινες καὶ ἐσκόπεις. M. ἀντίπτωσις. ἢ τὰς αὐγὰς τοῦ ὄμματος τοῖς σώμασι τῶν νεκρῶν ἐκίνεις, ἢ ἀντὶ τοῦ διεσκόπεις τὸ ἐπενώμας. A.

1565. τῶν μὲν ἐμῶν: ἐγὼ γὰρ κατηρασάμην τῷ θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τοὺς ἐμοὺς παῖδας. A.B.M. Gu. I. οἶδα γὰρ τὸν διὰ τὰς ἐμὰς ἀρὰς συμβάντα αὐτοῖς φόνον. Gu.

1566. ἁ δὲ τάλαιν' ἄλοχος: καὶ τοῦτο ἀπρεπές, ὅτι τὸν Οἰδίποδα

1. φανέρωσον διὰ] φανερῶς κατὰ A.
2. ἢ διὰ] ἢ om. A.C.
3. τὰ τέκνα] καὶ τὴν γυναῖκα Ἰοκάστην μου addit A.
4. ἀναπέμπεις om. Gr.
15. λείπει addidi ex A.
ib. ἡ ἀνά—Ἄλλως om. B.M.I.
16. ἔχων—καθεώρας] εἶχες—καὶ ἐθεώρεις C.
ib. κειμένους ν.] ν. κειμένους B.
17. ἐπεσκόπεις (ἐσκόπεις C.)] ὁ τε παρέλκει add. A.
19. ὄμματος] δὲ add. B.
ib. ἀντὶ τοῦ ὀμμάτων αὐγαῖς M. ἀντὶ τοῦ τῶν ὀμμάτων B.I., omisso αὐγαῖς.
20. ὀμμάτων] ὀνομάτων M.
23. γὰρ om. B.I.
ib. τῷ om. B. Gu.
24. διαλαχεῖν] τόδε add. Gu.
ib. ἐμοὺς om. I.

ἄλοχον τὴν Ἰοκάστην ποιεῖ λέγοντα, ἐπιγνόντα ὅτι μήτηρ ἦν· ἔδει οὖν τὸ ὄνομα παραιτήσασθαι. A.B.C.M.I.

1567—1576. δάκρυα: δάκρυα θρηνώδη φανερὰ πᾶσι ποιοῦσα μαστὸν ἱκέτιν αἴρουσα ἔφερε τοῖς τέκνοις ἱκέτις αὐτοῖς ἀπελθοῦσα· εὗρε δὲ ἐν ταῖς Ἠλέκτραις πύλαις κατὰ τὸν λειμῶνα τὸν λωτοτρόφον τὰ τέκνα ἡ μήτηρ ἐν πληγαῖς φόνου, ὥστε λέοντας τοὺς ἐν τῇ ἐπαύλει μαχομένους, λόγχαις μαχεσάμενα κοινὸν πόλεμον, θυσίαν διὰ ῥοῆς αἵματος φονικοῦ ἤδη ψυχρὰν, ἣν ὁ Ἅιδης ἐκληρώσατο, παρέσχε δὲ ὁ Ἄρης. Gr. Cant.

1568. ἱκέτις ἱκέταν: ἱκέτις αὐτὴ οὖσα ἱκέτην τὸν μαστὸν αἰρομένη καὶ μετεωρίζουσα, ἵνα ἰδόντες οἱ παῖδες λήξωσι τῆς μάχης. γράφεται δὲ καὶ ὀρομένα, ὅ ἐστιν ὀρούουσα καὶ προτείνουσα τὸν μαστόν. A.B.C.M.I.

1570—1576. εὗρε δ' ἐν Ἡ: εὗρε δὲ τὰ τέκνα ἐν ταῖς Ἠλέκτραις πύλαις κατὰ τὸ ἄλσος τὸ λωτὸν ποιοῦν, πλησίον αὐτοῖς ὂν, ὥσπερ λέοντας ὁμοῦ ὄντας, κοινὸν πόλεμον μαχομένους ἐν λόγχαις ἐπὶ τραύμασιν αἵματος, τουτέστιν ἐπὶ τῷ θανατῶσαι ἀλλήλους. εὗρε δὲ ἤδη καὶ ἀπὸ τοῦ νῦν αὐτοὺς θυσίαν αἵματος φονίαν καὶ φονικὴν, ψυχρὰν, ἣν ἐκληρώσατο ὁ Ἅιδης, παρέσχε δὲ ὁ Ἄρης. ἐπειδὴ γὰρ ὁ μὲν Ἄρης τοὺς πολέμους καὶ τοὺς φόνους ἐργάζεται, ὅθεν καὶ μιαιφόνος κέκληται, ὁ δὲ Ἅιδης τοὺς τεθνηκότας ὑποδέχεται, διὰ τοῦτο τὸν μὲν Ἄρην παρασχεῖν λέγει τὴν θυσίαν, τὸν δὲ Ἅιδην λαχεῖν. τὸ δὲ ψυχρὰν ἀντὶ τοῦ νεκράν· κἂν γὰρ τὸ αἷμα θερμὸν, ἀλλ' ἡ τοιαύτη τοῦ αἵματος θυσία ἐκ σφαγῆς γενομένη ψυχρά· ἢ ὅτι καὶ οἱ

1. τὴν Ἰοκάστην] τῆς ἰοκάστης M. τὴν ἰοκάστην post ποιεῖ A.
ib. ἐπιγνόντα om. A.
ib. ὅτι ἡ] ἐπεὶ A.
ib. μήτηρ C.M. ἡ μήτηρ B.I.
10. ἱκέτις (sic C., non ἱκέτης) αὐτὴ (sic Matth. pro αὕτη) οὖσα om. I.
ib. μαστὸν] μασθὸν B.
ib. ἱκέτις ἱκέταν — μετεωρίζουσα] ἱκέτις: ἱκέτιν τὴν (sic) μαστὸν αἰρομένην καὶ μετεωρίζουσαν I. In Gu. τὸν μαστὸν ἱκέτην φερομένη καὶ βαστάζουσα καὶ κουφίζουσα καὶ προτείνουσα, ἵνα οἱ παῖδες etc.
11. ἰδόντες post παῖδες A.B.M.I.
12. δὲ om. A.
ib. ὀρομένα] ὀρωμένα A.B.C.I. In M. obliteratum: sed in texta ὀρομένα (ai superscr.) cum γρ. αἰρομένα. In B. in textu ὀρωμένα (a m. rec. in αἰρομένα mutatum) cum γρ. καὶ αἰρομένα.
13. μαστόν C.I. μαζόν B.M.
17. τῷ] τοῦ Gu.
18. αὐτοὺς ante ἤδη Leid.
ib. αἵματος om. Gu.
21. τεθνηκότας] τεθνεῶτας Leid.
23. νεκράν] Pergit Gu. ψυχροὶ γὰρ οἱ νεκροὶ τοῦ ἐν αὐτοῖς—τῷ θανάτῳ.

νεκροὶ ψυχροί εἰσιν, τοῦ ἐν αὐτοῖς θερμοῦ ἐκλιπόντος τῷ θανάτῳ. Gu. Leid.

1571. λωτοτρόφον: λωτὸν οὐ μόνον τὸ γλυκοκάλαμον, ἀλλὰ καὶ πόα τις ἡ ἰδιωτικῶς λεγομένη τριφύλιον. Gu. ἀνθηρόν. Fl. 59. λείμακα: κατὰ τὸν ἀνθηρὸν λειμῶνα. τὸ δὲ ἑξῆς λόγχαις μαρναμένους. B. λειμῶνα. I. βοτανοτρόφον κατὰ τὸν ἀνθηρὸν λειμῶνα. M. λόγχαις: μαχεσάμενα ἀπὸ κοινοῦ. Gr. Florr.

1572. κοινὸν Ἐνυάλιον: συγγενικὸν πόλεμον. B.I. ὃν πρὸς ἄλληλα δηλονότι ἐμαχέσαντο τὰ τέκνα πόλεμον. Gr. Florr.

1573. ἐναύλους: συνοίκους, ἢ ἐν ἐπαύλει μαχομένους. B.M.I. ὁμοῦ αὐλιζομένους. Gu.

1574. ἐπὶ τραύμασιν: κατὰ κοινοῦ τὸ εὗρεν. αἵματος τύχην: ἀντὶ τοῦ αἵματος τυγχάνοντας, καὶ εἰς τοῦτο τύχης ἀφιγμένους, τουτέστιν ἐλθοῦσα δ' εὗρεν αἵματι λοιπὸν πεφυρμένους καὶ τὴν τύχην αὐτοῖς τοῦ φόνου πέρας λαβοῦσαν. εὗρεν αὐτοὺς ἡ μήτηρ, ὥσπερ λέοντας δύο ἐν ἐρήμοις τόποις μαχομένους περὶ τραύματα, τουτέστιν ἢ περὶ σώματος ἢ παρδάλεως ἢ ἄλλου τινός. A.C. Ἄλλως. κοινὸν τὸ εὗρεν· ὁ δὲ λόγος ἀσύνδετος· ἐπὶ τοῖς τραύμασιν εὗρε ψυχρὰν σπονδὴν αἵματος, ὅπερ αἷμα τῶν φονευομένων σπονδή ἐστι τοῦ Ἅιδου καὶ τοῦ Ἄρεως. B.C.M.I.

1575. ψυχρὰν λοιβάν: τὴν εἰς ψύξιν καὶ θάνατον ἄγουσαν. B.I. σχόντας φόνον. Fl. 33.

1576. ἂν ἔλαχ' Ἀΐδας: ἥντινα λοιβὴν ἐξ αἵματος ἔλαχεν ὁ Ἅιδης, παρόσον οἱ φονευόμενοι εἰς Ἅιδου χωροῦσι. προεξένησε δὲ,

4. τριφύλιον] Immo τρίφυλλον.
12. κατὰ κοινοῦ A. κατακοινοῦσι δὲ C.
ib. αἵματος τύχην: ἀντὶ τοῦ αἵματος] αἵματος δὲ τύχην ἀντὶ τοῦ ἐν αἵματι A.
ib. τύχην] Unde τύχην fluxerit non assequor. MATTH.
13. τύχης om. C.
16. δύο om. C.
ib. ἐν ἐρήμοις τόποις om. A.
ib. τουτέστιν om. A.
17. Ἄλλως addidi ex A.C. Lemma εὗρε δ' ἐν ἠλέκτραις est in M.
18. ἀσύνδετος] ἀσύνετος I.
ib. ἐπὶ τοῖς] ἐπὶ τὸ M.
19. ὅπερ αἷμα τῶν] ἥπερ αἱμάτων I.
ib. φονευομένων] πεφονευμένων C.
ib. τοῦ Ἅιδου] τῆς αἰδοῦς M. τοῦ τάφου C., sed superscripto ᾅδου.
20. καὶ τοῦ Ἄρεως (ἄρεος A.) om. M.I. Post ἄρεος A. pergit, ἄλλως. κατὰ κοινοῦ τὸ εὗρεν. εὗρεν αὐτοὺς ἡ μήτηρ ὥσπερ λέοντας δύο ἐν ἐρήμοις τόποις μαχομένους περὶ τραύματα, ὅ ἐστι περὶ παρδάλεος ἢ ἄλλου τινός.
23. ἂν—λοιβὴν ἐξ] λοιβὴν (λοιβὰν A.) φονίαν, ἥντινα λοιβὴν ἐξ A.C.
ib. ἐξ αἵματος ἔλαχεν] τοῦ αἵματος κεκλήρωται I.
24. Ἅιδης] ἄρης C.

φησὶν, ὁ Ἄρης τῷ Ἅιδῃ τὴν ἐξ αἵματος σπονδήν. A.B.C.M.I. κεκλήρωται. B. ἐκληρώσατο. Gr.

1577. χαλκόκροτον: τὸ ὑπὸ χαλκοῦ συγκεκροτημένον καὶ κατεσκευασμένον ξίφος. B.I. χαλκήλατον, ὑπὸ χαλκοῦ ἠλασμένον. Gr. Cant. ἐκ χαλκοῦ κατασκευασθὲν, τὸ κρουόμενον παρὰ χαλκοῦ. Gu. εἴσω: παρέσω τὸ ξίφος. M.

1578. σαρκός: τῆς ἑαυτῆς. Gr. ἔβαψεν: ἐνέβαλεν. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ἄγχι δὲ τέκνων: ἐπὶ τῶν τέκνων τῶν νεκρῶν. I.

ἔπεμψεν: γρ. ἔβαψεν. B. ἀμφὶ τέκνοισι: ἐπὶ τῷ πένθει τῶν τέκνων. A.B.C.M. ἐπεὶ βουλομένη αὐτοὺς καταπαῦσαι τῆς μάχης καὶ αὐτὴ κατέπαυσεν ἐπὶ λύπῃ δηλονότι. A.B.C. Fl. 33.

1579. πάντα δ' ἐν ἄματι: τὸ ἑξῆς παντα τὰ ἄχη. C. πάσας δὲ τὰς λύπας ἐν ταύτῃ τῇ ἡμέρᾳ συνήγαγεν. B.M. πάντα δὲ τὰ ἄχη, ἤγουν πάσας δὲ τὰς λύπας, ὦ πάτερ, ἐν ταύτῃ τῇ ἡμέρᾳ συνήγαγεν ἐπὶ τοῖς ἡμετέροις δώμασιν ὁ θεὸς, ὃς ταῦτα πληροῖ. Gr. Cant.

1581. τελευτᾷ: εἰς πέρας ἤγαγεν. M. εἰς πέρας ἄγει, τελειοῖ, ἐνεργεῖ. Gu.

1582. κατῆρξεν: ἔφερε. B. ὑπῆρξεν: ἀντὶ τοῦ ἦρξεν, ἤγουν ἐπεστάτησεν, ἐξουσίασε κατὰ τῶν δόμων τοῦ Οἰδίποδος. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. κατὰ τοὺς δόμους τοῦ Οἰδίπου. Mosq. δόμοις: γρ. ἢ τέκνοις ἢ γένει. B.

1583. εὐτυχέστερος βίος: οὐχ ὡς τοῦ προτέρου βίου εὐτυχοῦς ὄντος συγκριτικῷ ἐχρήσατο· ἔσθ' ὅτε γὰρ τὰ συγκριτικὰ ἐξ ἀνομοιοειδῶν γίνεται, ὡς τὸ πρεσβύτερος παίδων, οὐχ ὡς καὶ τῶν ἄλλων παίδων παλαιῶν ὄντων. A.B.C.M.I. βίος: ὁ ἐπίλοιπος. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1. φησὶν om. M.

10. ἀμφὶ τέκνοισι:—τέκνων] ἔπεμψεν: ἐπὶ δὲ τῶν τέκνων τῷ πένθει C. Sic etiam A. nisi quod ἐπὶ δὲ τῷ πένθει τῶν τέκνων.

11. ἐπεὶ om. A.B. Fl. 33.

ib. καταπαῦσαι] Spectant haec ad lectionem ἔπαυσ' pro ἔπεσ'. MATTH.

ib. μάχης—λύπῃ] λύπης—τῷ ἄδῃ C. λύπης—τῷ ἄχει A.

15. ταύτῃ] αὐτῇ B.

25. συγκριτικῷ] τῷ συγκριτικῷ B.I.

26. γίνεται] γίνονται A.C.

ib. ὡς τὸ om. B.C.M.

ib. πρεσβύτερος A.M. πρεσβυτέρα B.I. πρεσβυτέρων C.

ib. ἄλλων παίδων] παίδων om. C.

1584. *οἴκτων μέν*: θρήνων μὲν ἀπὸ τοῦ νῦν λήγετε, ὅτι καιρὸς ταφῆς. Gr. *ὡς ὥρα τάφου*: καιρός ἐστι μνήμην ποιεῖσθαι τῶν τάφων καὶ τῶν θαπτομένων. B.C.M.I. Ἄλλως. οὐχ ἵνα πάντες ταφῶσιν, ἀλλὰ μόνος Ἐτεοκλῆς καὶ Ἰοκάστη· τὸν γὰρ Πολυνείκην ἀκήδευτον ἐαθῆναι κελεύει. A.B.C.I.

1586. *ἀρχὰς τῆσδε γῆς*: τὰς ἀρχὰς φερνὰς διδούς· ἀπὸ κοινοῦ δὲ τὸ διδούς. φερνὰς οὖν, φησίν, ἔδωκε τῇ ἑαυτοῦ ἀδελφῇ ἑαυτοῦ τὴν ἀρχήν. A.B.M.I. φερνὰς τὰ διδόμενα δῶρα τῇ νύμφῃ. ἀπὸ κοινοῦ δὲ τὸ διδούς. M. Ἄλλως. φερνὰ ἡ προὶξ ἀπὸ τοῦ ἐπιφέρεσθαι αὐτὴν τὰς εἰς γάμους διδομένας. A. φερνὰς δέ φησι τὰ διδόμενα χάριν προικὸς τῇ νύμφῃ. B.I. ἐπειδὴ παρηγγύησε τῷ ἐμῷ παιδὶ Αἵμονι Ἀντιγόνην, ἔδωκεν ἐμοὶ τὴν βασιλείαν φυλάττειν, μέχρις ἂν, πληρωθέντων τῶν γάμων, Αἵμων λαβὼν ταύτην ὡς προῖκα ἄρχῃ σὺν Ἀντιγόνῃ τῆσδε τῆς χώρας. Gu.

1588. *Αἵμονι*: τῷ υἱῷ μου. I. *κόρης τε λέκτρον*: καὶ τὸ λέκτρον ἀντὶ τοῦ τὴν συνάφειαν τῆς θυγατρός σου τῆς Ἀντιγόνης, ἀντὶ τοῦ καὶ τὴν θυγατέρα σου τὴν Ἀντιγόνην εἰς συνάφειαν γάμου. Gr. Cant.

1589. *οὔκουν σ' ἐάσω*: οὐδαμῶς. M. οὐκέτι οὖν σε ἐάσω. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1590. *σαφῶς*: φανερῶς. Gr. ἀληθῶς ἐμαντεύσατο. M. ἀντὶ τοῦ ἀληθῆ γὰρ ἐμαντεύσατο. B. ἀληθῶς. Gu. *οὐ μήποτε*: ἐκ παραλλήλου τὸ οὐ καὶ τὸ μή. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1591. *εὖ πράξειν*: εὐτυχήσειν. Gr. Florr. iidem.

1592. *ἐκκομίζου*: ἔξω παραπέμπου. Gr. Florr. iidem. *ὕβρει*: ἐφ' ὕβρει. Gr. Florr. iidem.

1593. *διὰ δὲ τοὺς ἀλάστορας*: τὰς δυστυχίας τὰς σάς. I.

2. καιρὸς] ἄλλως praefixum in A. C. in quibus hoc scholion proximo, cui ego Ἄλλως praefixi, est postpositum.

ib. τῶν τάφων] τοῦ τάφου A.C.

4. Ἐτεοκλῆς] ὁ ἐτεοκλῆς A.C.

5. ἐαθῆναι B. ut conjecerat Valck. ἐκπεμφθῆναι A. ἐκπεφθεῖναι (sic) C. καθῆναι I.

ib. κελεύει] λέγει A.C.

6. φερνὰς additum ex A.C. in quibus est φερνὰς διδούς. φερνὰς δέδωκε τῇ ἑαυτοῦ ἀδελφῇ (ἀ. ἑαυτοῦ C.) τὴν ἀρχήν. ἄλλως. τὰς ἀρχὰς φερνὰς διδούς:—

7. τὸ διδοὺς] τὸ om. M.

ib. οὖν φησὶν om. M.

ib. ἔδωκε] δέδωκε M.

ib. ἑαυτοῦ ἀδελφῇ] ἀδελφῇ ἑαυτοῦ M.

16. τὴν om. Gr.

ἀλάστορας: τοὺς ἀλάστορας τοὺς σοὺς, ἤγουν τοὺς παρακολουθοῦντάς σοι κακοποιοὺς δαίμονας. Bar. Gr. Fl. 59.

1595.—1624. *ὦ μοῖρ' ἀπ' ἀρχῆς*: ὦ μοῖρα καὶ τύχη, λίαν ἐποίησας ἐμὲ ἀπ' ἀρχῆς ἄθλιον καὶ τλήμονα, ὡς οὐδεὶς ἄλλος τῶν ἀνθρώπων ἐγένετο· ὅν, ἐμὲ δηλονότι, καὶ πρὸ τοῦ ἐλθεῖν εἰς φῶς ἐκ τῆς γονῆς τῆς μητρὸς, ἤτοι ἐκ τῆς γεννήσεως τῆς μητρὸς, ἐθέσπισεν ὁ Ἀπόλλων τῷ Λαΐῳ ἄγονον, ἤτοι μὴ γεννηθῆναι ὀφείλοντα, γενέσθαι φονέα τοῦ πατρός. φεῦ, ἄθλιός εἰμι ἐγώ. ἐπεὶ δὲ ἐγενόμην, ἤτοι εἰς φῶς ἦλθον, πάλιν ὁ σπείρας πατὴρ ἔκτεινέ με, ἤτοι κτεῖναί με ἔκρινε, νομίσας γεγονέναι πολέμιον· ἀπέκειτο δὲ θανεῖν αὐτὸν ἐξ ἐμοῦ. πέμπει δέ με, ἀντὶ τοῦ ἐξέπεμψεν ἐμὲ, ποθοῦντα μαστὸν, ἤτοι ὑπομάζιον ὄντα, βορὰν ἀθλίαν, γενησόμενον δηλονότι, θηρσὶν ἀντὶ τοῦ θηρῶν· οὗ καὶ ὅπου σωζόμεθα, ἀντὶ τοῦ ἐσώθημεν. ὤφελε γὰρ, ἀντὶ τοῦ ἔπρεπεν, ἐλθεῖν ὁ Κιθαιρὼν εἰς τὰ χάσματα καὶ εἰς τὰ σχίσματα τοῦ Ταρτάρου τὰ ἄβυσσα, καὶ τὰ βαθύτατα, ὃς οὐκ ἀπώλεσεν ἐμὲ, ἀλλὰ ἔδωκεν ἐμοὶ ὁ δαίμων δουλεῦσαί τε ἀμφὶ δεσπότην τὸν Πόλυβον. κτανὼν δὲ ὁ δυστυχὴς τὸν ἐμαυτοῦ πατέρα ἦλθον εἰς συνάφειαν τῆς ταλαιπώρου μητρὸς, ἔτεκόν τε παῖδας ἀδελφοὺς, οὓς ἀπώλεσα λαβὼν ἀρὰς παρὰ τοῦ Λαΐου καὶ δοὺς τοῖς παισίν· οὐ γὰρ τοσοῦτον ὑπάρχω ἀσύνετος καὶ ἀνόητος ὥστε ἄνευ του, καὶ τινὸς, τῶν θεῶν ἐμηχανησάμην ταῦτα εἰς τὰ ἐμὰ ὄμματα καὶ εἰς τὸν βίον καὶ τὴν ζωὴν τῶν ἐμῶν παίδων. εἶεν, καὶ ἔστω ταῦτα· τί δῆτα δράσω ὁ δυστυχὴς ἐγώ; τίς ἀκολουθήσει μοι ὁδηγὸς ποδὸς τυφλοῦ; ἡ θανοῦσα ἥδε, ἤγουν ἡ Ἰοκάστη; ζῶσα γὰρ ἂν οἶδα σαφῶς ὅτι ἐγένετο ἡγεμὼν δηλονότι. ἀλλ' ἡ τῶν καλῶν παίδων δυάς; ἀλλ' οὐκ ἔστι μοι. ἀλλ' ἔτι νεάζων, ἤτοι νέος ὢν, εὕροιμι αὐτὸς πόρον ζωῆς; πόθεν, ἀντὶ τοῦ οὐδαμῶς. τί ἀποκτείνεις ἐμὲ, ὦ Κρέον, οὕτως ἄρδην καὶ παντελῶς; ἀποκτενεῖς γὰρ, εἰ ἐκβαλεῖς ἐμὲ ἔξω τῆς γῆς. οὐ μὴν ἑλίξας τὰς χεῖρας περὶ τὸ σὸν γόνυ φανοῦμαι δειλός· τὴν γὰρ ποτὲ οὖσαν ἐμοὶ γενναιότητα οὐκ ἂν καταλίποιμι, καίπερ πράσσων δυστυχῶς. I.

1595. *ὥς μ' ἔφυσας*: λίαν ἐξ ἀρχῆς ἐποίησας ἄθλιον. I. καθὸ, πρὶν γενέσθαι, δυστυχὴς ὑπῆρχον. B.M.I.

1596. *εἴ τις*: ἀντὶ τοῦ ὡς οὐδὲ εἷς. M. ἀντὶ τοῦ ὡς οὐδεὶς ἄλλος. B.

1597. ὃν καὶ πρὶν ἐς φῶς: μήπω μηδὲ σπαρέντα. B.M.

μητρὸς ἐκ γονῆς: γόνος καὶ γονὴ τὸ σπέρμα τοῦ ἀνδρὸς, ὃ παραλαβοῦσα ἡ γυνὴ καὶ θάλψασα καὶ τὸν τεταγμένον χρόνον κατασχοῦσα, ἀποτίκτει. ὥσπερ δὲ λέγεται σπέρμα τῆς γῆς ὁ σῖτος καὶ ἡ κριθὴ καὶ τὰ τοιαῦτα, διότι εἰς τὴν γῆν σπείρονται, οὕτω καὶ ὁ καταβαλλόμενος πρὸς τὴν γυναῖκα σπόρος τῆς γυναικὸς ἂν λέγοιτο κατὰ τὸν προσήκοντα λόγον. καθ' ὃ λέγεται ἐνταῦθα τὸ μητρὸς ἐκ γονῆς, ἤγουν ἐκ τοῦ σπέρματος τῆς μητρὸς, ἀντὶ τοῦ ἐκ τοῦ πρὸς τὴν ἐμὴν μητέρα καταβληθέντος σπέρματος. ἀπὸ τούτων καὶ τὸ γόνιμον καὶ τὸ ἄγονον. λέγεται δὲ ταῦτα (ἐναντία γάρ εἰσι, καὶ ἐπὶ τῶν αὐτῶν λέγεται) πρῶτα μὲν ἐπὶ ἀνδρὸς δυναμένου παιδοποιεῖν, ἢ μὴ δυναμένου, καὶ ἐπὶ μήτρας δυναμένης σπέρμα ζωογονεῖν, ἢ μὴ δυναμένης· ἔπειτα καὶ ἐπὶ φυτῶν δυναμένων καρποφορεῖν, ἢ μὴ δυναμένων· καὶ ἐπὶ γῆς ἐπιτηδείου σπέρματα θάλπειν καὶ τρέφειν, ἢ μὴ ἐπιτηδείου· καὶ ἐπὶ ποιητοῦ δυναμένου ποιεῖν ποιήματα, ἢ μὴ δυναμένου· καὶ ἔτι ἐπὶ βρέφους δυναμένου τεχθῆναι, ἢ πρέποντος, ὡς ἐν τούτοις. καὶ τοῦτό φασιν ἑπτὰ μησὶ γόνιμον εἶναι· ἐνταῦθα δὲ ἀντὶ τοῦ δυναμένου τεχθῆναι, ἢ μὴ δυναμένου, ἢ πρέποντος· οἷον ἐνταῦθα τὸ "ἄγονον Ἀπόλλων Λαΐῳ μ' ἐθέσπισεν," ἀντὶ τοῦ μὴ πρέποντα εἶναι τεχθῆναι. Gr. I.

1598. ἄγονον: ἄπαιδα, ἀγέννητον. M. ἐθέσπισεν: ἐμαντεύσατο. Cant. ἐχρησμοδότησεν. Gr. Cant.

1600. ἐπεὶ δ' ἐγενόμην: ὅσον τὸ κατ' αὐτὸν ἀπέκτεινεν· ἐξέθηκε γάρ με ἐλπίσας ἀποτεθνήξεσθαι. A.B.M. ἐπεὶ δ' ἐγεννήθην, πάλιν ὁ σπείρας πατὴρ κτείνει με, ὅσον κατὰ τὴν οἰκείαν προαίρεσιν. I.

αὖθις: μετὰ τὸν Πύθιον θεόν. ὁ μὲν γὰρ τῷ χρησμῷ με προα-

1. σπαρέντα] δυστυχὴς ἦν addit M. In B. additum γρ. καὶ πατρὸς ὅς μ' ἐγείνατο, et in margine altera γρ. μητρί τ' ἀναβῆναι λέχος.

8. τῆς μ.] καὶ τῆς μ. I.

9. καὶ om. Gr.

14. θ. καὶ τ.] τ. καὶ θ. I.

14. 15. ἐπιτηδείου Valck. haud dubie e Leid. in quo haec legi monuit. Sic etiam Gr. pro ἐπιτηδείας. Ex iisdem ποιεῖν ante ποιήματα accessit. In fine Mosq. habet :—βρέφους δυν. τεχθῆναι ἢ μὴ πρέποντος, ὡς ἐν τούτοις, καὶ ἐνταῦθα. ἀντὶ τοῦ δυν. μὴ τ. ἢ μὴ δυν. ἢ μὴ πρέπ. οἷον ἐνταῦθα τὸ ἄγονον. MATTH.

18. ἐνταῦθα et hic et post ἐθέσπισεν habent Gr. I.

21. ἄπαιδα] ἄπεδα M.

23. ὅσον] γὰρ addit M.

ib. ἀπέκτεινεν] κτείνει με A.

ib. ἐξέθηκε—ἀποτεθνήξεσθαι] ἐλπίσας γάρ με ἀ. ἐξέθηκεν B.

25. ὅσον κατὰ—προαίρεσιν] Haec etiam in B.

26. τῷ χρησμῷ] τοῖς χρησμοῖς A.M.

νεῖλε κελεύσας μὴ σπαρῆναι, ὁ δὲ πατὴρ τεχθέντα ἐκθεὶς ἀπέκτεινε. A.B.M.

1602. χρῆν γάρ: εἵμαρτο γὰρ αὐτῷ ἐξ ἐμοῦ ἀποθανεῖν. M. ἀπέκειτο, εἵμαρτο. I. πέμπει: εἰς τὸν Κιθαιρῶνα. B. Gu. ἤγουν ἐξέπεμψεν, ἐξέθηκε χερσὶν ἄλλων. Gr. Florr.

1603. μαστὸν ποθοῦντα: μαστὸν ζητοῦντα καὶ χρήζοντα. M. ἔτι χρήζοντα μαστοῦ τὸν ἄθλιον πέμπει με τροφὴν τοῖς θηρσί. I.

1605. Κιθαιρών: αὐτὸς ὁ Κιθαιρὼν, ὃς ὤφειλε καταταρταρῶσθαι. εὐήθως δὲ, φασὶ, καταρᾶται τῷ Κιθαιρῶνι, ὅτι οὐκ ἀπώλεσεν αὐτόν. δέον γὰρ τοῖς ἀνελομένοις καταράσασθαι ἢ τῇ Πολύβου γυναικὶ, τῷ ὄρει καταρᾶται. ἀλλὰ μεμίμηται ὁ Εὐριπίδης τοὺς δι' ὑπερβολὴν συμφορᾶς καὶ τοῖς ἀναισθήτοις θυμουμένους. A.B.M.

ἄβυσσα: εἰς τὰ βαθέα. M. ἀχανῆ. Gr. Florr. εἰς τὰ βαθύτατα σχίσματα. βυσσὸς ὁ βυθὸς, βύσσος δὲ τὸ κόκκινον βάμμα. Gu.

1606. ἀλλὰ δουλεῦσαί τέ μοι: δοῦλον γενέσθαι. I. καὶ τοῦτο εὔηθες· οὐ γὰρ δοῦλον αὐτὸν ἐποίησεν ὁ Πόλυβος, ὡς καὶ ἡ Ἰοκάστη φησὶν "ἡ δὲ τὸν ἐμὸν ὠδίνων πόνον μαστοῖς ὑφεῖτο, καὶ πόσιν πείθει τεκεῖν." ὥστε υἱὸς ἐνομίζετο. ἀλλὰ φαμὲν ὅτι ἕνεκα τοῦ εἰς οἶκτον κινῆσαι τοὺς θεωμένους ταῦτα ὁ Εὐριπίδης ἐτεχνάσατο, ἢ ὅτι οἱ βαρυνόμενοι συμφοραῖς ὑπὸ προκειμένης συμφορᾶς καὶ τὰς προτέρας εὐδαιμονίας δυστυχίας ἀποκαλοῦσιν. A.B.M.I. ἀλλὰ καὶ δουλεῦσαί μοι ἔδωκε πρὸς δεσπότην τὸν Πόλυβον. Gr. Florr.

1. ἀπέκτεινε om. B.M.

3. εἵμαρτο γὰρ αὐτῷ θανεῖν et ἀπέκειτο etiam in B. εἵμαρτο Gr. ἀπέκειτο καὶ πεπρωμένον ὑπῆρχεν Gu.

5. χερσὶν ἄλλων] Sic Soph. Oed. T. 719. ἔρριψεν ἄλλων χερσὶν ἄβατον εἰς ὄρος.

7. ἔτι μαστοῦ χρήζοντα etiam B.

8. Κιθαιρών: αὐτὸς] ταρτάρου γὰρ ὤφελεν. εἴτε ἐταρταρώθη ὁ κιθαιρὼν ἔμου (corrige ὅπου) ἐσώθημεν φυγόντες ἀθλίαν τροφὴν τῶν θηρίων—αὐτὸς A.

9. φασὶ scripsi pro φησί.

10. καταράσασθαι] καταρᾶσθαι B.

15. καὶ τοῦτο] ἄλλως praefixum in M. in quo hoc seholion legitur post αὐτοῦ γέγονεν (schol. v. 1607.) καὶ τοῦτο εὔηθες scholiasta dieit respiciens ad εὐήθως, quo usus erat in scholio v. 1605.

16. ὁ Πόλυβος om. I.

ib. ἡ (ἢ om. A.B.) Ἰοκάστη φησὶν] v. 30.

17. τὸν ἐμὸν B. τὸν ἐμῶν A. τῶν ἐμῶν M.I.

18. τεκεῖν om. M.

ib. ὥστε υἱὸς ἐνομίζετε om. I.

ib. ὅτι—θεωμένους] ὅτι διὰ τὸ κινῆσαι οἶκτον τοῖς θεωμένοις A.

19. ταῦτα—ἐτεχνάσατο om. I.

ib. ἐτεχνάσατε] μετετεχνήσατε M.

20. ὑπὸ] ὑπὲρ A.

ib. συμφορᾶς A. δυστυχίας ceteri.

ib. τὰς προτέρας] τὰς προκειμένας I.

21. ἀποκαλοῦσι] καλοῦσι A.

1607. Πόλυβον ἀμφὶ δεσπότην: οὐκ ἐξέφανεν αὐτὸν δεσπότην ἢ πατέρα· οὐ γὰρ ἐτέχθη υἱὸς, ἀλλὰ κτῆμα αὐτοῦ γέγονεν. A.B.M.I.

1611. ἀρὰς παραλαβών: θέλει εἰπεῖν ὅτι εἵμαρται ταῦτα παθεῖν τῷ γένει· ὁ γὰρ Λάϊος, φησὶ, γνοὺς μὴ κατὰ βούλησιν θεῶν γεγονότα με, κατηράσατο, ἵνα δηλονότι ἀποθάνω· ἐγὼ δὲ ἀπὸ σκαιοῦ δαίμονος τὰς παρ' ἐκείνου ἀρὰς δεξάμενος παρέδωκα, φησὶ, καὶ τοῖς ἐξ ἐμοῦ παισίν. A.B.M.I. ὅτι γὰρ οὐχ ἑκὼν κατηρασάμην, ἀλλ' ὑπὸ βίας δαίμονός τινος, τεκμήριον ἐκεῖνο, τὸ μὴ τοσοῦτόν τινα ἀνόητον εἶναι ὡς ἑκόντα τυφλὸν γενέσθαι ἢ τοῖς ἑαυτοῦ παισὶ καταρᾶσθαι, ἐκτὸς εἰ μὴ δαίμων τις ἄγει πρὸς τοῦτο· ὥστε ταῦτα ἐμηχανησάμην ἔκ τινος θεῶν. A.

ἀρὰς παραλαβών: κατάρας παρὰ τοῦ Λαΐου λαβὼν, ἀντὶ τοῦ κληρονομήσας, καὶ πρὸς τοὺς παῖδας παραπέμψας. ἀρὰς δὲ λέγει τὰς παρακολουθούσας τῷ γένει αὐτῶν ἀπὸ τοῦ Πέλοπος, οὐχ ἃς αὐτῷ ὁ Λάϊος κατηράσατο, ἐπεὶ οὐδὲ φέρεταί τι τοιοῦτον ἀπὸ τοῦ Λαΐου πρὸς τὸν Οἰδίποδα, ἀλλ' ὡς ὁ Πέλοψ Λαΐῳ κατηράσατο δυσθυμήσας ἐπὶ τῇ υἱοῦ αὐτοῦ Χρυσίππου ἁρπαγῇ, ἣν ἡρπάξατο ὁ Λάϊος. Gr. Cant. τὸ γὰρ δυστυχεῖν με παρὰ πατρὸς λαβὼν, παρανόμως ὑπ' ἐκείνου σπαρεὶς, καὶ διὰ τοῦτο εἰς Κιθαιρῶνα ῥιφεὶς ἐπ' ἀπωλείᾳ, παρέδωκα τοῖς παισὶν, ἅτε πεπρωμένου μηδένα τῶν ἐκ Λαΐου εὐτυχῆ γενέσθαι· ὥστε, τούτου ὄντος, κατηρασάμην αὐτὸς τοῖς παισὶν, ὑπὸ τοῦ προσόντος μοι κακοῦ δαίμονος εἰς τοῦτο συνελαθείς. Gu.

1612. οὐ γὰρ τοσοῦτον: οὐ γὰρ τοσοῦτον ἀνόητος πέφυκ' ἐγὼ ὥστε χωρίς τινος ἀπὸ τῶν θεῶν εἰς τὰ ἐμὰ ὄμματα ταῦτα ἐμηχανησάμην καὶ εἰς τὴν ζωὴν τῶν ἐμῶν παίδων. ὅμοιον τῷ παρὰ Σοφοκλεῖ "ἡ δ' ὧδε τλήμων ὥστε τῷ μιάστορι ξύνεστιν." τὸ γὰρ ὥστε, μετὰ ἀπαρεμφάτου οἰκείως ἔχον τάττεσθαι, ἐν τούτοις μετὰ ὁριστικοῦ κεῖται καθ' ὁμοίαν ἀκολουθίαν. ἴσως οὖν ὁ καί σύνδεσμος ἐπὶ τούτων συνυπακούεται· μετὰ γὰρ τοῦ καί συνδέσμου τὸ ὥστε οὐκ ἀνακολούθως πρὸς ὁριστικὸν λέγεται. Gr. Cant. Leid.

1. ἐξέφανεν B.M. ἐξέφαινεν I.
ib. δεσπότην ἢ om. B.I.
2. οὐ γὰρ M. οὐκ A.B.I.
ib. ἐτέχθη] ἐτάχθη M.
ib. κτῆμα A.B.M. δοῦλος καὶ κτῆμα I. In M. etiam gl. Πολύβου γυνὴ Μερόπη.
4. φησὶ om. A.
6. φησὶ, καὶ om. A.
16. ἀλλ' ὡς — ἡρπάξατο ὁ Λάϊος om. Gr.
25. Σοφοκλεῖ] El. 277.

1613. ἐμηχανησάμην: δέον εἰπεῖν μηχανήσασθαι, ὁ δὲ ἐμηχανησάμην εἶπεν, ὅτι γεγόνασιν. Gr.

1614. του: οὕτινος. M. τινός. Gr.

1616. ὁμαρτήσει: ἀκολουθήσει. Gr. I. ὁδηγήσει. I.

1617. ζῶσα γὰρ, σάφ' οἶδ': γρ. ζῶσά γ' ἂν σάφ' οἶδ' ὅτι. B. ἐποίησε τοῦτο. B. σαφῶς οἶδα ὅτι, εἰ ἔζη, συνήθως ἄν με ἐχειραγώγησεν Ἰοκάστη. B.M.I.

1618. ἀλλ' εὔτεκνος: ἀλλ' ἡ εὐτεκνία τῶν δύο μου παίδων. B.M.I. ἀλλ' ἡ τῶν καλῶν τέκνων δυάς. Gr.

1619. βίον: πόρον ζωῆς. Gr. Cant.

1620. πόθεν: οὐδαμῶς. Gr. I. ἄρδην: παντελῶς. Gu. I. διόλου. Gu. ἀφανιστικῶς. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1622. ἑλίξας: συστρέψας τὰς ἐμὰς χεῖρας ὑπὲρ τὸ σὸν γόνυ δειλὸς φανοῦμαι· τὴν γὰρ ἐμὴν εὐγένειαν οὐκ ἂν προδώσω, κἂν δυστυχῶ. I. ἑλίξας: περιβαλὼν τοὺς σοὺς πόδας. Gr. Cant. περιστρέψας, περιθείς. Gu. χεῖρας: τὰς ἐμάς. B.

1623. κακός: δειλὸς, ἀγεννής. Gu. εὐγενές: γενναῖον, ἀνδρεῖον. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. τὴν οὖσαν ἐμοί ποτε γενναιότητα. Gu.

1624. προδοίην: ἀπολέσαιμι. Gr. Florr. iidem. πράσσων κακῶς: δυστυχῶν. B. Gr.

1625.—1638. σοί τ' εὖ λέλεκται: σοί τε εὖ καὶ καλῶς λέλεκται, μὴ θέλειν τὰ ἐμὰ γόνατα, ἤτοι μὴ χρήζειν ἅπτεσθαι τῶν ἐμῶν γονάτων, ἐγὼ δὲ οὐκ ἂν ἐάσαιμί σε οἰκεῖν τὴν χθόνα. ἀπὸ τῶνδε δὲ τῶν νεκρῶν τὸν μὲν, ἤγουν τὸν Ἐτεοκλῆν, πρέπον κομίζειν ἤδη εἰς τοὺς δόμους, τόνδε δὲ, λέγω τὸν νέκυν τοῦ Πολυνείκους, ὃς ἦλθε σὺν ἄλλοις πορθήσων τὴν πατρίδα, ἐκβάλετε καὶ ῥίψατε ἄταφον ἔξω τῶν ὅρων τῆσδε τῆς χθονός. κηρυχθήσεται δὲ πᾶσι τοῖς Καδμείοις τάδε, ὃς ἁλῷ καὶ κρατηθῇ ἢ καταστέφων καὶ τιμῶν τόνδε τὸν νεκρὸν, ἢ καλύπτων γῇ, ἤτοι θάπτων, θάνατον ἀνταλλάξεται, ἤγουν ἀντὶ κόσμου καὶ τῆς ταφῆς λήψεται θάνατον. κηρύξεται δὲ, κατὰ κοινοῦ, ἐᾶν ἄκλαυστον, ἄταφον, βορὰν τοῖς ὀρνέοις. σὺ δὲ, ὦ Ἀντιγόνη, ἐκλιποῦσα τοὺς θρήνους τῶν τριῶν νεκρῶν, κόμιζε σεαυ-

6. σαφῶς οἶδα] οἶδα ταῦτο M.
7. Ἰοκάστη om. M.
23. μὴ θέλειν—] Leg. μὴ θέλειν τὰ ἐμὰ γόνατα χρῄζειν, ἤτοι ἅπτ. τῶν ἐμῶν γον. MATTH.

τὴν ἔσω τῶν δόμων, καὶ παρθενεύου, ἀντὶ τοῦ ἐν τῷ παρθενῶνι μένε, περιμένουσα τὴν ἐπερχομένην ἡμέραν, ἐν ᾗ μενεῖ σε τὸ λέκτρον καὶ ἡ συνάφεια τοῦ Αἵμονος. I.

1625. σοί τ' εὖ λέλεκται: καλῶς εἶπας ὅτι οὐχ ἱκετεύω σε· εἰ γὰρ καὶ σὺ ἠθέλησας, ἐγὼ οὐ συνεχώρουν. B.M.I. χρώζειν: μιαίνειν. B. μὴ ἁπτόμενον τῶν ἐμῶν γονάτων. M. χρώζω κυρίως τὸ μολύνω. Gu.

1627. νεκρῶν δὲ τῶνδε: τοὺς μὲν τῶν νεκρῶν. B.M.

1628. ἤδη κομίζειν: γρ. δμῶας. M. τόνδε δ', ὅς: τὸν δὲ Πολυνείκους νέκυν. B.M.I.

1631. κηρύξεται: φανερώσεται. M. κηρυχθήσεται. B.M. Gr. I.

1632. καταστέφων ἀλῷ: κοσμῶν φωραθῇ. Gr. κρατηθῇ. Gu. I. εἰώθασι γὰρ στέφειν τοὺς νεκρούς. B.M.I.

1633. καλύπτων: ἀντὶ τοῦ θάπτων. B. Gr. θάνατον ἀνταλλάξεται: ἀντὶ τῆς ταφῆς θάνατον λήψεται. A.B.M.I.

1634. οἰωνοῖς βοράν: ὀρνέων τροφήν. M. πετεινοῖς. Gr.

1635. τριπτύχων θρήνους νεκρῶν: γρ. τριπτύχων νεκρῶν γόους. B.M.

1637. καὶ παρθενεύου: παρθένος δίαγε, ἐκδεξομένη τὴν ἑξῆς ἡμέραν. B.M.I. τὴν ἐπιοῦσαν: τὴν ἐπελευσομένην. Gr. τὴν ἐλευσομένην. Florr.

1640. ὥς σε στενάζω: πρὸς τὸν Οἰδίποδα λέγει ὅτι στένω σε, ὦ πάτερ, πλέον τῶν θανόντων. B. Gr. I. τῆς Ἰοκάστης καὶ τῶν παίδων αὐτῆς. Gr. Leid.

1643. ἀτάρ σ' ἐρωτῶ: πρὸς τὸν Κρέοντα ἀποστρέφει τὸν λόγον· τί διώκεις τὸν πατέρα; τί δὲ ἀπαγορεύεις τὴν ταφὴν τοῦ παιδὸς Πολυνείκους; B.I.

1645. θεσμοποιεῖς: νομοθετεῖς. B.M. Gr. I. θεσμὸς καὶ νόμος διαφέρει. θεσμὸς ἀπὸ τοῦ τίθημι, νόμος δὲ ὁ ἐκ πολλῶν συγγεγραμμένος. Fl. 59.

10. νέκυν] οὕτω τὰ ἑξῆς addit B.
15. λήψεται om. A.
16. οἰωνοῖς βοράν] Versum totum ἐᾶν δ' ἄκλαυστον (recte nonnulli ἄκλαυτον) ἄταφον οἰωνοῖς βοράν ex Sophoclis Antig. 29. (ubi οἰωνοῖς γλυκὺν θησαυρόν) illatum esse monuit Valcken., ubi cod. Laur. ἐᾶν δ' ἄταφον ἄκλαυτον, recta vera collocatio verborum ἄκλαυτον ἄταφον est in apographis, ut suo in codice legit vetus interpolator Euripidis.
23. θανόντων] τεθνηκότων Gr. I.
26. δὲ om. I.

νεκρῷ: Πολυνείκει. B. rec. Gr.

1646. Ἐτεοκλέους βουλεύματ᾽: πρὸς τὴν δευτέραν ἐρώτησιν ἀπαντᾷ τὴν περὶ τοῦ Πολυνείκους· περὶ γὰρ τοῦ Οἰδίποδος οὐδὲν ὁ Ἐτεοκλῆς διετάξατο. Gr. Cant.

1647. ἄφρονά τε: τὰ βουλεύματα. καὶ σὺ μωρὸς, ὃς ἐπείσθης τάδε εἰς πέρας ἀγαγεῖν. I. ὃς ἐπείθου τάδε: τοῦτο οὕτω συντακτέον, ἄφρονα ὑπάρχουσι ταῦτα, καὶ σὺ μωρὸς, ὃς τούτοις δηλονότι ἐπείθου. ἀγνοοῦντες δέ τινες τὴν σύνταξιν αἰτιατικῇ ἐνταῦθα τὸ πείθεσθαι συντάσσεσθαι λέγουσιν. ἢ οὕτω, καὶ σὺ, ὃς ἐπείθου ἐκείνῳ δηλονότι τάδε. πείθομαι γὰρ τῷ δεῖνι τάδε φαμὲν καὶ πείθω τὸν δεῖνα τάδε. Gu.

1648. πῶς: εἰμὶ μωρός; Gu. τἀντεταλμένα: τὰ προστεταγμένα. Gr. Cant. ἐκτελεῖν: ἀντὶ τοῦ τελεῖν. Gr. Cant. πληροῦν. Gu.

1649. πονηρά: παράνομα. κακῶς: ἀδίκως. Gr. Cant.

1651. οὐκ ἔννομον γάρ: οὐκ ἔννομον τιμωρίαν ἀπαιτεῖτε αὐτόν. I. ἀπὸ κοινοῦ τὸ οὐ δικαίως· ἀνόσιον γὰρ, φησὶν, ὅτι τοιαύτην τιμωρίαν αὐτὸν ἀπαιτεῖς· λέγει δὲ τὸ ἄταφον εἶναι. A.B.M.I.

1652. εἴπερ γε πόλεως ἐχθρὸς ἦν: ναὶ, φησὶν, ἔννομος, εἰ μὴ ὢν φίλος ἐχθρὸς ἐγένετο τῆς πατρίδος. A.B.M. Ἄλλως. οὐ δικαίως, εἰ μὴ ὢν φίλος ἐχθρὸς ἐγένετο. A. ναὶ, φησὶν, ἔννομον, εἴπερ ἦν ἐχθρὸς τῆς πόλεως, οὐκ ἐχθρὸς ὢν, ἤτοι οὐκ ὀφείλων εἶναι ἐχθρός. I.

1653. οὐκ οὖν ἔδωκεν: οὐχὶ οὖν. κατ᾽ ἐρώτησιν δὲ ὁ λόγος. οὐκ ἔδωκεν οὖν τῇ ἀποβάσει τὴν κόλασιν; δαίμονα δέ φησι τὸν ἐξ εἱμαρμένης καὶ δαίμονος θάνατον, τύχην δὲ τὴν κατὰ τὸν πόλεμον συντυχίαν. οὐκοῦν, φησὶν, ἀρκέσθητι τῷ θανάτῳ, ὃν ἔτυχεν αὐτὸν ἐν

5. ἄφρονα—] In B.M. ἄφρονα τὰ βουλεύματα et (ad ἐκπονεῖν) εἰς πέρας ἄγειν.

17. ἀπὸ] ἄλλως praefigit I.

ib. ὅτι] οὗτο (sic) M.

18. λέγει δὲ om. A.

ib. εἶναι] μεῖναι B. In B. tria ad h. v. glossemata, δίκαιον, τιμωρίαν, νιν.

19. ναὶ, φησὶν, ἔννομος—] ἄλλως praefixum in M. in quo haec leguntur post ἀνατλῆναι (schol. v. 1653.)

23. οὐχὶ οὖν om. A.I.

ib. δὲ om. B.I.

ib. οὐκ ἔδωκεν οὖν] οὐχὶ ἔδωκεν φησὶ A.

25. τύχην δὲ τὴν κατὰ τὸν (τὸν om. B.) πόλεμον συντυχίαν] τάχει (sic) δὲ κατὰ τὸν πόλεμον συντυχία M.

ib. τὸν πόλεμον] τὸν om. A.

26. συντυχίαν] δυστυχίαν A.

τῷ πολέμῳ ἀνατλῆναι. A.B.M.I. τῇ τύχῃ: ἐπὶ πολέμῳ. δαίμονα: τὴν τιμωρίαν. B. οὐκοῦν παρέσχε τῷ θανάτῳ δηλονότι (τοῦτο γάρ ἐστι τὸ τύχῃ) τὴν κατ' αὐτὴν εὐτυχίαν καὶ ζωὴν, τουτέστι περιὼν τε καὶ εὐτυχῶν τέθνηκεν οὕτως ἀθλίως. τούτου οὖν μηδὲν πλέον αὐτὸς ζήτει, μηδὲ τιμωροῦ θανόντα. Gu.

1654. καὶ τῷ τάφῳ: καὶ ἐν τῷ ἐνταφιασμῷ τὴν δίκην διδότω. I. ἤγουν ἐν τῷ τάφου μὴ τυχεῖν τιμωρηθήτω. Gu.

1655. τί πλημμελήσας: κατ' ἐρώτησιν ἐν ἤθει. τί πλημμελήσας ἀπήτησε τὸ μέρος; A.B.M.I. Ἄλλως. τί ἥμαρτε, φησὶν, εἰ τὸ μέρος μετῆλθεν; A. τί ἁμαρτήσας, τὸ ἀνῆκον αὐτῷ μέρος εἰ μετῆλθεν, εἰ ἐζήτησεν. Gr. Cant.

1657. κἂν ἀπεννέπῃ: κἂν ἀπαγορεύῃ ἡ πόλις. I.

1659. ἀλλ' εὐκλεές τοι: ἀλλ' ἔνδοξον δύο φίλους κεῖσθαι πλησίον. I.

1660. λάζυσθε: λαμβάνετε. Gr. I. λάβετε. B. Gu.

1661. οὐ δῆτ': οὐδαμῶς κομίσουσιν. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76. μεθήσομαι: χωρισθήσομαι. Gr. Cant. ἀπολειφθήσομαι, ἀποστῶ. Gu.

1662. ἔκριν' ὁ δαίμων: ταῦτα ἔκρινεν ὁ δαίμων, οὐχ ἃ σὺ βούλει. B.M. τὸ μὴ ταφῆναι τὸν ἀδελφὸν οὐ νομίζεται. B. ἐκύρωσεν ὁ θεός. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. ταῦτα ἔκρινεν ὁ δαίμων, τὸ μὴ ταφῆναι τὸν ἀδελφόν σου, οὐχ ἅ σοι δοκεῖ. I. δοκεῖ: ἀρεστὰ φαίνεται. Gr. ἀρέσκει. Gu.

1663. κέκριται: κεκύρωται ὑπὸ τῶν θεῶν. Gr. Cant. ἐπειδὴ γὰρ τὴν πατρίδα πορθῶν τέθνηκεν, αὕτη ἡ δυστυχία οὐ ποιεῖ τοῦτον ταφῆς ἀνάξιον. Gu.

1664. ὡς οὔτις: γίνωσκε ὅτι οὐδεὶς τοῦτον θάψει. I. ὑγρὰν θήσει κόνιν: τὴν χυτὴν καὶ λεπτὴν, πρὸς ἀντιδιαστολὴν τῆς ἐριβώλακος. Ὅμηρος "χυτὴν ἐπὶ γαῖαν ἔχευαν." ἔστι δὲ ὑγρὰ ἡ νεοσκαφὴς γῆ. A.B.M.I.

10. μέρος om. Gr.

12. ἀπαγορεύῃ est in B.M. Gr.

26. ὑγρὰν—] Rectius Gr. cum Flor. 5. 6. 9. 21. 56. 59. 76. ὑ. λεπτὴν, ἣν Ὁμ. χυτὴν λέγει. supra quae in Gu. adscripta sunt: πρὸς ἀντιδ. τῆς ἐριβ. MATTH.

ib. ὑγρὰν θήσει κόνιν τὴν M. ὑγρὰν τὴν B. ὑγρὰν κόνιν λέγει τὴν I.

28. χυτὴν] τύχην M.

29. Ὅμηρος] Il. 23, 256.

ib. χυτὴν M. χυτὴν δ' B.I. Apud Homerum εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν.

ib. ἔχευαν M. ἔχευεν A. ἔχευε B.I.

1665. *ναὶ πρός σε τῆσδε*: λείπει ὁ καὶ, καὶ τῆς μητρὸς Ἰοκάστης. A.M. Fl. 33. ὁ δὲ λόγος, ναὶ συγχώρησον ταφῆναι· παρακαλῶ πρὸς τῆς Ἰοκάστης τῆς ἐμῆς μητρός. A. λείπει ὁ καί, καὶ τῆσδε. ἔασον ταφῆναι, ὦ Κρέον, τὸν Πολυνείκην, πρὸς τῆσδε τῆς Ἰοκάστης ἀντιβολῶ σε. B.I.

ναὶ πρός σε: τοῦτο οὕτω συντάσσεται· ναὶ, ὦ Κρέον, ταφήτω, ἱκετεύω σε πρὸς τῆσδε τῆς μητρὸς, τουτέστι δι' αὐτὴν, εἰσακουσθῆναι δέομαι παρακαλοῦσά σε. οὕτω τὸ μὲν ἱκετεύω ἔξωθεν πρὸς τὸ σέ ληπτέον, τὸ δὲ πρός πρὸς τὸ μητρὸς ὑπερβατῶς συναπτέον. Gu.

1666. *μάταια μοχθεῖς*: ματαίως, ἀκαίρως ζητοῦσα τάδε κοπιᾷς· οὐ γὰρ ἂν τύχοις. Gu. μάταια μοχθεῖς τάδε καὶ ταῦτα· οὐ γὰρ ἂν τύχοις τοῦ τοιούτου. οὕτω τὸ τάδε πρὸς τὸ μοχθεῖς, οὐ πρὸς τὸ τύχης συντακτέον, ἢ καὶ πρὸς τὸ τύχης, ἐπειδὴ καὶ τοῦτο εὕρηται. Gu.

1667. *σὺ δ' ἀλλά*: ἀλλὰ κἂν λουτρὰ ἄφες με περιβαλεῖν τῷ νεκρῷ. I. σὺ δὲ ἔα με κἂν θερμὰ ὕδατα περιβαλεῖν τῷ νεκρῷ. Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76. εἰ καὶ μὴ θάψαι ἐᾷς. Gu.

1668. *τῶν ἀπορρήτων*: τῶν ἀπηγορευμένων. Ἀριστοφάνης "ἢ τἀπόρρητ' ἀποπέμπει ἐξ Αἰγίνης." B.C. Fl. 33. I. ἢ τῶν ἀπράκτων, τῶν ἀποκεκρυμμένων. Fl. 33.

τῶν ἀπορρήτων πόλει: τῶν ἀπηγορευμένων πρὸς τὴν πόλιν· οὐ γὰρ ἡ πόλις ταῦτα ἀπηγόρευσεν, ἀλλ' ὁ Κρέων. εὐλαβεῖσθαι οὖν δεῖ, ἵνα μὴ νοῇς ταῦτα περὶ τῶν ἀπηγορευμένων ὑπὸ τῆς πόλεως, εἰ καὶ ἀνωτέρω λέγει "κἂν ἀπεννέπῃ πόλις·" ἐκεῖνο γὰρ ὑποθετικῶς ἡ Ἀντιγόνη λέγει. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1669. *ἀλλ' ἀμφὶ τραύματα*: εἰώθασι γὰρ ἐπιμελεῖσθαι τῶν τραυμάτων τῶν νεκρῶν ὑπὲρ τοῦ αὐτοὺς εὐσχήμονας φαίνεσθαι. τελαμῶνας δὲ τὰ ῥάκη, οὓς φαμὲν ἐπιδέσμους. B.C.M.I. κἂν περὶ

1. ὁ καί] ναὶ πρός σε add. Fl. In M. nihil praeter καὶ πρὸς σὲ καὶ τῆς μ. ἰ.

18. τῶν ἀπηγορευμένων om. C.

ib. Ἀριστοφάνης] Ran. 365.

ib. ἢ τἀπόρρητ' B. ἠματπόρρητα (sic) C. καὶ ὃς τἀπόρρητ' I. ἢ τῶν ἀπορρήτων Fl.

23. ἵνα μὴ νοῇς—] ἀπηγόρευσεν, ἵν' ἢ τῶν ἀ. ὑπὸ τῆς πόλεως Gr. Florr.

26. ἐπιμελεῖσθαι post τῶν τραυμάτων B.I.

27. φαίνεσθαι] γίνεσθαι C.

ib. τελαμῶνας — ἐπιδέσμους om. C.M.

28. ἐπιδέσμους] De hoc voc. v. Bernard. ad Theophanem Nonn. vol. 1. p. 101. BOISSON.

τὰ ἄγρια τραύματα τὰ ἀπηνῆ καὶ ἐκπληκτικὰ ἔα με βαλεῖν τελαμῶνα, ἤγουν δεσμόν. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 59. 76. *δεσμοὺς, περιβολὰς, ταινίας, ῥάκη, ἐπιδέσμους.* Gu. *λώρους.* B. *ἀλλά: εἰ καὶ μὴ ἐάσεις λοῦσαι τοῦτον.* Gu. *τελαμῶνας: διαζώματα.* Fl. 33.

1670. *οὐκ ἔσθ' ὅπως: οὐκ ἔστι τρόπος ὅπως.* Gr. Cant.

1671. *ὦ φίλτατε: ἀλλὰ, φίλτατε Πολύνεικες, προσπτύξομαι κᾂν τὸ σὸν στόμα, ἐπεὶ οὐ συγχωροῦμαι θάψαι σε.* B.M.I. *ἀλλὰ στόμα: ὁ ἀλλά ἀντὶ τοῦ καί, ἢ ἀντὶ τοῦ δή παραπληρωματικοῦ.* B.M. *προσπτύξομαι: φιλήσω.* Gr. Fl. 5. 6. 9. 21. 56. 59. 76.

1672. *οὐκ εἰς γάμους σούς: οὐκ ὀφείλεις κλαίειν μέλλουσα γαμεῖν. ἢ οὕτως, οὐχὶ κτήσῃ τοῖς γόοις συμφορὰς εἰς γάμους σούς.* B.C.M.I.

1. *τραύματα*] *ἤγουν* add. Florr.
ib. *ἐκπληκτικὰ*] *καταπληκτικὰ* Gr.
7. *ἀλλὰ φίλτατε* om. B.I.
ib. *προσπτύξομαι* B.M. *ἀλλὰ προσπτύξομαι* I.
8. *σὸν στόμα* B.M. *στόμα σου* I.
11. *μέλλουσα*] *μέλλουσαν* C.
12. *ἢ οὕτως* om. C.M.
ib. *οὐχὶ* (*οὐ* C.)] In Gr. Flor. 5. 6. 9. 21. 56. 59. 76. *οὐ μὴ κτήσῃ* (*ζητήσῃς* Flor. 59.) *συμφορὰν εἰς τὸν σὸν γάμον διὰ τῶν θρήνων.* MATTH.
ib. *εἰς γάμους σοὺς*] In C. istis haec proxima subjiciebantur: *ἢ τὸ οὐδρον ἀντὶ μὴ* [Codex non sic, sed *ἢ τὸ* $\overline{\text{ου}}$ *δφον* (literis *δφ* in unam literam conjunctis, usitato vocabuli *δίφθογγον* compendio) *ἀντὶ* $\overline{\text{μη}}$] *προσπτύξομαι. κᾂν τὸ σὸν στόμα. ἐπεὶ οὐ συγχωροῦμαι θάψαι σε ἐπεὶ* [codex non *ἐπεὶ*, sed *ὅτι*] *Μελάνιππος ἀνεῖλε τὸν Τυδέα καὶ ὕστερον Αἰγιαλ* [codex *αἰγιαλ.*] *τὴν Ἀδράστου.* Horum prima quid sibi velint ignoro: proxima, *Προσπτύξομαι κᾂν τὸ σὸν στόμα, ἐπεὶ οὐ συγχωροῦμαι θάψαι σε·* pertinent ad v. 1671. [Conf. schol. v. 1671.] Postrema cur huc fuerint allata, quoque spectent me quidem latet; sic forte corrigenda: *ἐπεὶ Μελάνιππος ἀνεῖλε τὸν Τυδέα, καὶ ὕστερον Αἰγιαλέα τὸν Ἀδράστου.* Filius fuit *Αἰγιαλεὺς* Adrasti; sed neminem novi qui hunc scripserit interfectum a Melanippo; de Melanippo Tydeoque diversissima quoque Cyclicos tradidisse colligi potest ex Apoll. 3, 6, 8. schol. Pind. N. 10, 12. Tydea fratremque Adrasti *Μηκιστέα* interfectos a Melanippo scribunt Herodotus 5, 67. et Pausan. 9, 18. Sed Tydiden Aegialea, cum Thebas duxisset Epigonos, primo dicitur interfecisse congressu Laodamas Hellanico apud schol. Pind. Pyth. 8, 68. Pausaniae 9, 5, 13. Aegialei filius Cyanippus admodum puer cum Diomede fuit et Euryalo ad Trojam profectus, Tryphiodoro v. 157, *Κυάνιππος, ὃν εὐπατέρεια Κομαιθὼ, Τυδῆος, θαλάμοιο μινυνθαδίοιο τυχοῦσα, ὠκυμόρῳ τέκε παῖδα σακεσπάλῳ Αἰγιαλῆϊ.* ubi non cum editore Jac. Merrickio *Κομαιθὼ Τυδῆος*, sed jungenda sunt *Αἰγιαλῆϊ Τυδῆος·* quem Comaetho peperit Aegialeo Tydei Filio. VALCK. In M. post *γάμους σοὺς* legitur *ἄλλως. . . ἢ τὸ . . ἀντὶ τοῦ οὐ μὴ,* quod est *ἵνα ἢ τὸ οὐ ἀντὶ τοῦ οὐ μή.* In B. *ἢ τὸ* $\overline{\text{ου}}$ *ἀντὶ τοῦ* $\overline{\text{δη}}$:—

οὐκ εἰς γάμους: τουτέστιν, ἐπειδὴ νύμφη μέλλεις γενέσθαι, οὐ δεῖ σε δακρύειν καὶ συμφορὰν ἔχειν καὶ λύπην, ἀλλὰ μᾶλλον χαίρειν, ἵνα μὴ κακὸς οἰωνὸς δόξῃς τῷ γήμαντι. Gu.

1673. ἢ γὰρ γαμοῦμαι: ἆρα εἰς γάμον ἀφίξομαι; Gr. Cant.

1674. ποῖ γὰρ ἐκφεύξῃ: ποῖ γὰρ ἄπει τὸ λέχος ἐκφυγοῦσα; B.M. ποῖ ἀπελθοῦσα τὸν γάμον ἐκφεύξῃ; Gr. Cant.

1675. νὺξ ἄρ' ἐκείνη: φονεύσω τὸν σὸν παῖδα, ὥσπερ μία οὖσα τῶν Δαναοῦ θυγατέρων. A.C. ἕξει μία: ἐμὲ ὡς μίαν ἕξει τῶν Δαναΐδων. B.M. ὥσπερ γὰρ αἱ Δαναοῦ θυγατέρες τοὺς οἰκείους ἄνδρας, πρὶν εἰς μίξιν ἐλθεῖν, ἀπέκτειναν, κατὰ ταὐτὰ δὲ καὶ αὐτὴ πρὸς τὸν σὸν παῖδα διατεθήσομαι. Gu.

1676. τὸ τόλμημ' οἷον ἐξωνείδισεν: τὸ τολμηρὸν γύναιον. B.C. ἐγκαυχωμένη εἶπεν, ἐξύβρισεν. ὄνειδος γὰρ τούτῳ τὸν τούτου υἱὸν ὑπὸ γυναικὸς ἀπολέσθαι. ἢ ἐπὶ τοῦ κλέους εἴληπται, ἀντὶ τοῦ ἐκλέϊσε καὶ ἔνδοξον ἐποίησε, μιμήσασθαι φήσασα τὰς Δαναΐδας· τὸ γὰρ ὄνειδος καὶ ἐπὶ ἀγαθοῦ τάττεσθαι δύναται καὶ ἡμῖν συνήθως, παρόσον ὄνειδος τῷ Κρέοντι, εἰ ὁ υἱὸς αὐτοῦ ὑπὸ γυναικὸς ἀπολεῖται, ὡς οἱ Αἰγύπτου παῖδες. B.C.M.I. εἶδες οἵαν τολμηρὰν τὴν καύχησιν ἐκαυχήσατο; Gr. Cant. ἐξωνείδισεν: ὀνειδιστικῶς καὶ ἀπειλητικῶς ἐξεῖπεν. Gu.

1677. ἴστω σίδηρος: γινωσκέτω τὸ ξίφος, φησίν. ὅρκος γάρ μοι τὸ ξίφος αὐτό. B.C.M. γινωσκέτω τοῦτο ὁ σίδηρος καὶ τὸ ξίφος, ὃ ὅρκον ἐγὼ ποιῶ. Gr. Cant. Fl. 5. 6. 9. 21. 56. 76. δι' οὗ ἐμὸν φόνον ποιῆσαι ὤμοσα, εἰ μὴ ἐν ἐκείνῳ βάψω αὐτό. Gu.

6. ἄπει] ἄπ.. B. ἀπῇ M.
8. παῖδα A. υἱὸν C.
ib. οὖσα om. A.
13. ἐγκαυχωμένη C. καυχωμένη B. I. In M. plura hic obliterata. In C. est οἷον ἐξωνείδισεν: τολμηρὸν γύναιον ἐγκαυχώμενον εἶπεν etc.
ib. γὰρ τούτῳ (τούτου I.) τὸν τούτου υἱὸν ὑπὸ γυναικὸς ἀπολέσθαι B.I. ὄνειδος γὰρ τοῦτο τῇ γυναικεία μὲν (requiritur substantivum, velut χειρί) ἀπολέσθαι C.M.
17. τάττεσθαι] τάττεται B.C.
18. εἰ] ὅτι M.
ib. ὑπὸ] ἀπὸ C.
ib. ἀπολεῖται] ἀπολείπεται B.C.M. I. Correctum ex Gu. in quo verba sunt παρόσον—ἀπολεῖται.
19. ὡς οἱ Αἰγύπτου παῖδες om. B. M.I.
22. γινωσκέτω—] Flor. 59. γιν. τοῦτο τὸ ξ. ὃ ποιῶν ὅρκον ἐγὼ ἔχω.
ib. φησὶν om. B.C.

1678. *τί δ' ἐκπροθυμεῖ:* ἀντὶ τοῦ προθυμῇ ἀνεθῆναι τούτου τοῦ γάμου; Gr. Cant.

1679. *συμφεύξομαι:* συνεξορισθήσομαι. Gr. Cant.

1680. *γενναιότης:* εὐγένεια· ἀντὶ τοῦ γενναίως μὲν πράττεις, μωρῶς δέ. Ἄλλως. ὁ δέ ἀντὶ τοῦ καί, τουτέστιν, εὐγένεια καὶ μωρία ἔνεστί σοι. B.C.M.I. *γενναιότης σοι:* ὅτι μὲν συμπονεῖς τῷ πατρὶ δυστυχοῦντι καὶ οὐκ ἀπολείπεις, γενναῖον ἔργον ποιεῖς, ὅτι δέ, ἐξόν σοι μετὰ τοὐμοῦ παιδὸς βασιλεύειν, συναφθεῖσα αὐτῷ, σὺ δ' οὐκ ἐθέλεις, τοῦτο σαφὴς εὐήθεια. Gu.

1681. *καὶ ξυνθανοῦμαι:* καὶ συναποθνήσκω, φησίν, αὐτῷ, ἵνα πλέον τι μάθῃς· ἢ ὅτι περαιτέρω γενομένη, ἀντὶ τοῦ ἑκὰς τῆς πόλεως γενομένη. A.B.C.M.I. οὐ μόνον ἕψομαι αὐτῷ. Gu.

1683. *ὦ θύγατερ:* ὦ θύγατερ, ἐπαινῶ μέν σε ἕνεκα τῆς προθυμίας, οὐ θέλω δὲ σὲ τοῦτο ποιῆσαι· τοῦτο γὰρ συνυπακούεται. Gr. Cant. Fl. 21.

1684. *ἀλλ' εἰ γαμοίμην:* ἠθικῶς τοῦτο προενεκτέον, καὶ δεῖ συνυπακούειν τό, καλῶς δ' ἂν ἔχοι, εἰ ἐγὼ γαμοίμην, καὶ σὺ μόνος φεύγεις, πάτερ. συναπτέον δὲ τῷ "ἀλλ' εἰ γαμοίμην" τὸ ἑξῆς "τίς σε τυφλὸν ὄντα θεραπεύσει, πάτερ;" A.B.C.M.I.

1685. *μένε:* πρόσμενε. Gr. Florr. *στέρξω:* ἀγαπήσω. Gr. Florr.

1686. *πεσών:* πεσὼν κείσομαι ἐν ἐκείνῳ τῷ τόπῳ, ὅπου μοι μοῖρά ἐστιν. A.B.C.M.I.

1. τί δ'—] King. dedit τί δὲ προθ. et τοῦ αὐτοῦ τοῦ γάμου. In Gu. supra τί δ' scriptum est παρέλκον, quod ad ἐκ in ἐκπροθ. pertinere puto. MATTH.

4. ἀντὶ τοῦ ante εὐγένεια C.

5. Ἄλλως] ἢ B.I.

10. καὶ alterum om. I.

11. ἢ ὅτι—γενομένη om. I. In B. C.M. μάθῃς ἢ in μαθήσῃ coaluit, quod in I. quoque est.

ib. ἀντὶ τοῦ] ὅ ἐστιν A.

ib. ἑκὰς] ἐκτὸς C.

12. γενομένη] γινομένη A.

14. τοῦτο γὰρ σ. om. Gr. Cant.

16. προενεκτέον Matth. pro προσενεκτέον. In A. est προσενεκτέον ἐν ὑποκρίσει. συνυπακούειν οὖν δεῖ τὸ καλῶς ἂν ἔχοι. οἷον, οὐ γὰρ ἂν καλῶς ἔχοι εἰ ἐγὼ etc. ἐν ὑποκρίσει addit etiam C.

17. δ' ἂν om. B. δ' om. C.

ib. εἰ C. ἐὰν B., om. M.I.

18. πάτερ] ὦ πάτερ A.C., om. I.

ib. δὲ τῷ M. δὲ τὸ B.C.I.

ib. τὸ (τῷ A.B.M.) ἑξῆς om. I.

ib. ἑξῆς] οἷον εἰ γαμοίμην καὶ add. M. "Videntur haec duo diversa esse scholia." MATTH.

ib. τίς] καὶ τίς A.C.

21. κείσομαι om. A.

ib. μοῖρά ἐστιν] ἐστὶν μοῖρα A.C. In Gu. est κείσομαι ἐκεῖ ὅπου μοι μοῖρα καὶ πεπρωμένον ἐστὶ πεσεῖν. Pro his Fl. 59. post μοῖρα addit διετάξατο, ἐκυρώσατο.

22. ἐστιν om. I.

1687. ὁ δ' Οἰδίπους ποῦ: τὸ δὲ κλέος τοῦ Οἰδίποδος ποῦ ἔσται; Gr. Cant. καὶ τὰ κλείν' αἰνίγματα: οἱ ἀσαφεῖς λόγοι ποῦ εἰσί; I.

1689. ἓν ἦμαρ: γράφεται ἓν ἦμάρ μ' ὤλβισ' ἠδ' ἀπώλεσεν. τὸ δὲ ἠδέ ἀντὶ τοῦ καί. Καὶ ἄλλως. ὁ δέ ἀντὶ τοῦ καί. ἓν ἦμάρ με καὶ ὤλβισε καὶ ἀπώλεσε. ποῖον δέ ἐστι καθ' ὃ ὄλβιος ἐγένετο καὶ δυστυχής; ὅτε τὸ αἴνιγμα τῆς Σφιγγὸς ἔλυσε. κατὰ γὰρ τὴν αὐτὴν ἡμέραν ἔγημε τὴν μητέρα καὶ τῆς ἀρχῆς ἀντελάβετο. τὸ μὲν οὖν εὐτύχημα τὸ λῦσαι τὸ αἴνιγμα καὶ βασιλεῦσαι, δυστύχημα δὲ τὸ γῆμαι τὴν μητέρα παρὰ τὸν τῆς φύσεως θεσμόν. B.C.M.I.

ἓν ἦμαρ: ἡ γὰρ ἡμέρα, ἐν ᾗ εὐδαίμων ἔδοξα, εὑρὼν τὰ Σφιγγὸς αἰνίγματα, αὕτη με ἀπολώλεκεν, ἀρχὴ τῶν κακῶν γενομένη· οὐ γὰρ ἂν συνῆλθον μητρὶ καὶ τἄλλα τῶν κακῶν συμβεβήκει, μὴ τῶν αἰνιγμάτων ὑπ' ἐμοῦ διασαφηθέντων. Gu.

ὤλβισ': μακάριον ἐποίησεν. Gr. εὐδαιμόνισε. Gu.

1692. οὐ σωφρονούσῃ γ': τὸ οὐ συναπτέον πρὸς τὸ αἰσχρά, τουτέστιν οὐκ αἰσχρὰ ἡ φυγὴ τῇ σωφρονούσῃ, ἀλλὰ καὶ γενναία ἡ τοιαύτη φυγή ἐστι· πρὸς γεννικῆς ἐστι καὶ κοσμίας τὸ παρεῖναι καὶ θερα-

2. οἱ ἀσαφεῖς λόγοι etiam B.

3. γράφεται—ποῖον δέ ἐστι] γρ. ἠδ' ἀπώλεσεν. τὸ δὲ ἠδὲ ἀντὶ τοῦ καί. καὶ ἄλλως. ὁ δὲ ἀντὶ τοῦ καί. ἓν ἦμαρ μ' ἐξώλεσεν. ποῖον δέ ἐστι M. γρ. ἓν ἦμάρ μ' ὤλβισεν ἣ δ' (ἠδ' I.) ἀπώλεσεν. τὸ δὲ ἠδὲ ἀντὶ τοῦ καί. ἤτοι ἓν ἦμάρ με καὶ (καὶ om. I.) ὤλβισε καὶ ἀπώλεσε. ποῖον δέ ἐστι B.I. ἓν δ' ἀπώλεσεν. τὸ (ἡ A.) δὲ ἀντὶ τοῦ (τῆς A.) καί. ἓν ἦμαρ καὶ ὤλβισέ με καὶ ἀπώλεσε. (ἦμαρ ὤλβισέ με καὶ ἕν με ἀπώλεσε A.) ποῖον ἐστὶ (ποῖον δέ A.) A.C.

6. κατὰ] καὶ C.

ib. αὐτὴν ἡμέραν ἔγημεν τὴν μητέρα M. αὐτὴν ἡμέραν καὶ ἔγημε τὴν μητέρα B.I. αὐτὴν ἔγημε τὴν μητέρα A. αὐτὴν ἤγημαι (sic) μητέρα C.

8. εὐτύχημα] εὐτυχήματα B.

ib. τὸ γ.—φύσεως] τοῦ γ.—φύσεος C.

9. τὸν τῆς] τὸν om. A.

15. Verba τὸ οὐ πρὸς τὸ αἰσχρὰ συναπτέον, τουτέστι οὐκ αἰσχρά sunt etiam in M. συναπτέον om. A.C. τὸ οὐ πρὸς τὸ α. συν. οὐκ αἰσχρὰ ὑπάρχει τῇ θυγατρὶ τῇ σωφρονούσῃ, ἀλλὰ γενναία καὶ ἀξία ἐπαίνου. Gu.

15.—398, 6. ἡ φυγὴ—καὶ πατρίδος habent A.C., om. B.I.

16. ἡ φυγὴ τῇ om. A.

17. ἐστι] τουτέστι A.

ib. πρὸς γεννικῆς ἐστι καὶ κοσμίας] *Generosam modestamque decet:* hoc posui pro scripta lectione codicis Aug. προσγεννητικ. .καὶ κοσμίας. quod cum sine controversia sit mendosum, illud a me repositum grammatico quoque congruit; schol. ad Eurip. Orest. 713. οὐ πρὸς ἡμῶν φησὶν, οὐδὲ τῆς ἡμετέρας ἀξίας,—διακολακεῦσαι τὸν τῶν Ἀργείων ὄχλον. Optimi quique sic loquuntur scriptores: Thucyd. 3. 59. οὐ πρὸς τῆς ὑμετέρας δόξης—τάδε. Plato Amator. p. 132 C. οὐ πρὸς σοῦ γε, ὦ Σώκρατες, ποιεῖς. vid. H. Steph. Anim. ad Corinth. p. 32. L. Bos Anim. p. 74. et Abresch. ad Aesch. p. 319. VALCK.

ib. γεννικῆς ἐστι] γενικῆς A., omisso ἐστι.

πεῦσαι τὸν τυφλὸν πατέρα. Ἄλλως. κατ' ὀρθὴν πτῶσιν καὶ οὕτω τὸν λόγον ἀποδοτέον· αἰσχρὰ γὰρ ἡ φυγὴ οὐ σωφρονούσῃ θυγατρί· ἀλλ' ἐγὼ γενναία καὶ σώφρων. ζηλωτέον δὲ ἑκατέρου τὸ ἦθος· ἡ μὲν γὰρ καὶ συμφεύγειν ἤθελε καὶ συναποθνήσκειν τῷ πατρὶ, καὶ γάμον παρορῶσα καὶ τυραννίδα, ὁ δὲ τυφλὸς ὢν καὶ γηροκόμου δεόμενος τῇ θυγατρὶ παραινεῖ μένειν καὶ ἀπολαύειν γάμου καὶ πατρίδος. οὐ τηρεῖ τὸ σύμφωνον, ἀλλὰ κατὰ τὸ δρᾶμα ὑποτίθεται. πῶς γὰρ θάψει ἡ Ἀντιγόνη τὸν Πολυνείκην, αὐτὴ συμφεύγουσα τῷ πατρί; πλεονάζει δὲ τῷ τοιούτῳ εἴδει Εὐριπίδης. A.B.C.I.

1693. *προσάγαγε νῦν με*: προσάγαγέ με, ἵνα ψαύσω τῆς μητρός σου. I.

1694. *ἰδού*: ψαῦσον διὰ τῆς χειρὸς τῆς φιλτάτης γεραιᾶς. I.

1695. *ὦ μῆτερ καὶ γυνή μου ἀθλιωτάτη*. I.

1696. *οἰκτρά*: ἐλεεινὴ πρόκειται, ὁμοῦ πάντ' ἔχουσα τὰ κακά. I. *οἰκτρά*: ἐλέους ἀξία. Gr. Fl. 5. 6. 9. 21. 56. 59.

1697. *Ἐτεοκλέους*: ποῦ δὲ τὸ πτῶμα τοῦ Πολυνείκους καὶ τοῦ Ἐτεοκλέους ἐστίν; I. *πτῶμα*, τὸ σῶμα. B. Gr.

1698. *τώδ' ἐκτάδην*: οὗτοι ἐξηπλωμένοι κεῖνται πλησίον ἀλλήλων. Gr. I. *ἐκτάδην*: ἐκτεταμένως. B. Fl. 5. 6. 9. 21. 56. 59.

1699. *πρόσθες*: ἐπίθες. Gr. Fl. 5. 6. 9. 21. 56. 59. *τυφλήν*: τὴν ἐστερημένην ὁδηγίας οἰκείων ὀφθαλμῶν. Gr. Cant.

1700. *χερί*: διὰ τῆς χειρός. Gu.

1701. *ὦ φίλα πεσήματα*: ἀντὶ τοῦ πτώματα. B.M. ὦ προσφιλῆ πτώματα ἄθλια πατρὸς ταλαιπώρου καὶ ἀθλίου. I. τὸ φίλα διπλῶς νοητέον, ἢ φίλα ἐμοὶ τῷ πατρὶ, ἢ φίλα ἀλλήλοις· ἑκάτερος γὰρ τὸν ἑκατέρου θάνατον ἐσπούδαζεν, ἵνα τῆς βασιλείας κρατήσῃ. Gu.

p. 397. l. 17. θεραπεῦσαι] θεραπεύειν A.
1. πτῶσιν] γραπτέον add. A.
2. ἀποδοτέον A. ἀπολυτέον C.
ib. γὰρ addidi ex A.
4. γὰρ—πατρὶ A. γὰρ συναποθνήσκειν καὶ συμφεύγειν τῷ πατρὶ θέλει C.
6. παραινεῖ] παρεῖναι C.
ib. πατρίδος] τυραννίδος A.
ib. οὐ τηρεῖ—Εὐριπίδης] Haec in C. post scholion v. 1710., in Gu. ad v. 1747.
7. σύμφωνον] σύμφωνον πῶς γὰρ (sic) C.
ib. τὸ om. I.
ib. ἡ Ἀντιγόνη τὸν Π. C. π. ἀντιγόνη B. ἡ Ἀντιγόνη τὸν om. I.
8. αὐτὴ om. B.C.
ib. πλεονάζει δὲ] πλεονάζουσα δὲ ἐν C.
9. τῷ τοιούτῳ B.C. τούτῳ τῷ A.I.
21. ὁδηγίας] ὁδηγείας Gr.

1703. *νῦν χρησμός*: *νῦν, ὦ θύγατερ, ἡ τοῦ Ἀπόλλωνος τελειοῦται μαντεία.* I. *ἣν γὰρ αὐτῷ χρησμοδοτηθὲν ἐν Ἀθήναις ἀποθανεῖν.* A. *περαίνεται*: *πληροῦται.* Gr. Fl. 6. 9. 21. 56.

1704. *ὁ ποῖος*: *χρησμός. ἆρα πρὸς τοῖς κακοῖς λέξεις κακά;* I. *ὁ χρησμὸς ποῖος; ἄρθρον ἐνταῦθα τὸ ὁ, καθ' ὃ λέγεται καὶ ἐπὶ οὐδετέρου τὸ ποῖον.* Gr. Cant.

ἀλλ' ἦ πρός: *ὁ ἦ ἀντὶ τοῦ ἆρα, ὁ ἀλλά ἀντὶ τοῦ δή, ἵν' ᾖ ἆρα δή.* B.C.M. *ὁ λόγος κατ' ἐρώτησιν, ἆρα δὴ πρὸς τοῖς οὖσι κακοῖς ἄλλα κακὰ ἐρεῖς;* A.B.C.M.I. *ἀλλ' ἦ*: *ὁ ἀλλά περισσός.* Gr. Fl. 6. 9. 21. 56.

1705. *ἐν ταῖς Ἀθήναις*: *ὁ χρησμὸς ὁ λέγων "ἐν ταῖς Ἀθήναις."* Gr. Cant. *ἀλώμενον*: *πλανώμενον.* Gr. Fl. 59.

1706. *τίς σε πύργος*: *ἀντὶ τοῦ πόλις· τετράπολις γὰρ ἡ Ἀττική.* B.M.I.

1707. *ἱερὸς Κολωνός*: *δέξεταί με δηλονότι. Κολωνὸς δὲ ἀκρωτήριον τῆς Ἀττικῆς. ἱππείου δὲ θεοῦ τοῦ Ποσειδῶνος.* A.B.C.M.I. *ἔστι καὶ ἕτερος Κολωνὸς ἐργάτης. διχῶς δέ, πληθυντικῶς καὶ ἑνικῶς. ἱππείου θεοῦ*: *περὶ τοῦ ἐν τῷ ἱππείῳ Κολωνῷ τεθάφθαι τὸν Οἰδίπουν*

---

2. *χρησμοδοτηθὲν* Matth. *χρησμωδοθὲν* A. Sic etiam Gu. qui hoc scholion habet, omisso *αὐτῷ* et addito *ταῖς* ante *Ἀθήναις*, et *ὡς καὶ ἐν τοῖς ἑξῆς ἐπάγει* post *ἀποθανεῖν*.

7. Verba *τὸ ἦ ἀντὶ τοῦ ἆρα, ὁ δὲ ἀλλὰ ἀντὶ τοῦ δέ* (sic) etiam in I. ubi *ὁ ἦ* et *ἀντὶ τοῦ δή* corrigendum ex Gu.

8. *ὁ λόγος*] *ὁ δὲ λόγος* B.I.

ib. *ἆρα δὴ*] *δὴ* om. C.

13. *τετράπολις*] *τετράπυλος* B.I.

15. *δέξεται*—] Ex his Gu. haec habet: *διχῶς καὶ πληθυντικῶς καὶ ἑνικῶς, δηλονότι δέξεται ἐμέ.* Aliud est ab eadem m. *Κολ. ὑψηλὸς τόπος, ἐν ᾧ ἦν ἱερὸν Ποσειδῶνος· ἐκεῖ γὰρ ἦν αὐτοῦ τὰ ἱπποστάσια.* Fl. 59. *ὑποχεῖον γὰρ τοῖς ἵπποις ἔνθα ἦν τὰ ἱπποστάσια τοῦ Ποσειδῶνος.* quae duo videntur esse scholia sic distinguenda: *ἱερὸς Κολ.* [*ἔνθα ἦν τὰ ἱππ. τοῦ Π. ἱππίου*] *ὑπωχεῖτο γὰρ τοῖς ἵπποις.* MATTH.

ib. *δέξεται—ἀκριβῶς*] Sic M. In C. est *ἱππείου δὲ θεοῦ—ἱπποστάσια* (quae infra vide). *ἔστι δὲ καὶ ἕτερος κολωνὸς ἐργάτης.* Tum sequitur scholion v. 1710. Post quod illa *οὐ τηρεῖ—εὐριπίδης* (ad v. 1692.) *παρὰ τοῦ ἱεροῦ τῷ ἱππείῳ κολωνῷ τέθαπται τὸν οἰδίποδα ἐν ἄλλοις ἐξειργάσμεθα ἀκριβῶς.*

ib. *Κολωνὸς δὲ*] *ἔστι δὲ* I. *δὲ* post *κολωνὸς* om. A

16. *Ἀττικῆς*] Pergit B. *ἔστι καὶ ἕτερος κολωνὸς ἐργάτης. δῶμα δὲ ἱππείου θεοῦ τοῦ ποσειδῶνος. λέγεται δὲ διχῶς καὶ πληθυντικῶς καὶ ἑνικῶς. περὶ δὲ τοῦ ἐν τῷ—οἰδίπουν ἐν ἄλλοις ἐξειργασάμεθα ἀκριβῶς,* I. vero *ἔστι καὶ—ἐργάτης. ἵππειον δὲ θεὸν τὸν ποσειδῶνα λέγει. δῶμά θ' ἱππείου*: *διχῶς λέγεται καὶ π.—ἀκριβῶς,* ut B., nisi quod *οἰδίποδα* habet.

ib. *Ποσειδῶνος*] Pergit A. *ἐκεῖ γὰρ ἦν αὐτοῦ τὰ ἱπποστάσια. ἔστι δὲ καὶ ἕτερος κολωνὸς ἐργάτης*:—

ἐν ἄλλοις ἐξειργάσμεθα ἀκριβῶς. B.C.M.I. ἱππείου θεοῦ: τοῦ Ποσειδῶνος· ἐκεῖσε γὰρ ἦν αὐτῷ τὰ ἱπποστάσια. C.

1708. ἀλλ' εἶα: ἀλλ' ἄγε, ὑπηρέτει τῷδε τῷ τυφλῷ πατρὶ, ἐπεὶ πρόθυμος εἶ κοινωνεῖν μου τῆς φυγῆς. I.

1709. κοινοῦσθαι: μετέχειν. B. Gu. κοινωνὸς εἶναι. Gr. Fl. 5. 6. 9. 21. 56. κοινὴν ποιεῖσθαι. Fl. 59. σημείωσαι ἐνταῦθα τὸ κοινοῦσθαι ἀπὸ δοτικῆς εἰς γενικὴν ἀντὶ τοῦ κοινωνεῖν λαμβανόμενον· ἀεὶ γὰρ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν εὑρίσκεται, ἀντὶ τοῦ κοινοποιεῖν ὄν. Gu.

1710. ἴθ' εἰς φυγάν: διὰ μὲν τοῦ "ἐγώ σφε θάψω" σπέρματα τῇ Σοφοκλέους Ἀντιγόνῃ παρέσχε, διὰ δὲ τοῦ φεύγειν τῷ ἐπὶ Κολωνῷ Οἰδίποδι. ὡς βούλονται γὰρ οἰκονομοῦσι τὰ δράματα. B.C. Gu. I.

ἴθ' εἰς φυγάν: ἄπιθι, ὦ πάτερ γεραιὲ, εἰς φυγὴν τάλαιναν, πάρεχε, δίδου, χεῖρα προσφιλῆ, ἔχων ἐμὲ πομπίμην καὶ ὁδηγὸν, καθὰ πνοὴν ναυσίπομπον, ἤτοι τὴν τὰς ναῦς διαπέμπουσαν. I.

1711. ὄρεγε: πρὸς τὸ χειραγωγεῖσθαι. B. ἔκτεινε. Gr. Fl. 5. 6. 9. 21. 56. δίδου. Gr. φίλαν: τὴν φίλαν μοι. Florr.

1712. πομπίμαν: ἔχων ἐμὲ ὡς ἄβραν. A. ὁδηγόν. B. Gr. προπεμπτικὴν, παραπέμπουσαν. Gu.

1715. ποδαγός: ὁδηγὸς ποδῶν. B.I.

1716. γενόμεσθα: Ἀττικὸν δὲ τὸ μετὰ τοῦ σ. τῶν Θηβαίων παρθένων ἄθλιαι τυγχάνομεν. A.B.M.I. γενόμεσθα: Ἰωνικῶς ἀναύξητα. Fl. 21. ἄθλιαι: ἀθλία ὑπάρχω ἐγώ. Fl. 59.

10. μὲν om. C.

ib. ἐγώ σφε—] 1657.

11. τῇ Σοφοκλέους Ἀντιγόνῃ] Commentum absurdum. Nam Sophoclis Antigona multis ante Phoenissas annis scripta fuit. Ceterum τῆς σ. ἀντιγόνης I.

12. ὡς—δράματα] Haec ex C. et Gu. accesserunt, sed C. οἰκονομῆσαι. quare obscura haec videbantur Valck. Etsi fieri non poterat, ut Antigone et sepeliret Polynicen et patrem in exsilium sequeretur, Sophocles tamen in duabus fabulis Antigonen et hoc et illud facientem inducit: poetae enim, prout libet, fabularum argumentum constituunt. MATTH.

15. γεραιὲ] γηρεαὶ (sic) I.

16. ναυσίπομπον τὴν τ. ν. δ. etiam B.

19. ἄβραν] αὖραν A.

22. γενόμεσθα ἀττικῶς μετὰ τοῦ σ. etiam M. et qui ἀντὶ τοῦ γενόμεθα addit A.

ib. δὲ τὸ om. A.

24. ἀναύξητον (sine augmento) scripsi pro ἀναύξητα.

1717. *δῆτα Θηβαίων*: *τῶν Θηβαίων ἡμεῖς παρθένων ἁπασῶν μάλιστα ἄθλιαι τυγχάνομεν*. A.

1718. *πόθι γεραρόν*: *ὅπου, φησὶ, μέλλω τὸ ἴχνος τιθέναι, ἐκεῖ χειραγώγει με*. A.B.I. *ποῦ γεροντικὸν πόδα θήσω*; Gr. Fl. 5. 6. 9. 21. 56. *ἐρωτηματικόν*. Gu.

1719. *βάκτρα δὲ τὴν ὁδηγίαν*. I. *βάκτρα*: *καταχρηστικῶς τὴν χειραγωγίαν*. B.M. Gu. I.

1720.—1722. *τᾷδε τᾷδε*: *ἐνταῦθα*. B. *ὧδε πορεύθητι ὑπ' ἐμοῦ, τῇδε, τῇδε τίθει, ὦ πάτερ, τὸν πόδα, ἔχων ἰσχὺν, ὥστε ὄνειρον, σαθρὰν καὶ ἀνυπόστατον*. I.

1720. *βᾶθί μοι*: *ἑπόμενος ἐμοί*. Fl. 21.

1722. *ὥστ' ὄνειρον*: *καὶ τὴν ἰσχὺν γὰρ εἰκελόνειρον*. M.B.I. *ὥσπερ ὄνειρον κατὰ τὴν ἰσχύν εἰμι. τὸ ὄνειρον εἶπεν ἐπὶ τῆς εὐθείας καὶ τὴν ἰσχὺν εἰκελόνειρον*. A.

1723.—1725. *ἰὼ ἰώ*: *ἕνεκα τῆς δυστυχεστάτης φυγῆς καὶ ἐξορίας, ὦ Κρέον δηλονότι, ὁ ἐλαύνων καὶ διώκων τὸν γέροντα, ἐμὲ δηλονότι, ἐκ τῆς πατρίδος. ἰὼ ἐγὼ ὁ τλὰς καὶ ὑπομείνας δεινὰ καὶ χαλεπά*. I.

1724. *ἐλαύνει*: *λείπει τὸ ὁ Κρέων*. B.I. *φεῦ φεῦ ἐγὼ ὁ ὑπομείνας χαλεπά*. I.

1726. *τί τλάς*: *τί, φησὶν, ἀεὶ λέγεις ὅτι δεινὰ τλάς; εἰ γὰρ καὶ συνεχῶς αὐτὸ λέγεις, ὅμως ἡ Δίκη τοὺς κακοὺς οὐχ ὁρᾷ, οὐδὲ μετέρχεται αὐτῶν τὰς ἀσεβείας καὶ ἀσυνεσίας*. A.B.C.M.I. *τί τλάς*: *τί λέγεις τοῦτο τὸ τλάς; οὐ γάρ ἐστι Δίκη ἡ ἐφορῶσα τἀνθρώπινα καὶ τοὺς κακίστους τιμωρουμένη· εἰ γὰρ ἦν, οὐκ ἂν ἀτίμως αὐτὸς ἐξηλαύνου τῆς πατρίδος. ἢ κατ' ἐρώτησιν λέγε*. Gu. *δίκα κακούς*: *πάσχειν δηλονότι*. M.

1727. *οὐδ' ἀμείβεται*: *τουτέστιν οὐκ ἔστι τῶν κακῶν τιμωρία παρὰ τῷ θεῷ. ἀγανακτοῦσα ταῦτά φησιν*. C. *οὐ μετέρχεται*. B. *ἀμείβεται*: *κολάζει, τιμωρεῖται*. Fl. 59. *βροτῶν*: *κακῶν δηλονότι*.

3. *φησὶ* post *μέλλω* A.

6. *κ.*] *λέγει κ.* Gu. I.

7. *τὴν χειραγωγίαν*] *τὰς χειραγωγίας* M.

12. *καὶ τὴν—ὀνείρῳ*] *ὀνείρῳ τὴν ἰσχὺν εἴκελον ἔχων* I. Et *ὀνείρῳ εἴκελον* pro *εἰκελόνειρον* etiam B.

19. *ὁ Κρέων*] *ὦ κρέον* B.

21. *ἀεὶ λέγεις ὅτι δ.*] *ἃ λέγεις δ.* C.

22. *αὐτὸ—ὅμως*] *αὐτῶ—ὃ μὲν* M.

23. *ἀσεβείας* A.C.M. *ἀσελγείας* B.I.

ἀσυνεσίας: κακογνωμοσύνας. Gr. Cant. κακοηθείας, ἀφροσύνας. Gu.

1728. ὅδ' εἰμί: ἐγὼ, φησὶν, εἰμὶ ὃς ἔδοξα πάντας ὑπερβεβηκέναι σοφίᾳ, λύσας τὸ αἴνιγμα. ἡ ἐπί πρὸς τὸ μοῦσαν. A.B.C.M.I. ἐγώ εἰμι ὃς ἦλθον ἐπὶ μοῦσαν καὶ σοφίαν μεγάλην καλλίνικον καὶ νικηφόρον, εὑρὼν τὸ αἴνιγμα τῆς παρθένου κόρης, ἤγουν τῆς Σφιγγὸς, τὸ ἀσύνετον καὶ δυσνόητον. I. μοῦσαν οὐράνιόν φησι τὴν μεγάλην καὶ περίβλεπτον σοφίαν. A.B.M.I.

1732.—1740. Σφιγγός: τὸ ὄνειδος, ἀντὶ τοῦ τὸ κλέος, τῆς Σφιγγὸς ἀναφέρεις καὶ ἀναμιμνήσκεις; ἄπαγε, σαυτὸν δηλονότι, αὐδῶν καὶ λέγων τὰ πάρος καὶ τὰ πρότερον εὐτυχήματα. τάδε τὰ μέλεα καὶ ἄθλια πάθη ἐπέμενεν, ἤτοι ἐξεδέχετο, γενόμενόν σε φυγάδα καὶ ἐξόριστον, θανεῖν, ὦ πάτερ, μακρὰν τῆς πατρίδος που, ἤτοι ἔν τινι τόπῳ. ποθεινὰ δάκρυα λιποῦσα παρὰ παρθένοις φίλαις ἄπειμι καὶ ἀπέρχομαι, ἀπόπρο, ἤτοι λίαν μακρὰν, τῆς πατρίδος γαίης ἀλωμένη, ἀντὶ τοῦ πλανηθησομένη, ἀπαρθένευτα καὶ πολυπαρθένευτα, ἤτοι ἐπὶ πολὺ παρθενεύουσα. I.

1732. Σφιγγός: τὸ ὄνειδος ἀντὶ τοῦ τὸ κλέος, τῆς Σφιγγὸς, οὐχ ὃ εἶχεν ἡ Σφὶγξ, ἀλλ' ὃ ἔλαβεν αὐτὸς διὰ τὴν Σφίγγα. Gr. τὸ γὰρ ἐπικεῖσθαι Θηβαίοις πάλαι τὴν Σφίγγα ὄνειδος αὐτοῖς παρὰ πάντων ἐγίνετο. Gu. ἀναφέρεις: ἀναπολεῖς. κατ' ἐρώτησιν δὲ ὁ λόγος. καὶ νῦν δὲ τὸ ὄνειδος ἐπὶ τοῦ κλέους ἐστίν. C.M.I.

1733. ἄπαγε: διὰ τὸ μνήμην ποιήσασθαι τῆς κατὰ τὴν Σφίγγα σοφίας ἔπεχε, φησὶ, τοῦτον τὸν λόγον· περιττὸν γὰρ, φησὶ, παρελθούσης ὁμιλίας μνημονεύειν, ἐπεὶ πλείων ἡ λύπη γίνεται. ἄπαγε οὖν, πέπαυσο, καὶ παράλειπε λέγων τὰ ἔμπροσθεν εὐτυχήματα δυστυχημάτων παρόντων. A.B.C.M.I.

3. φησὶν post εἰμι B.I.
ib. ὑπερβεβηκέναι] ὑπερβεβληκέναι A.
4. σοφίᾳ] σοφίαν C.
ib. ἡ ἐπὶ πρὸς τὸ (τὴν A.C.) μοῦσαν om. I. Addit A. in alia parte paginae ἐγὼ εἰμὶ ὃς σοφώτερος τῶν ἄλλων ἔδοξα λύσας τὸ αἴνιγμα.
21. ἀναπολεῖς] ἐν ἀπολεῖς C.
23. διὰ τὸ] διὰ om. M. διατί C.
ib. ποιήσασθαι] ποιεῖσθε (i. e. ποιεῖσθαι) A.
24. ἔπεχε] ἐπίσχες C.
ib. περιττὸν] λυπηρὸν A.
25. πλείων ἡ λύπη] πλεῖον ἡ λύπη M. ἡ λύπη πλεῖον A. πλέον ἡ μνήμη C.
26. παράλειπε A.C.M. παράλιπε B.I.
ib. λέγων om. C.I.
ib. ἔμπροσθεν additum ex Gu. in quo est ἀποχώρει, πέπαυσο καὶ παράλιπε αὐδῶν καὶ λέγων τὰ ἔμπροσθεν εὐτυχήματα δ. π.

ἄπαγε: σαυτὸν δηλονότι, ἀντὶ τοῦ ἀποχώρει, καὶ ἄπαγε τοῦ σκοποῦ. καὶ ἐνταῦθα ἄπαγε αὐδῶν τὰ πρότερον εὐτυχήματα μετὰ μετοχῆς, ὃ ταὐτὸ δύναται τῷ ἄπαγε τοῦ αὐδᾶν τὰ πρότερον εὐτυχήματα. Gr. Laud. 89. Mosq.

αὐδῶν: γράφεται ἀοιδῶν, ἤτοι μαντευμάτων· ἤγουν κατέλειπόν σε τὰ πάρος εὐτυχήματα τῶν ἀοιδῶν. C.

1737. *ποθεινά*: ποθεινοποιὰ καταλιποῦσα δάκρυα ταῖς παρθένοις ἔξειμι, ἅπερ ἐδάκρυσα μετ' αὐτῶν, ἀφ' ὧν δακρύων εἰς πόθον καὶ εἰς μνήμην ἥξουσί μου μετὰ ταῦτα. A.B.M.I. Ἄλλως. ἀντὶ τοῦ δακρύσασα μετὰ τῶν παρθένων ἔξειμι τῆς πόλεως. B.I.

1739. *ἀπόπρο*: ἄπωθεν, κατ' ἐπίτασιν τοῦ μήκους. τὸ γὰρ ἀπό ἐπίτασιν σημαίνει. Gr. Fl. 5. 6. 9. 21. 56.

1740. *ἀπαρθένευτα*: ἀντὶ τοῦ κακοπαρθενεύτως πλανωμένη. B.I. οὐ κατὰ παρθένους· αὗται γὰρ οἰκουροῦσιν. Gu. πολὺ παρθενεύουσα. Gr.

1741. *φεῦ, τὸ χρήσιμον*: τινὲς καὶ τοῦτο τῆς Ἀντιγόνης λέγουσιν. B.I. *φεῦ*: θαυμαστικόν. τὸ χρήσιμον τῶν φρενῶν ἠλίκον ἐστὶ δηλονότι, ἤτοι μέγα. I. *τὸ χρήσιμον*: τὸ γενναῖον, συνετόν. Gu. τὸ συνετόν. B.

1742.—1747. *εἰς πατρός γε συμφοράς*: εἰς τὰς συμφορὰς τοῦ πατρὸς ποιήσει ἐμὲ τὸ χρήσιμον τῶν φρενῶν εὐκλεᾶ καὶ ἔνδοξον· τάλαινα ἐγὼ ἕνεκα τῶν ὑβρισμάτων τοῦ ἀδελφοῦ, ὃς οἴχεται ἐκ τῶν δόμων, ἤτοι ἐξερρίφη, ἄθαπτος, μέλεος, ὃν, εἰ καὶ ἀποκείμενόν ἐστι θανεῖν ἐμὲ, ὦ πάτερ, καλύψω τῇ σκοτίᾳ, ἤτοι τάφῳ. I.

εἰς πατρός γε συμφοράς: δυστυχὴς ἐγὼ, φησὶν, ὅτι ἐν καιρῷ

2. πρότερον] Laud. Mosq. πρότερα. sed versus finem Mosq. ut Gr. πρότερον. Ab initio καὶ om. Mosq. MATTH.

5. μαντευμάτων] Codex μαντευμάτεύσεων. in quo Valck. latere videbatur μαντευμάτων ἢ μάντεων. Sed nihil aliud esse videtur nisi duplex lectio confusa μαντευμάτων μαντεύσεων. MATTH.

ib. κατέλειπον] κατέλειπαν C.

7. δάκρυα ante καταλιποῦσα C.M.

ib. καταλιποῦσα] καταλείπουσα A.

9. ἥξουσι] ἕξουσι A.M.

11. τὸ—σημαίνει om. Gr.

15. τινὲς—] γράφεται φεῦ τὸ χρήσιμον φρενῶν εἰς πατρός γε συμφορὰς εὐκλεᾶ με θήσει. καὶ τοῦτο ὅτι (ἔτι Valck.) λέγει ταυτὸ ἀντιγόνη C.

16. φεῦ—] Gr. φεῦ θαυμ. ἤγουν ἕνεκα τοῦ χρησίμου τῶν φρενῶν, e quibus posteriora, ἕνεκα—φρενῶν sunt etiam in Flor. 5. 6. 9. 21. 56. MATTH.

17. τὸ γενναῖον] Flor. 59. τὸ γενναῖον τοῦ λογισμοῦ φρενῶν τῶν σῶν λίαν ὑπάρχει συνετὸν εὑρητικὸν ἢ ἀνάγκη. MATTH.

24. ἐγὼ, φησὶν] φησὶν ἐγὼ C.

συμφορᾶς τοῦ πατρὸς δόξαν ἀποίσομαι, ὡς φρονίμη καὶ συνετή· συνετῆς γὰρ τὸ καὶ δυστυχοῦντι τῷ πατρὶ αἱρεῖσθαι συνεῖναι· ὡσεὶ ἔλεγεν, ἐβουλόμην τὸ συνετόν μου τῶν φρενῶν ἐν εὐτυχίας καιρῷ ἐπιδείξασθαι. B.C.M.I.

1743. *εὐκλεᾶ: ποταπήν.* B.

1744. *τάλαινα ἐγώ: ἀθλία εἰμὶ ἕνεκα τῶν σῶν κακῶν καὶ τῶν τοῦ ἀδελφοῦ Πολυνείκους ὕβρεων.* A.B.M.I.

1746. *ὃν εἴ με καὶ θανεῖν: ὅνπερ καλύψω τῇ γῇ, εἴ με καὶ χρὴ ἀποθανεῖν, ἀντὶ τοῦ εἰ δέοι με καὶ ἀποθανεῖν.* M.

1748. *πρὸς ἥλικας: Δίδυμός φησι συμβουλεύειν αὐτῇ τοῦτο ποιῆσαι, ἵνα ἐρανίσωσιν αὐτήν· οὐδὲν γὰρ λαμβάνουσιν ἐξιόντες ἐφόδιον· ἢ ἵνα συντάξηται αὐταῖς.* A.B.C.I. *πρὸς ἥλικας φάνηθι σάς: ἵνα ταύτας προσείπῃς.* Gu.

1749. *ἅλις ὀδυρμάτων: οὐ φανήσομαι, ἵνα μὴ ὀδυρμὸν ἐγείρω. ἀρκούντως γὰρ περὶ ἐμὲ ἐθρήνησαν.* Gu. *αὐτάρκως ὠδύραντο τὴν ἐμὴν ἀτυχίαν αἱ ὁμήλικες, ἢ αὐτάρκειά μοι τῶν θρήνων.* A.B.M.I. *ἀρκούντως ἔχει τὸ πρᾶγμα ἐμοὶ ἕνεκα τῶν ὀδυρμάτων.* Gr. I.

1750. *σὺ δ' ἀμφὶ βωμίους: ἀπὸ κοινοῦ τὸ φάνηθι, ἵνα ἱκετεύσῃς τοὺς θεοὺς λῆξιν δοῦναι τῶν κακῶν καὶ εὐμενεῖς πρὸς τὰ λοιπὰ γενέσθαι, παραπέμψαντας ἡμᾶς εἰς Ἀθήνας.* A.B.M. Gu. I.

1. *τοῦ πατρὸς*] om. M.
ib. *ἀποίσομαι*] *ἀποίσαιμι* C. *ἀπώσαιμι* M.
ib. *φρονίμη*] *φρόνημος* C. i. e. *φρόνιμος*. Verbis *εὐκλεᾶ μεθήσει* finitur C. fol. 101 b., folio ultimo omisso, sed babet scholion l. 10—12. ad folium 102 a pertinens.
6. *τῶν τοῦ*] *τῶν* om. M.
7. *ὕβρεων*] *ν εἴ με* (sic) *καὶ θανεῖν ὅνπερ καλύψω τῇ γῇ εἴ με καὶ χρὴ ἀποθανεῖν* A.
10. *φησι* om. A.C.
ib. *συμβουλεύειν*] *συμβουλεύει* A.
ib. *αὐτῇ*] *αὐτοῦ* C.
11. *οὐδὲν*] *οὐδὲ* A.
ib. *λαμβάνουσιν* A.B. *λαμβάνουσα* C. in literis *ουσα* correctus. *λαμβάνειν* I.
ib. *ἐξιόντες* A.B.I. *ἀξιόντες* C.
12. *ἐφόδιον*] *ἐφόδια* A.
ib. *ἢ ἵνα—αὐταῖς* om. A.B.C., sed habet B. in margine altera.
15. *αὐτάρκως* A.B.M. *ἅλις* I.
16. *ἀτυχίαν* M. *δυστυχίαν* B.I. *εὐτυχίαν* A. Gu.
ib. *ἢ* om. A.M.
ib. *θρήνων*] *θρήνων ἐστί* I. Post *θρήνων* pergit A. *ἄλλως. ὀδυρμάτων ἐμῶν. δίδυμος* etc.
17. *ἐμοὶ ἕνεκα τῶν*] *ἕνεκα τῶν ἐμῶν* Gr.
18. *ἀπὸ κοινοῦ* post *φάνηθι* M.
ib. *τὸ φάνηθι* om. A.
ib. *ἵνα*] *ἵνα προσεύξῃ καὶ* Gu.
ib. *ἱκετεύσῃς*] *ἱκετεύσω* M.
19. *λῆξιν*] *λήξειν* M.
ib. *τῶν κακῶν* om. Gu.
20. *Ἀθήνας*] *εὐθηνίας* Gu.

σὺ δ᾽ ἀμφί: σὺ δὲ ἄπελθε εἰς τὰς λιτὰς τῶν βωμῶν, ἤγουν εἰς τὸ προσεύξασθαι ἐν τοῖς βωμοῖς· λιτὴ γὰρ βώμιος ἡ ἐν τῷ βωμῷ γινομένη. Gr. Mosq.

1751. *κόρον ἔχουσιν*: οἱ βωμοὶ δηλονότι τῶν ἐμῶν κακῶν. I.

1752. *ἴθ᾽ ἀλλά*: καὶ πρὸς τὸν Διόνυσον ἄπιθι, ἔνθα ἐστὶ ταῖς Βάκχαις ὁ νεὼς τοῦ Διονύσου ἄβατος ὢν τοῖς βεβήλοις, ἀντὶ τοῦ ἐν ὄρει. A.M. ἤγουν ἄπιθι κἂν ἐκεῖσε, ὅπου ὁ ναός ἐστιν ὁ Βρόμιος, ἤγουν ὁ τοῦ Διονύσου, ὁ ἄβατος, ὁ ἐν τοῖς ὄρεσι τῶν Μαινάδων, ἤγουν τῶν Βακχῶν, τουτέστιν ἐν τῷ Κιθαιρῶνι, ἐν ᾧ διατρίβουσιν αἱ Βάκχαι τοῦ Διονύσου. Gr. Mosq. ἀλλὰ καὶ ἐν τοῖς ὄρεσιν ἴθι, ὅπου ὁ Βρόμιος σηκὸς τῶν Μαινάδων ἐστὶν, τουτέστιν εἰς ὃν αἱ Μαινάδες βακχεύουσιν, ὅς ἐστιν ἄβατος τοῖς πολλοῖς, ὡς ἱερὸς, ἢ ὡς ἐν ὄρεσιν ὤν. Gu. *Βρόμιος*: καὶ ὁ τοῦ Διονύσου, ἐν ᾧ βρόμοι καὶ ἦχοι παρὰ τῶν Βακχῶν γίνονται. τὸ δέ τε τοιαύτην ἔμφασιν ἔχει ὅτι καὶ ἄλλοι σηκοί εἰσιν ἐκεῖ τῶν θεῶν. Gu.

ἵνα τε σηκός: ὁ τάφος τῆς Σεμέλης ὅπου ἐστὶν ἐν Κιθαιρῶνι. σηκὸς δὲ ὁ ναός. ἄβατος δὲ δηλονότι τοῖς βεβήλοις. ἐπὶ γοῦν τὸν Βρόμιον, φησὶν, ἴθι. ἄδηλον δὲ πρὸς τί ποτε φησὶν αὐτὴν τοὺς θεοὺς ἀξιοῦν, καὶ μάλιστα τὸν Διόνυσον. ὁ δὲ χορὸς ἀσυμπαθὴς, παρθένον οὕτως ἀτυχῶς φεύγουσαν μὴ οἰκτιζόμενος. A.B.M.I.

1754.—1757. *Καδμείαν*: στελισαμένη ἐγώ ποτε καὶ ἐνδυθεῖσα νεβρίδα Καδμείαν, ἤγουν ἣν αἱ Καδμεῖαι Βάκχαι φοροῦσιν, ἀνὰ τοῖς ὄρεσιν ἐχόρευσα ἱερὸν θίασον τῆς Σεμέλης, διδοῦσα εἰς θεοὺς χάριν ἀχάριστον, τουτέστιν ἀκάρπωτον, ἀκερδῆ, ἄπρακτον· τιμῶσα γὰρ ἐκείνους καὶ εὐχομένη τοῖς ἐμοῖς πᾶσι τὰ βέλτιστα οὐδὲν ἤνυσα. τὸ δὲ ὠή ἀντὶ τοῦ φεῦ. Gu. *Καδμείαν*: εἰς τὸν ναὸν ἀπελεύσομαι δηλονότι ἐκείνου, ᾧ, ἀντὶ τοῦ οὗ χάριν, ποτὲ ἐγὼ Καδμείαν, ἤτοι Θηβαϊκὴν, νεβρίδα στολιδωσαμένη καὶ ἐνδυσαμένη ἀνεχόρευσα κατὰ τὸν

1. τὰς om. Mosq.

2. λιτὴ—] Ultima λιτὴ γὰρ β. sunt etiam in Cant. (qui γινόμενος) et Flor. 6. 9. 21. 56. Priora habet etiam I. σὺ δὲ ἄπελθε ἀμφὶ τὰς βωμίους λιτὰς, ἤτοι εἰς τὰς λ. τῶν β. τουτέστιν εἰς τὸ πρ. ἐν τοῖς β. MATTH.

17. βεβήλοις] τοῖς τὰ διονυσιακὰ μὴ γινώσκουσι μυστήρια add. I.

18. αὐτὴν] αὐτὴ A.

19. χορὸς om. M.

ib. ἀσυμπαθὴς om. A.

28. νεβρίδα] Legebatur νευρίδα etiam in Gr. in quo haec sunt. Idem codex et Mosq. pro στολ. καὶ ἐνδ. habet στειλαμένη, et οὐκ ἔχουσαν pro

ἐν ὄρεσιν ἱερὸν θίασον καὶ χορὸν τῆς Σεμέλης, χάριν διδοῦσα εἰς θεοὺς ἀχάριστον, ἤτοι ἀντίχαριν μὴ ἔχουσαν; I.

Καδμείαν: ἀντὶ τοῦ ἐπιχωρίαν, καὶ ἣν εἰθίσμεθα ἡμεῖς αἱ Θηβαῖαι φορεῖν. Ἄλλως. τούτῳ με κελεύεις χορεῦσαι, ᾧ ποτε ἀνεχόρευσα ἐγὼ Καδμείαν νεβρίδα στολισαμένη, κατὰ τὸν ἐν ὄρεσι θίασον τῆς Σεμέλης; ἀλλ' ὅμως χάριν οὐκ ἐδεξάμην, ἀνθ' ὧν ἐχόρευσα. πῶς οὖν με κελεύεις καὶ νῦν αὐτῷ χορεῦσαι τῷ ἅπαξ καταφρονήσαντί μου, ἧς χάριν καὶ ἀμοιβὴν παρὰ τῶν θεῶν οὐκ ἔσχον, ἀλλ' ἐπὶ τοῦ Οἰδίποδος τοιαῦτα πέπονθα. A.B.M.I.

1754. στολιδωσαμένα: στολὶς στολίδος τὸ ἔνδυμα, καὶ ἀπὸ τούτου στολιδόω στολιδῶ τὸ στέλλω καὶ κοσμῶ. Gr. Fl. 5. 6. 9. 21. 56. ἐνδυσαμένη, στειλαμένη, κοσμησαμένη, ἐνδυθεῖσα. Gu.

1758.—1763. ὦ πάτρας κλεινῆς: ὦ πολῖται τῆς κλεινῆς πατρίδος, βλέπετε, ὅδε ὁ Οἰδίπους, ὃς ἐνόησε τὰ κλεινὰ αἰνίγματα, καὶ ἣν ἀνὴρ μέγιστος, ὃς μόνος κατέσχον τὰ κράτη καὶ τὰς νίκας τῆς μιαιφόνου Σφιγγός, νῦν αὐτὸς ἄτιμος οἰκτρὸς ἐξελαύνομαι καὶ ἀποδιώκομαι τῆς χθονός. ἀλλὰ διὰ τί ὀδύρομαι ταῦτα ματαίως; τὰς γὰρ ἐκ θεῶν ἀνάγκας, ἤτοι τὰς ἀναγκαίας συμφοράς, δεῖ φέρειν καὶ ὑπομένειν ὄντα θνητόν. I.

1759. ἦν: ἤμην, ὑπῆρχον. κατέσχον δὲ ἀντὶ τοῦ ἐνίκησα, ἢ ἔγνων. κάρα γὰρ καὶ κράτη τὰ σοφίσματα, δι' ὧν ἐκράτει τῆς πόλεως. κράτη κατέσχον: ἀντὶ τοῦ ὃς μόνος τῆς Σφιγγὸς περιεγενόμην. Gr. Fl. 5. 6. 9. 21. 56.

μὴ ἔχ. Ab initio Mosq. ἐκεῖνον, om. δηλονότι, tum idem et Gr. om. ᾧ ἀντὶ τοῦ et habet Καδμ. νεβρίδα, ἤγουν Θηβ. tum om. καὶ χορόν. MATTH.

3. εἰθίσμεθα] ἐμειθίσμεθα (sic) M.

ib. αἱ θηβαῖαι B.M. Gu. οἱ θηβαῖοι I.

4. με om. M.I. In A. τοῦτο μὲν κελεύεις χορεῦσαι ὃ ποτε—.

ib. ἀ. ἐγὼ] ἐγὼ ἀ. B.

5. στολισαμένη A.B.M. λυσαμένη I.

6. ἀλλ'—ἐδεξάμην om. M.

7. με κελεύεις καὶ νῦν αὐτῷ] καὶ πάλιν κελεύεις A.

8. χάριν καὶ B.M. καὶ om. I. " Habet etiam Gr. Ibidem legitur — — οὐκ ἔσχον, ἐπεὶ τοιαῦτα πέπονθα. Sunt vero in eo haec tantum ἐπιχωρίαν—φορεῖν et ἧς χάριν καὶ ἀμ.—πέπονθα. MATTH.

ib. ἧς χάριν—πέπονθα hic omittit M., sed ad v. 1760. post excerpta ex Pisandro habet, τῆς μιαιφόνου κράτη: δι' ὧν ἐκράτει τῆς πόλεως χάριν διδοὺς καὶ ἀμοιβὴν παρὰ τῶν θεῶν......ἐπεὶ οἰδίπους ...τοιαῦτα πέπονθα:—In A. est χάριν ἀχάριστον. χάριν διδοῦσα ἧς χάριν καὶ —ἔσχον, ἐπεί τοι οἰδίπους αὐτὰ πέπονθα:—

21. κάρα—πόλεως] Haec etiam in B.

1760. ὃς μόνος Σφιγγός: ἱστορεῖ Πείσανδρος ὅτι κατὰ χόλον τῆς Ἥρας ἐπέμφθη ἡ Σφὶγξ τοῖς Θηβαίοις ἀπὸ τῶν ἐσχάτων μερῶν τῆς Αἰθιοπίας, ὅτι τὸν Λάϊον ἀσεβήσαντα εἰς τὸν παράνομον ἔρωτα τοῦ Χρυσίππου, ὃν ἥρπασεν ἀπὸ τῆς Πίσης, οὐκ ἐτιμωρήσαντο. ἦν δὲ ἡ Σφὶγξ, ὥσπερ γράφεται, τὴν οὐρὰν ἔχουσα δρακαίνης, ἀναρπάζουσα δὲ μικροὺς καὶ μεγάλους κατήσθιεν, ἐν οἷς καὶ Αἵμονα τὸν Κρέοντος παῖδα, καὶ Ἵππιον τὸν Εὐρυνόμου, τοῦ τοῖς Κενταύροις μαχεσαμένου. ἦσαν δὲ Εὐρύνομος καὶ Ἠϊονεὺς υἱοὶ Μάγνητος τοῦ Αἰολίδου καὶ Φυλοδίκης. ὁ μὲν οὖν Ἵππιος καὶ ξένος ὢν ὑπὸ τῆς Σφιγγὸς ἀνῃρέθη, ὁ δὲ Ἠϊονεὺς ὑπὸ τοῦ Οἰνομάου, ὃν τρόπον καὶ οἱ ἄλλοι μνηστῆρες. πρῶτος δὲ ὁ Λάϊος τὸν ἀθέμιτον ἔρωτα τοῦτον ἔσχεν. ὁ δὲ Χρύσιππος ὑπὸ αἰσχύνης ἑαυτὸν διεχειρίσατο τῷ ξίφει. τότε μὲν οὖν ὁ Τειρεσίας, ὡς μάντις, εἰδὼς ὅτι θεοστυγὴς ἦν ὁ Λάϊος, ἀπέτρεπεν αὐτὸν τῆς ἐπὶ τὸν Ἀπόλλωνα ὁδοῦ, τῇ δὲ Ἥρᾳ μᾶλλον τῇ γαμοστόλῳ θεᾷ θύειν ἱερά. ὁ δὲ αὐτὸν ἐξεφαύλιζεν. ἀπελθὼν τοίνυν ἐφονεύθη ἐν τῇ σχιστῇ ὁδῷ αὐτὸς καὶ ὁ ἡνίοχος αὐτοῦ, ἐπειδὴ ἔτυψε

1. ἱστορεῖ Πείσανδρος] E Pisandri poëmate quae vetus excerpserat enarrator parum intererat ubi legerentur; in Aug. cod. [fol. 57 b.] Phoenissis praefixa *statim post argumenta librarius vetus* collocaverat, monente viro docto, qui codicem adhibuit. Pisandri poëma, ex quo haec derivata sunt, fuit probabiliter heroicum illud valde nobilitatum, quo Herculis acta cecinerat. Theocritus Epigr. 20. Τὸν τοῦ Ζανὸς ὅδ' ὕμμιν (hoc poscit versus Phalaecius) υἱὸν ὡ'νὴρ, Τὸν λειοντομάχαν, τὸν ὀξύχειρα, Πρᾶτος τῶν ἐπάνωθε μουσοποιῶν Πείσανδρος ξυνέγραψεν ὡ'κ Καμείρου, Χὥσους ἐξεπόνασεν εἶπ' ἀέθλους. de Pisandro Meursius agens in Rhodo 2, 11. Theocritea atque alia quaedam praetermisit. VALCK.

4. Πίσης] πίσσης C.M.

ib. οὐκ ἐτιμωρήσαντο — τὴν οὐρὰν om. M.

ib. ἐτιμωρήσαντο] ἐτιμωρήσατο αὐτόν C.

5. ἔχουσα] εἶχεν M.

ib. δρακαίνης C.M. δράκοντος B.I. Euripides in Sphinge ap. Aelian. N. A. 12, 7. ab Valck. comparatus, οὐρὰν δ' ὑπίλασ' ὑπὸ λεοντόπουν βάσιν | καθέζετο.

6. κατήσθιεν] κατίσθιεν M. καταίσθιεν C.

7. τοῦ (scripsi τὸν) Εὐρυνόμου] τοῦ om. M.

8. ἦσαν δὲ] δὲ om. C.

ib. Ἠϊονεὺς] νιοεὺς M. ἠϊονεὺς C. hic et infra.

ib. υἱοὶ] ὡς οἱ M.

9. φυλοδίκης B.M. φιλοδίκης I. φικίδης (sic) C.

11. ἀθέμιτον B.C.M. ἀθέμιστον I.

ib. ἔρωτα τοῦτον ἔσχεν] ἔρωταν (sic) ἔσχεν C.

12. διεχειρίσατο] διεχειρήσατο C. M. διεχρήσατο B.I.

13. εἰδὼς B.C.M. ἰδὼν I.

14. ἀπέτρεπεν αὐτὸν τῆς] ἀπέτρεπε τῆς C.

ib. τῇ δὲ—ἐξεφαύλιζεν om. M.

15. γαμοστόλῳ] μαγοστόλῳ C.

τῇ μάστιγι τὸν Οἰδίποδα. κτείνας δὲ αὐτοὺς ἔθαψε παραυτίκα σὺν τοῖς ἱματίοις, ἀποσπάσας τὸν ζωστῆρα καὶ τὸ ξίφος τοῦ Λαΐου καὶ φορῶν, τὸ δὲ ἅρμα ὑποστρέψας ἔδωκε τῷ Πολύβῳ, εἶτα ἔγημε τὴν μητέρα, λύσας τὸ αἴνιγμα. μετὰ ταῦτα δὲ θυσίας τινὰς ἐπιτελέσας ἐν τῷ Κιθαιρῶνι κατήρχετο ἔχων καὶ τὴν Ἰοκάστην ἐν τοῖς ὀχήμασι. καὶ γενομένων αὐτῶν περὶ τὸν τόπον ἐκεῖνον τῆς σχιστῆς ὁδοῦ, ὑπομνησθεὶς ἐδείκνυε τῇ Ἰοκάστῃ τὸν τόπον καὶ τὸ πρᾶγμα διηγήσατο, καὶ τὸν ζωστῆρα ἔδειξεν. ἡ δὲ δεινῶς φέρουσα ὅμως ἐσιώπα· ἠγνόει γὰρ υἱὸν ὄντα. καὶ μετὰ ταῦτα ἦλθέ τις γέρων ἱπποβουκόλος ἀπὸ Σικυῶνος, ὃς εἶπεν αὐτῷ τὸ πᾶν, ὅπως τε αὐτὸν εὗρε καὶ ἀνείλετο καὶ τῇ Μερόπῃ δέδωκε. καὶ ἅμα τὰ σπάργανα αὐτῷ ἐδείκνυε καὶ τὰ κέντρα, ἀπῄτει τε αὐτὸν τὰ ζωάγρια. καὶ οὕτως ἐγνώσθη τὸ ὅλον. φασὶ δὲ ὅτι μετὰ τὸν θάνατον τῆς Ἰοκάστης καὶ τὴν αὐτοῦ τύφλωσιν ἔγημεν Εὐρυγάνην παρθένον, ἐξ ἧς αὐτῷ γεγόνασιν οἱ τέσσαρες παῖδες. ταῦτά φησι Πείσανδρος. B.C.M.I. οἱ τὴν Οἰδιποδίαν γράφοντες (οὐδεὶς οὕτω φησὶ περὶ τῆς Σφιγγός)

2. καὶ φορῶν] καὶ om. C.
4. ἐπιτελέσας] τελέσας I.
5. ἐν τοῖς C.M. σὺν τοῖς B.I.
6. γενομένων] γινομένων M.
ib. ἐκεῖνον om. M.
7. ἐδείκνυε] ἐπεδείκνυεν M. ὑπεδείκνυε C.
9. υἱὸν] ὡς υἱὸν M.
ib. καὶ μετὰ] καὶ om. C.
14. Εὐρυγάνην] ἐρυγάνην C.M.
ib. παρθένον om. C. Περίφαντος Valck.
ib. γεγόνασιν οἱ δ̄ M. γεγόνασι τέσσαρες B.C.I.
15. οἱ τὴν Οἰδιποδίαν γράφοντες] Scholii veteris haec tantum supererant in Aug. cod. reliquiae, proximis e Pisandro subjectae. Qui haec pauca de multis excerpsit literator ista reliquis forsan adjecit: οὐδεὶς οὕτω φησὶ περὶ τῆς Σφιγγός. Vetusti carminis versus describere neglexit, praeter hos duo suavissimos, quorum sensus ab illis pendet quae perierunt, aliunde tamen non difficulter eruendus. Utrum sint ex Oedipodiae poëmate, an ex Heraclea Pisandri, definiri nequit. Pisandri heroicum fuisse poëma manifestum est e scholiis ad Aristoph. Nub. 1047. In excerptis etiam e Pisandro nonnulla leguntur, ad quae commode respondent hi duo versus, ista nimirum: ἡ Σφὶγξ ἀναρπάζουσα μικροὺς καὶ μεγάλους κατήσθιεν, ἐν οἷς καὶ Αἵμονα τὸν Κρέοντος παῖδα. ultimus Haemon raptatus periit: Apollod. 3. p. 148. πολλῶν ἀπολλυμένων, καὶ τὸ τελευταῖον Αἵμονος τοῦ Κρέοντος. Hinc saltem patet quo spectent hi versus: Ἀλλ' ἔτι κάλλιστόν τε καὶ ἱμεροέστατον ἄλλων, Παῖδα φίλον Κρείοντος ἀμύμονος, Αἵμονα δῖον. sinceram repraesentavi scripturam loco vitiosae, quam praebebat cod. Aug. hanc nempe: ἀλλ' ἐπικάλλιστόν τε καὶ ἡμεροέστατον ἄ. παῖδα φιλοκρειόντος ἀμύμονα αἱμοναδῖον. Praeterea codex habebat: πολλοὺς αὐτῶν ἀπολλύων ἔναντι τ. χ. χ. Schol. ad Phoen. 45. Σωκράτης ἐγχωρίαν αὐτὴν φησὶ χρησμολόγον δύσγνωστα μαντευο-

ἀλλ' ἔτι κάλλιστόν τε καὶ ἱμεροέστατον ἄλλων,
παῖδα φίλον Κρείοντος ἀμύμονος, Αἵμονα δῖον.

καὶ φασὶν ὅτι οὐκ ἦν θηρίον, ὡς οἱ πολλοὶ νομίζουσιν, ἀλλὰ χρησμολόγος, δύσγνωστα τοῖς Θηβαίοις λέγουσα, καὶ πολλοὺς αὐτῶν ἀπώλλυεν ἐναντίως τοῖς χρησμοῖς χρωμένους. C.

1764. ὦ μέγα σεμνά: ὦ νίκη μεγάλως σεμνὴ, εἴθε κατέχοις τὸν ἐμὸν βίοτον καὶ τὴν ἐμὴν ζωὴν, καὶ μὴ λήγοις καὶ παύσαιο στεφανοῦσα καὶ τιμῶσα ἐμὲ δηλονότι. I. ἰδὼν ὁ χορὸς ὅτι οὐ πεπόρθηνται αἱ Θῆβαι, ἀλλὰ καὶ τὸν τῶν Ἀργείων στρατὸν ἡττηθέντα τῶν Θηβαίων, τοῦτό φησιν. Gu. ὁ χορὸς ἐκ προσώπου τοῦ ποιητοῦ. Fl. 5. 6. 9. 21. 56. 59.

μένην, ἅπερ ἀγνοοῦντες οἱ Θηβαῖοι, καὶ ἐναντίως αὐτοῖς χρώμενοι, ἀπώλλοντο.—Carmen forte Cyclicum, τὴν Οἰδιποδίαν quis condiderit latet: Pausaniae 9. p. 722, citatur ὁ τὰ ἔπη ποιήσας, ἃ Οἰδιπόδια (vel Οἰδιπόδεια) ὀνομάζεται. Sicut hoc carmen Οἰδιποδίαν vocat schol., Hesiodi vel alterius Μελαμποδίαν saepius veteres citarunt. Hujusmodi poëmatum antiquissimorum, qualia fuerunt ἡ Τιτανομαχία· ἡ Φορωνίς· ἡ Ἀλκμαιωνίς· ἡ Δαναΐς· ἡ Αἰθιοπίς· ἡ Εὐρώπεια· ὁ Αἰγίμιος· similiumque conditores jam olim vel habebantur incerti, vel prorsus ignorabantur. VALCK. Recta scriptura Οἰδιπόδειαν est.

SPECIMINA GLOSSEMATUM

EX CODICE MONACENSI 560. (C.)

GLOSSEMATA IN PHOENISSAS.

1. Τὴν ἐν ἄστροις] τὴν κεκαλλωπισμένην τέμνων] ὁ ὁδεύων 2. χρυσοκολλήτοισιν] λαμπροῖς ἐμβεβὼς] ἐπιβαίνων 3. εἰλίσσων] περιάγων φλόγα] τὴν ἀκτῖνα 4. δυστυχῆ] δυστυχίας ἀθλίαν αἰτίαν 5. ἀκτῖν'] ἐμφαντικὸν ἐφῆκας] ἐπέβαλες, ἀνέτειλας 6. ἐκλιπὼν] ὁ Κάδμος Φοίνισσαν] πόλιν τῶν Θηβῶν 8. τοῦ δὲ] ἀπὸ τούτου 9. φῦναι] γεννηθῆναι 10. κληΐζομαι] καλοῦμαι 11. ἀδελφὸς] ἐμοὶ 14. χρόνια λέκτρα] ἀντὶ τοῦ ἐκ πολλοῦ γήμας με σὺν ἐμοὶ καθεύδων 15. ἐξαιτεῖ] παρακαλεῖ 16. παίδων] ἔχειν κοιρανίαν] βασιλείαν [κοιρανίαν vitium huic codici proprium pro κοινωνίαν.] Et in margine ab eadem manu οὐ θελῆ(σ)' μὴ συνε(χ)ρ' τῇ γυναικί 17. ὁ δ' εἶπεν] ἤγουν ὁ Ἀπόλλων Θήβαισιν] Θηβῶν εὐΐπποις] πολεμικοῖς 18. σπεῖρε] γῆ ἄλοκα] ἤγουν γυναῖκα δαιμόνων] θεῶν 19. ὁ φύς] ὁ υἱός σου 20. δι' αἵματος] διὰ φόνου 21. ὁ δ' ἡδονῇ δοὺς] ὁ Λάϊος εἰς εὐωχίαν ἑαυτὸν στοιχήσας καὶ εἰς μέθην 23. τἀμπλάκημα] τὸ ἁμάρτημα 24. ἐς Ἥρας] εησι (sic) Κιθαιρῶνος λέπας] ὄρους ὄνομα Κιθαιρῶνος τῆς Λακωνικῆς 25. ἐκθεῖναι] ῥίψαι 26. σφυρῶν] ἀστραγάλων διαπείρας] ἐμβαλὼν 27. νιν] αὐτόν Ἑλλὰς—] ἡ Μερόπη (codex μερώπη) πρῶτον αὐτὸν Οἰδίπουν ἐκάλεσεν, ἡ δὲ Ἑλλὰς ἀπ' αὐτῆς ἐδέξατο τὸ ὄνομα. [Eadem fere inter scholia, ubi πρώτη, non πρῶτον ut ap. Valck. et διεδέξατο.] 28. Πολύβου] τοῦ. βασιλεὺς ἦν Κορίνθου ὁ Πόλυβος νιν] τὸν Οἰδίπουν 29. δεσποίνης] Μερόπης 30. ἡ δὲ] ἤγουν ἡ γυνὴ τοῦ Πολύβου ἡ Μερόπη 31. μαστοῖς] ἐν τοῖς ὑφεῖτο] ἔθετο 32. ἤδη δὲ πυρσαῖς—] εἰς ἀνδρῶν ἡλικίαν βαίνων 34. ἔστειχε] ἦλθε τοὺς φύσαντας] τοὺς γεννήσαντας 35. Λάϊος—] παρεγένετο εἰς τὸ μαντεῖον 36. τὸν—] ἔστειχε ἐκτεθέντα] γεννηθέντα μαστεύαν μαθεῖν] ζητῶν ἰδεῖν 37. εἰ μηκέτ' εἴη] εἰ μηκέτι ζῇ ξυνάπτετον] συναντοῦσιν (sic) ἀλλήλοις αὐτόν 39. νιν] τὸν Οἰδίπουν τροχηλάτης] ἁρματηλάτης 41. ὁ δ' εἶρπ' ἄναυδος] ὁ Οἰδίπους ἐβάδιζεν ἄφωνος πῶλοι δέ νιν] αὐτοῦ τοῦ Οἰδίποδος 43. τ' ἄχθος] γρ. ἀκτὸς, ἤγουν τὰ ἔξω 44. καίνει] φονεύει ὀχήματα] ἅρματα 45. ἐπεζάρει] ἐπεβάρει, ἐπεβίαζε 46. πόσις] ἀνήρ 47. Κρέων—]

ἀνόητόν φασιν ἐπὶ τὸν τῆς ἀδελφῆς γάμον τὸν τυχόντα καλεῖν. [Eadem inter scholia ubi ἀνοήτως—καλῶν.] 48. σοφῆς] δύσλυτον 49. λέκτρα] τἀμά 50. μαθὼν] λύσας 52. ἔπαθλα] δῶρα 55. τίκτω δὲ] ἐγὼ γεννῶ 56. κλεινὴν—βίαν] περιφραστικῶς τὸν Πολυνείκην 58. τὴν δὲ πρόσθεν] τὴν προγενεστέραν 60. ὁ πάντ' ἀνατλὰς] τὰ ὑπὸ τῆς μητρὸς αὐτοῦ γενόμενα ὑπομείνας 61. ἐμβάλλει φόνον] ἤγουν ἐτύφλωσεν ἑαυτόν 62. πόρπαισιν] σουβλίοις 63. γένυς] τὸ καταμάγουλον 64. κλείθροις] κουβουκλείοις 65. πολλῶν δεομένη σοφισμάτων] πολλῆς δεομένη μηχανῆς εἰς τὸ λαβεῖν 66. ζῶν δέ τ' ἐν οἴκοις] ἔστενεν [Decepit glossatorem scriptura vitiosa pro δ' ἔστ'] πρὸς δὲ τῆς τύχης νοσῶν] καὶ ὑπὸ τῆς τύχης κάμνων 67. ἀρὰς ἀρᾶται] κατάρας καταρᾶται ἀνοσιωτάτας] χαλεπωτάτας 68. θηκτῷ] καὶ ἠκονημένῳ δῶμα] τοῦτο τὸ οἴκημα διαλαχεῖν] μερίσαι 69. τὼ] οὗτοι μὴ τελεσφόρους] μὴ τελείας 70. κραίνωσιν] τελειώσωσιν 71. ξυμβάντ'] συνελθόντες, σκεψάμενοι ἔταξαν] οἱ θεοί πάρος] πρῶτον 74. ἐνιαυτὸν ἀλλάσσοντ'] κατὰ χρόνον ἐκπληροῦντα, διαδεχόμενον τὴν βασιλείαν 77. ὁ δ'] ὁ δὲ Πολυνείκης κῆδος] συγγένειαν. κῦδος (κύδος C.) δόξα 78. ἀσπίδ'] στρατὸν, συμμαχίαν 79. τείχη τάδε] τῆς Θήβης 80. πατρῷ'] τὰ πατρικά σκῆπτρα] βασι^λ (i. e. βασίλεια) 81. ἐγὼ] Ἰοκάστη ὑπόσπονδον] μετὰ φιλίας μολεῖν] καὶ παραγίνεσθαι 82. παῖδα] τὸν Πολυνείκην 83.* ἥξειν—] μετὰ φιλίας τὸν Πολυνείκην ἄγγελος] μηνυτής 84. πτύχας] τὰ στέγη 85. ξύμβασιν] ὁμόνοιαν 86. χρὴ δ', εἰ σοφὸς—] ἐπειδὴ οἰκονομικός. In marg. γν^ω'' (i. e. γνωμικόν) 88. κλεινὸν] ἔνδοξον θάλος πατρί] βλάστημα πατρός 90. ἐς διῆρες ἔσχατον] ἦλθες 91. ἰδεῖν] ὥστε ἱκεσίαισι σαῖς] ἵνα σε ἀφῇ 92. ἐπίσχες] ἀνάμεινον προὐξερευνήσω στίβον] προΐδω τὴν τετριμμένην ὁδόν 93. φαντάζεται] φαίνεται, ὁδεύει 94. φαῦλος] εὐτελής ψόγος] λοιδορία 95. σοὶ] ἔλθοι ὡς ἀνάσσῃ] μέγας ψόγος 97. σπονδὰς] φιλίας εἰρηνικάς 98. ἐνθένδ' ἐκεῖσε] ἀπὸ τῶν ὧδε, ἤγουν ἀπὸ τοῦ Ἐτεοκλέους κείνου] τοῦ Πολυνείκους 99. χρίμπτεται] ἐγγίζει, προσπελάζεται, πλησιάζει δόμοιο] γρ. δρόμοις 100. κέδρον—] καὶ λοιπὸν παλαιὰν] τιμίαν ἐκπέρα] δίελθε 101. πεδία] εἰς τὰ καὶ παρ'—] καὶ ὅρα Ἰσμηνοῦ] ποταμοῦ ῥοάς] εἰς τάς 102. Δίρκης] ὄνομα πηγῆς τε νᾶμα] καὶ ὅρα στράτευμ' ὅσον] ὑπάρχει 103. ὄρεγε] παράσχε νέᾳ χεῖρ'] ἐμοὶ τῇ νέᾳ χειρί 106. Πελασγικόν] ἀπὸ Πελασγοῦ 108. παῖ Λητοῦς Ἑκάτα] εἰς τὰ φάσματα εἰώθασιν καλεῖν τὴν Ἑκάτην ἤγουν ἐνέδρας πολέμων, τὴν Ἄρτεμιν 109. κατάχαλκον—] ἀντὶ τοῦ χαλκωθὲν τῶν ἀσπίδων ὅπλοις πλῆρες 111. φαύλως] εὐτελῶς 112. πολλοῖς—] ἀπὸ κοινοῦ ἀλλὰ ἦλθε βρέμων] γαυριῶν, κτυπῶν 113. ἆρα—] ἡρμοσμέναι εἰσίν καὶ αἱ στρόφιγγες, παρὰ τὸ ἐμβάλλεσθαι τῇ ὀπῇ

* Versus 83. bis scriptus in codice, in fine folii 62 a et in initio folii versi, ubi punctis notatus est a manu recentiori.

τῆς ὁδοῦ, λέγω δὲ τὰ ῥωμανίσια. [De voc. ῥωμανίσιον, quod *obicem* significat, verboque ῥωμανίζειν vide Ducang. Gloss. p. 1312.] 115. λαϊνέοις] λιθίνοις ὀργάνοις] τοῖς ἔργοις, ἐκτοῦ ποιοῦντος τὸ ποιούμενον ib. (in ima pagina fol. 63 a) ὁ Ἀμφίων πρῶτος ἔκτισε τὰς Θήβας 117. τά γ' ἔνδον—] τῶν πυλῶν τοῦ τείχους καλῶς ἥρμοσται 118. βούλει] θέλεις 119. λευκολόφας] ὁ λαμπρὰν ἔχων τὴν περικεφαλαίαν, ὅστις ἔμπροσθεν ἡγεῖται 121. πάγχαλκον] ὁλόχαλκον ἀμφὶ βραχίονα] περὶ τὸν βραχίονα κουφίζων] ἐλαφρῶς βαστάζων 123. λοχαγός] ταξίαρχος, ἡγεμών πόθεν γεγώς] ποίου τόπου γεγονώς 124. αὔδασον] εἰπέ τίς] πῶς 125. αὐδᾶται] λέγεται γένος] εἰς τὸ εἶναι 126. Λερναῖα] πηγὴ τοῦ Ἄργους νάμαθ'] ῥεύματα ἄναξ] ὑπάρχει 127. αἶ αἶ] ἒ ἔ γαῦρος] ἐπηρμένος 128. γηγενέτᾳ] γηγενεῖ προσόμοιος] παραπλήσιος 128. ἀστεροπός (sic)] λαμπρός 129. γραφαῖσιν] ζωγραφίαις, ἐν κοιλώμασιν πρόσφορος] ὅμοιος ἀμερίῳ] ἀνθρωπίνῃ 131. ἐξαμείβοντ'] διερχόμενον ὁρᾷς] σύ ὕδωρ] εἰς τό 132. λοχαγόν] ταξίαρχον 133. ἔφυ] ὑπάρχει κατὰ τὸ ὄνομα 134. Ἄρην δ' Αἰτωλὸν] ὁπλισμὸν Αἰτωλικόν στέρνοις] ἐκ τοῦ μέρους τὸ πᾶν 136. νύμφας ὁμόγαμος κυρεῖ] γυναικὲς ὁμόγαμβρος (ὁμόγαυρος codex) ὑπάρχει 138. ὡς] ὅτι ἀλλόχρως] ἄλλως χρῆται τοῖς ὅπλοις 139. σακεσφόροι] ἀσπιδηφόροι τέκνον] ὦ 140. εὐστοχώτατοι] ὑπάρχουσι 142. ἀσπίδων] ἐπί 143. σπονδὰς] φιλίας κασιγνήτῳ] τῷ Πολυνείκει 144. ἃ] σημεῖα 145. οὗτος] ὅστις 146. καταβόστρυχος] πολύθριξ γοργὸς] φοβερός 147. λοχαγός] ταξίαρχος ὡς—] ὄντως, λίαν πολὺς αὐτόν ὑστέρῳ ποδί] τουτέστιν ἐξοπίσω 150. γόνος] υἱός 151. ἁ] ἡ ib. εἰς τὸ δαμάσασα ματέρος] τῆς Ἀταλάντης 152. ἱεμένα] ὁρμωμένη καὶ προθυμουμένη 153. ἔβα] ἐπορεύθη πέρσων] καὶ μέλλων πορθῆσαι 154. σὺν—] ἀλλά δίκῃ] δικαιοσύνῃ ἥκουσι] ἔρχονται γῆν] εἰς τήν 155. δέδοικα] τὸ δίκαιον σκοπῶσ'] καὶ κρίνωσιν 156. ποῦ δ' ὃς] ἐστὶν ἐκεῖνος 157. πολυπόνῳ μοίρᾳ] ἐν κακῇ δυστυχίᾳ 158. ἐκεῖνος] ἐστὶν ὁ Πολυνείκης τῶν ἓξ παρθένων] τῶν υἱῶν πέλας] πλησίον 159. πλησίον παραστατεῖ] ἤγουν πλησίον ἵσταται παραστατεῖ] παρίσταται 162. τύπωμα] ἀπεικόνισμα στέρνα τ' ἐξεικασμένα] ὁμοιωμένα τῷ Πολυνείκει 163. ἀνεμώκεος] καὶ τῆς ἀνεμώκεος τῆς ταχείας 165. ἐξανύσαιμι] διέλθοιμι, δράμοιμι 166. ὁμογενέτερα] ἀδελφόν περὶ δ' ὠλένας] εἴθε τοὺς βραχίονας καὶ χεῖράς μου 167. δέρᾳ] τραχήλῳ αὐτοῦ βάλλοιμι] περιπλέξοιμι (sic) χρόνῳ] μακρῷ 168. μέλεον] ἄθλιον ὡς] λίαν εὐτρεπὴς] κόσμιος ὑπάρχει γέρον] ὦ 169. ἐῴοις ὅμοια] πρωϊναῖς ἴσα φλεγέθων] λάμπων 172. λευκὸν] διὰ τοὺς ἵππους ἡνιοστροφεῖ βεβώς] ἡνιοχεῖ, ἐλαύνει ἐπιβεβηκώς 174. σφάγια] τὰ σφαγεῖα εἰσί φιλαιμάτου ῥοαί] φιλαίματοι ῥοαί 175. λιπαροζώνου] τοῦ λαμπροῦ καὶ εὐδαίμονος, εὐπρεπεστάτου 176. Σελαναία] σελήνη χρυσεόκυκλον] λαμπρόν 177. ὡς] λίαν ἀτρεμαῖα] ἥσυχα σώφρονα] σωφρόνως 178. πώλοις] πωλαρίοις [Forma

diminutiva in Graecitate inferiore frequentior quam apud veteres.] μεταφέρων] Ἀμφιάραος ἰθύνει] ἐπ' εὐθείας ἄγει 179. ἐφυβρίζοι] ἐπαπειλεῖ 181. ἐκεῖνος] ὁ Καπανεὺς ἀλαζὼν ἦν τὰ πολλά προσβάσεις] καὶ πύλας. εἰσβάσεις τεκμαίρεται] σκοπεῖ, σημειοῦται 182. μετρῶν] σκοπῶν 183. ἰὼ] προαναφώνησις νέμεσις] ὦ θεά βαρύβρομοι] βαρύκτυποι 184. φῶς αἰθαλόεν] πῦρ καυστικόν σύ τοι—] σὺ, ὦ Νέμεσις, τὴν ὑπερηφανίαν αὐτὴν (corrige αὐτοῦ) 185. ὑπεράνορα] ὑπὲρ ἄνθρωπον κοιμίζοις] εἴθε ταπεινοῖς. ἀφανίζοις 186. ὅδ'] οὗτος 187. δορὶ] ἐν πολέμῳ Θηβαίας] γυναῖκας λείπει τὸ ἐναβρύνεται, ἐπαπειλεῖ 188. Λερναίᾳ] ὄνομα πηγῆς τριαίνᾳ] τὸ λεγόμενον καμάκιον. τόπος δέ ἐστιν ἐνταῦθα 189. ὕδασι δουλείαν] τουτέστιν ὑδατοφόρους ποιήσειν 191. ἔρνος in textu omittit, sed supra ἄρτεμι scriptum ἔρνος κλάδος 192. τλαίην] ὑπεμείναιμι ἰδεῖν 193. εἴσβα δῶμα] εἴσελθε, βῆθι εἰς τὸ 194. ἐν παρθενῶσι] ἤγουν ἐν τοῖς παστοῖς μίμνε] μένε 195. εἰς τέρψιν] καὶ εἰς κόρον ἦλθες] λείπει ἰδοῦσα. 196. ὄχλος] ἤγουν ὄχλησις τοῦ χοροῦ 197. χωρεῖ] ὁρμᾷ 198. φιλόψογον] ὑβριστικὸν, λοίδορον ἔφυ] ὑπάρχει 201. ὑγιὲς] ἀγαθόν Glossemata ad v. 1—201. integra apposui. Ex reliqua parte fabulae haec sufficiant: 204. Φοινίσσας] οὐ γὰρ ἡ Φοίνισσα νῆσος, ἀλλ' ἡ Τύρος 250. ἀμφὶ δὲ] τὸ δέ ἀντὶ τοῦ γάρ νέφος] πλῆθος 324. ἄπεπλος φαρέων] ἀμέτοχος, ἀστόλιστος 331. ἀνῄξε] ἀνώρμησε 355. δεινὸν] τίμιον, ἀγαπητὸν, περισπούδαστον 360. λόγοισι χαίρει] ἤγουν φλυαρεῖ 361. τάρβους εἰς φόβον τ'] περισσὸς ὁ τέ 402. φίλει δὲ πατρὸς—] περὶ φιλοκτίστου ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι 423. κᾆδωκεν] Ταλαοῦ παῖς. Αἰόλου Κριθεὺς, οὗ Ἀμυθάων, οὗ Ταλαὸς, οὗ, Ἄδραστος τὴν Δηϊπύλην καὶ τὴν Ἀργείαν 436. διαλλάξασαν] ἡμερώσασαν 543. νυκτός τ'—]αὐτὴν τὴν νύκταν (sic) 587. δότε] δώσοιτε 689. εὐπετῆ] γρ. εὐπειθῆ 738. προστετάχθαι] γρ. προστέτακται 751. ὄχοι] γρ. λέγοιν 838. κλήρους] τοὺς μισθοὺς φύλασσε ἢ τὰς μαντικὰς ψήφους, ἤγουν τὰ δῶρα ἃ ἀπὸ μαντικῆς τέχνης λαμβάνω. 851. ἄθροισον] ἀνάκτησον (sic) δύναμιν κᾶπος] τὸ ἆσθμα, τὸ μῆκος τῆς ὁδοῦ 857. σκυλευμάτων] γρ. στρατευμάτων 879. εἰς ἔχθος] γρ. καὶ εἰς ὄχλον 946. ἀλλ' ὄχοι λέχος] ἀλλ' ἐγγύηται πρὸς γάμ ἀρραβῶνα 980. Δελφοὺς] γρ. εἰς 989. καὶ σῶσον βίον] γρ. καὶ πόλιν σῶσον 1208. τί τῷ ἐπὶ τούτευς (sic pro τούτοις)] γρ. ταπιτούτοις (sic) 1212. πράσσω] γρ. πράξω 1268. ἐκνεύοντας (sic) κωλῦσαι δὲ δεῖ] γρ. σέ 1334. ἡμῖν] γρ. πᾶν τὸ δρώμενον] πᾶν τό Ad versus 1470—1577. glossemata rursus integra appono, ut cum glossematis Moschopuli et Thomae Magistri comparari possint. 1470. ὑπέστη] καὶ ὑπέμεινε 1471. μυρίων] ἀπὸ τῶν 1472. λόγχαις] ἐν ταῖς πιπτόντων] γρ. πιτνόντων 1473. οἱ μὲν] ἀφ' ἡμῶν βρέτας] βρέτας ἄγαλμα, ὃ ἐστι κατὰ ἐτυμολογίαν βροτεῖς εἴκελον 1474. εἰ δ'] ἄλλοι δὲ ἀφ' ἡμῶν συλῶντες] εἰ δὲ κλέπτοντες νεκρῶν]

γρ. στρατῶν 1476. ἄλλοι δὲ] φέρουσι 1477. νεκροὺς] ἤγουν Ἐτεοκλῆν, Πολυνείκην καὶ Ἰοκάστην οἰκτίσαι] ὥστε κλαῦσαι 1478. πόλει] ἐν τῇδε τῇ πόλει 1479. ἐξέβησαν] ἐξῆλθον 1480. δυστυχία] ἡ 1481. ἥκει] οὐχί πάρα] παρυπάρχει λεύσσειν] βλέπειν 1482. νεκρῶν] τῶν τρισσῶν νεκρῶν 1484. σκοτίαν] σκοτινόν (sic) 1485. οὐ περι προκαλυπτομένα] Ἀντιγόνη ὀδυρομένη φησί βοστρυχώδεος] τὰ τῆς 1486. ἁβρὰ] τὰ πλούσια, τὰ φαιδρά παρηΐδος] ἤγουν αὐτὴν τὴν παρειάν. περιφραστικῶς τῆς παρειᾶς ἕνεκεν 1488. φοίνικ'] τὸ φοινικῶδες, τὸ ποιοῦν ἐριθρὸν τὸ σῶμα 1489. βάκχα] θρηνίτρια (sic). φέρεμαι ὥσπερ 1490. κράδεμνα δικοῦσα] τὰ περικαλύμματα ἀπορρίψασα 1491. στολίδα] τήν ἀνεῖσα] καταλείψασα τρυφᾶς] κόσμον 1492. ἁγεμόνευμα] ὑπάρχει, γίνεται 1495. ἰὼ Πολύνεικες] γρ. ὦ ἔφυς ἄρ' ἐπώνυμος] ὑπάρχεις κατὰ σὸν ὄνομα Θῆβαι] ὦ 1496. σὰ] ἡ σή φόνος] ὁ τοῦ ἀδελφοῦ σου 1497. Οἰδιπόδα] τοῦ Οἰδίποδος κρανθεὶς] ἀλλὰ τελειωθείς 1499. τίνα δὲ προσῳδὸν] ἄξιον θρῆνον πρὸς τὴν ἐμὴν θρηνῳδίαν 1500. μουσοπόλον] σύμφωνον στοναχὰν] τίνα στοναχήν 1501. δάκρυσιν] γρ. δακρύσω. ἀνακαλέσομαι 1503. τρισσὰ] τά τάδ'] γρ. σώματα τάδε 1504. χάρματ'] τά. ἀντὶ τοῦ ἔφυς χάρμα. 1506. Οἰδιπόδα] Οἰδίποδος πρόπαν] ἐπίρρημα. παντελῶς 1507. ὅτε] λείπει ἡ ἐξ 1508. δυσξυνέτου ξυνετὸν] δυσνοήτου σαφές ἔγνω] ὅτε ἀοιδοῦ] τῆς ἀοιδούσης (sic), ἐπεὶ μετὰ ᾠδῆς καὶ μέλους ἔλεγε τὰ αἰνίγματα 1509. Ἑλλὰς] γρ. Ἕλλην 1510. εὐγενετᾶν] εὐγενῶν ἕτερος] ἢ κακῶν] πλῆθος 1512. αἵματος ἁμερίου] ἀνθρωπίου (sic) γένους 1513. τάλαιν'] ἐγὼ ἡ τάλαινα ἐλελίζει] ὡς θρηνεῖ τοιαῦτα οἷα ἐγὼ θρηνῶ 1515. ἐλάτας] εἶδος δένδρου 1517. μονομάτερος] μεμονωμένη τῆς μητρός 1518. ἄχεσι συνῳδὸς] θρήνοις σύνθρηνος 1519. αἴλινον] θρῆνον αἰάγμασι] ἀτυχήμασι ἃ] ἥτις 1520. προκλαίω] καὶ ἀνακλαίω μόνα δ' αἰῶνα] γρ. μονάδ' αἰῶνα 1521. διάξουσα] ἡ μέλλουσα διάξαι τὸν] εἰς τόν 1524. ἀπὸ χαίτας] γρ. ἐπὶ τῶν χαιτῶν 1528. πρὸς ἀδελφῶν] παρὰ τῶν 1531. ἀλαὸν] τυφλόν 1534. ἕλκεις] παρέλκεις, παρατείνεις 1536. ἀλαίνων] ἀλώμενος ἢ τυφλώττων διατρίβων 1538. ἰαύων] ἐγκοιμίζων, ἐγκρύπτων, ἀναπαυόμενος 1539. βακτρεύμασι] κινήμασιν, ὁδηγήμασι 1541. λεχήρη] κατ' ἰδίαν κείμενον 1543. πολιὸν] ἀρχαῖον 1544. ἔνερθεν] ὑπὸ τῆς γῆς 1546. οἴσῃ] ἀκούσῃ 1547. λεύσσει] βλέπει 1548. ἄλοχος] γαμετή βάκτροις] κλινιδίοις 1551. ἐμῶν] ἕνεκα τῶν πάρα] πάρεστι στενάχειν] λείπει τινὰ στενάζειν αὖτεῖν] βοάν (corrige βοᾶν) 1553. ποίᾳ] ἐν 1555. χάρμασιν] χαραῖς 1556. σὸς ἀλάστωρ] ὁ φθονερὸς, ἡ δυστυχία, ἡ κατάρα ib. ἔφορος ὁ δαίμων τῶν τὰ ἄλαστα πεποιηκότων 1560. καταστένεις] στενάζεις 1561. τέκνα (sine ὦ)] διά 1562. εἰ τὰ—] . . δυνατὸν βλέψαι εἰς κατασκευὴν

καὶ λεύσσειν καὶ βλέψαι ὑπῆρχες 1564. ἐπενώμας] καὶ ἐπεσκόπεις 1565. τῶν (sine μὲν) ἐμῶν τεκέων] ἐγὼ κατηρασάμην θηκτῷ σιδήρῳ διαλαχεῖν τοὺς ἐμοὺς παῖδας 1567. πᾶσι] ἀνθρώποις 1569. ἱκέτις ἱκέταν] ἢ ἱκέτην τὸν Πολυνείκην ἱκέταν] τὸν μαστόν αἰρομένα] γρ. ὁρωμένα 1570. εὗρε] ἡ μήτηρ Ἠλέκτραις] ὄνομα τόπου 1571. λωτοτρόφον] τὸν γλυκοκάλαμον τρέφοντα καὶ βοτάνας τὸ μέρος παραδείσου 1572. Ἐνυάλιον] πόλεμον 1574. μαρναμένους] γρ. μαρνάμενα τραύμασι] τισὶ αἵματος] ἕνεκα φόνου 1575. ψυχρὰν λοιβὰν] θυσίαν ψυχρὰν θύοντας τῷ Ἅιδῃ 1576. ὤπασε] ἔδωκε, προεξένησε 1577. χαλκόκροτον] χαλκοσκεύαστον ἔπαυσ'] γρ. ἔπεστ'.

